

ΜΗΝΑΙΟΝ
ΤΟΥ
ΣΕΠΤΕΜΒΡΙΟΥ

ΠΕΡΙΕΧΟΝ ΤΗΝ ΠΡΕΠΟΥΣΑΝ
ΑΥΤΩ, ΑΠΑΣΑΝ

ΑΚΟΛΟΥΘΙΑΝ,

ΜΕΤΑ ΚΑΙ ΤΗΣ ΠΡΟΣΘΗΚΗΣ

ΤΟΥ ΤΥΠΙΚΟΥ

Ἐν ἑκάστῃ Ἑορτῇ τὲ Χρόνου.

Νεωστὶ μετατυπωθὲν, ἐν μεθ' ὅσης ἐπιμελείας
ἐν πολλῶν σφαλμάτων ἐκκαθαρθέν.

ΕΚΔΟΣΙΣ Α'.



ΕΝΕΤΙΗΣΙΝ. 1808.

Παρὰ Πάνῳ Θεοδοσίῳ τῷ ἐξ Ἰωαννίνων.





ΜΗΝ
ΣΕΠΤΕΜΒΡΙΟΣ

Ἔχων ἡμέρας λ'. Ἡ ἡμέρα ἔχει ὥρας β'.
καὶ ἡ νὺξ ὥρας ιβ'.

Εἰς τὴν α'. Ἀρχὴ τῆς Ἰνδίκτου, ἤτοι τοῦ Νέου Ἔτους. καὶ μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου, καὶ Ἀρχιμανδρίτου. καὶ ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου τῶν Μιασηνῶν. καὶ τοῦ Ἁγίου Μάρτυρος Λειθαλᾶ. καὶ τῶν Ἁγίων Τεσσαράκοντα Γυναικῶν, καὶ Ἀμμοῦν διακόνου, καὶ διδασκάλου αὐτῶν. καὶ μνήμη τῶν Ἁγίων Μαρτύρων Καλλίστης, Εὐόδου, καὶ Ἑρμογένους τῶν αὐταδέλφων. καὶ μνήμη Ἰησοῦ τοῦ Ναυῆ· καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου Ἐμπρησμοῦ.

Ἑσπέρας εἰς τὸ Λυχνικὸν, ξιλ'ο. τὸ α'. Ἀντίφωνον, τὸ, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ξι. ι'. Καὶ ψάλλομεν ξι. τῆς Ἰνδίκτου, γ'. καὶ τοῦ Ὁσίου προσόμοια τρία, καὶ ἕτερα Ἰδιόμελα τοῦ Ὁσίου δ'.

Τῆς Ἰνδίκτου, ἦχος α'. Τῶν οὐρανίων

Ἧς αὐτολέκτου καὶ Θείας διδασκαλίας Χριστοῦ, τὴν προσευχὴν μαθόντες, καθ' ἑκάστην ἡμέραν, βοήσωμεν τῷ Κτίστῃ· Πάτερ ἡμῶν, ὁ ἐν τοῖς Οὐρανοῖς κατοικῶν, τὸν ἐπιούσιον ἄρτον δίδου ἡμῖν, παρορῶν ἡμῶν τὰ πταίσματα.

Ὡς τῶν Ἑβραίων τὰ κῶλα, ἐν τῇ ἐρήμῳ ποτὲ, ἀπειθησάντων ὄντως, σοὶ τῷ πάντων Δεσπότῃ. ἀξίως κατεστρώθη· οὕτω καὶ νῦν τὰ σοφίσματα σκόρπισον, τὰ ἐναγῆ τῶν βλασφήμων Αἱρετικῶν, ψαλμικῶς παρὰ τὸν Ἄδην Χριστέ.

Ὁ Ἐν Σιναίῳ τῷ Ὄρει, τὰς πλάκας γράψας ποτὲ, αὐτὸς καὶ νῦν ἐν Πόλει, Ναζαρὲτ κτ. σάρκα, βιβλίον κατεδέξω προφητικὸν, ἀναγνῶναι Χριστὲ ὁ Θεός. καὶ τοῦτο πτύξας, ἐδίδασκες τοὺς λαοὺς, πεπληρῶσθαι τὴν γραφὴν ἐπὶ σοί.

Ἕτερα ξι. τοῦ Ὁσίου, ἦχος π. α'. Ὅσιε Πάτερ.

Ὅσιε Πάτερ, καλὴν ἐφεῦρες κλίμακα, δι' ἧς ἀνῆλθες ἐν τῷ ὕψει, ἣν εὗρεν Ἠλίας ἅρμα πυρός. ἀλλ' ἐκεῖνος μὲν τὴν ἄνοδον ἄλλοις οὐκ ἔλιπε· σὺ δὲ καὶ μετὰ θάνατον ἔχεις τὸν στύλον σου. Οὐράνιε ἄνθρωπε, ἐπίγειε Ἄγγελε, φωστὴρ ἀκοίμητε τῆς Οἰκουμένης, Συμεὼν Ὅσιε, πρέσβευε τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὅσιε Πάτερ, εἰ ἦν τὸν στύλον φθέγξασθαι, οὐκ ἂν ἐπαύσατο βοᾷν σου, τοὺς πόνους, τοὺς μόχθους, τοὺς ὀδυρμούς. ἀλλ' ἐκεῖνος ἐβαστάζετο, εἴπερ ἐβάσταζεν, ὡς δένδρον πιαινόμενος ἐκ τῶν δακρύων σου. οὐξέστησαν Ἄγγελοι, ἐθαύμασαν ἄνθρωποι, δαίμονες ἔπτηξαν τὴν ὑπομονήν σου, Συμεὼν Ὅσιε, πρέσβευε τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὅσιε Πάτερ, δυνάμει Θείου Πνεύματος, τὸν σὸν μιμούμενος Δεσπότην, ἐν στύλῳ ἀνῆλθες ὡς ἐν Σταυρῷ. ἀλλ' ἐκεῖνος τὸ χειρόγραφον πάντων οὐξήλειψε· σὺ δὲ τὴν ἐπανάστασιν τῶν παθῶν ἔλυσας. ἐκεῖνος ὡς πρόβατον· καὶ σὺ ὥσπερ σφάγιον. ἐκεῖνος

νος ἐν Σταυρῷ· καὶ σὺ ἐν τῷ ξύλῳ. Συμεὼν Ὅσιε, πρέσβευε τῶ σφθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερα εἰς τὸν Ὅσιον, ἦχος β'.

Ἐκ ῥίζης ἀγαθῆς, ἀγαθὸς ἐβλάστησε καρπὸς, ὁ ἐκ βρέφους Ἱερὸς Συμεὼν, χάρτι μᾶλλον ἢ γάλακτι τραφείς. καὶ ἐπὶ πέτραν τὸ σῶμα ὑψώσας, πρὸς Θεὸν δὲ ὑπερύψωσε τὴν διάνοιαν. αἰθέριον διεδομήσατο ταῖς ἀρεταῖς οἰκίδιον, καὶ ταῖς θείαις δυνάμεσι, συμπεπορπορῶν, Χριστῶ γέγονεν οἰκητήριον, τῶ Θεῶ καὶ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Ὁ μνημόσυνόν σε εἰς τὸν αἰῶνα μένει, Ὅσιε Πάτερ Συμεών· καὶ τὸ πρᾶον τῆς καρδίας σε θεράπον μακάριε. εἰ καὶ μετέστης ἐξ ἡμῶν ὁ ποιμὴν ὁ καλὸς, ἀλλ' οὐκ ἀπέστης ἀφ' ἡμῶν τῷ πνεύματι, ἐν ἀγάπῃ Θεῷ παρεστάμενος, καὶ σὺν Ἀγγέλοις χορεύων ἐν Οὐρανοῖς. μεθ' ὧν ἱκέτευε, σφθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Κυριελαιος.

Τῶν Λειψάνων σε θήκη, πανεύφημε Πάτερ, πηγάζει ἰάματα· καὶ ἡ ἁγία σε ψυχὴ Ἀγγέλοις συνῶσα, ἀξίως ἀγάλλεται. ἔχων οὖν πρὸς Κύριον Ὅσιε παῤῥησίαν, καὶ μετὰ τῶν Ἀσωμάτων χορείων ἐν οὐρανοῖς, μεθ' ὧν ἱκέτευε, σφθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Γερμανὸς.

Ἠγάπησας Θεοφόρε, τὴν αὐτάπαρνον φιλοσοφίαν καὶ ἔξω Κόσμου ἐγένου, ζῶν ὑπὲρ τὰ ὁρώμενα· καὶ ἔσοπτρον ἀκηλίδωτον Θεοῦ, θεῖον ἀνεδείχθης. καὶ ὧν ἀεὶ λιλαμένος φωτὶ, φῶς προσελάμβανες, καὶ τρανώτερον τὸ μακαρίᾳ ἔτυχες τέλος. πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν σοφὲ Συμεών.

Δόξα, ἦχος πλ. β'. Γερμανὸς.

Θεία χάρις ἀπηώρητο ἐπὶ τῇ θήκῃ τῶν Λειψάνων σε, ἡγιασμένε Συμεών. διὸ καὶ εἰς ὀσμὴν μύρου τῶν θαυμάτων σε δραμόμεθα, τῶν νοσημάτων τὴν ἴασιν ἀρυόμενοι. ἀλλὰ Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, ὁ αὐτός. Βυζαντίς.

Πατρὶ, καὶ Πνεύματι Ἁγιοσωσημμένος, ἄναρχε Λόγε καὶ Υἱέ. ὁ πάντων ὁρατῶν καὶ ἀοράτων συμπαντοργὸς, καὶ σωδημιουργὸς, τὸν στέφανον τὸ Ἐνιαυτὸ ἀλόγησον, φυλάττων ἐν εἰρήνῃ τῶν ὀρθοδόξων τὸ πλήθη, πρεσβείαις τῆς Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου. Εἴσοδος τὸ, Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. Καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν. παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι. καταστολὴν δόξης, ἀντὶ πνεύματος ἀκηδίας. καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν· καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίους ἐξερημωμένας τὸ πρότερον. ἐξαναστήσονται, καὶ ἀνακαινιοῦσι πόλεις ἐρήμους, ἐξερημωμένας ἀπὸ γενεᾶς εἰς γενεάν. καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοὶ ὑμῶν. ὑμεῖς δὲ Ἱερεῖς Κυρίου κληθήσεσθε λειτουργοὶ Θεοῦ ἡμῶν. ῥηθήσεται ὑμῖν, ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. ἀντὶ τῆς αἰσχύνης ὑμῶν τῆς διπλῆς, καὶ ἀντὶ τῆς ἐντροπῆς, ἀγαλλιάσεται ἡ μερὶς αὐτῶν. διὰ τοῦτο τὴν γῆν αὐτῶν ἐκ δευτέρου κληρονομήσουσι· καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. ἐγὼ γάρ εἰμι Κύριος, ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας. καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῆς, καὶ τὰ ἔκγονα αὐτῶν, ἐν μέσῳ τῆς λαοῦ. καὶ ὁρῶν αὐτοὺς, ἐπιγνώσεται αὐτοὺς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον εἰς τοὺς αἰῶνας ὑπὸ Θεοῦ. καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον.

Ἀδιτικὸν τὸ Ἀνάγνωσμα. Κεφ. ξά. 1.

Ἐλάλησε Κύριος τοῖς Υἱοῖς Ἰσραὴλ, λέγων· ἐὰν τοῖς προσάγμασί μου πορεύησθε, καὶ τὰς ἐντολάς μου φυλάσσητε, καὶ ποιῆτε αὐτὰς, δώσω τὸν ὑετὸν ἐν καιρῷ αὐτοῦ, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ τὰ ξύλα τῶν πεδίων ἀποδώσει τὸν καρπὸν αὐτῆς. καὶ καταλήψεται ὑμῖν ὁ ἀλοητὸς τὸν τρυγητὸν, καὶ ὁ τρυ- Κεφ. νδ'. 3.

τρυγητὸς καταλήψεται τὸν σπόρον. καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονήν. καὶ κατοικήσετε μετὰ ἀσφαλείας ἐπὶ τῆς γῆς ὑμῶν. καὶ δώσω εἰρήνην ἐν γῇ ὑμῶν, καὶ οὐκ ἔσται ὑμᾶς ὁ ἐκφοβῶν. καὶ ἀπολῶ θηρία ἐκ τῆς γῆς ὑμῶν. καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν. καὶ πεσοῦνται οἱ ἐχθροὶ ὑμῶν ἐνώπιον ὑμῶν, καὶ διώξονται οὐξ ὑμῶν πέντε ἑκατὸν, καὶ ἑκατὸν ὑμῶν διώξονται μυριάδας· καὶ ἐπιβλέψω ἐφ' ὑμᾶς, καὶ εὐλογήσω ὑμᾶς, καὶ αὐξανῶ ὑμᾶς, καὶ πληθυνῶ ὑμᾶς. καὶ στήσω τὴν διαθήκην μου μεθ' ὑμῶν. καὶ φάγεσθε παλαιὰ, καὶ παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσώπου νέων οὐξοίσεται. καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς. καὶ ἐμπεριπατήσω ἐν ὑμῖν. καὶ ἔσομαι ὑμῶν Θεὸς, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός. ἐὰν δὲ μὴ εἰσακούσητέ μου, μηδὲ ποιήσητε τὰ προστάγματά μου ταῦτα, ἀλλὰ ἀπειθήσητε αὐτοῖς, καὶ τοῖς κρίμασί μου μὴ προσοχθήσῃ ἡ ψυχὴ ὑμῶν, ὥς τε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, καὶ ἐγὼ ποιήσω οὕτως ὑμῖν· ἐπιστήσω ἐφ' ὑμᾶς τὴν ἀπορίαν, καὶ σπερεῖτε διακενῆς τὰ σπέρματα ὑμῶν. καὶ ἔδονται τοὺς πόνους ὑμῶν οἱ ὑπεναντίοι ὑμῶν. καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐφ' ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξονται ὑμᾶς. καὶ φεύξεσθε οὐδενὸς διώκοντος ὑμᾶς. καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν, καὶ θήσω τὸν Οὐρανὸν ὑμῖν ὡς σιδηροῦν, καὶ τὴν γῆν ὡσεὶ χαλκοῦν. καὶ ἔσται εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν, καὶ ἡ γῆ ὑμῶν οὐ δώσει τὸν σπόρον αὐτῆς. καὶ τὰ ξύλα τοῦ ἀγροῦ οὐ δώσει τὸν καρπὸν αὐτῶν. καὶ ἀποστελῶ ἐφ' ὑμᾶς τὰ θηρία τὰ ἄγρια τῆς γῆς, καὶ οὐξαναλώσει τὰ κτήνη ὑμῶν. καὶ ὀλιγοστοὺς ποιήσει ὑμᾶς ἐπιπορευομένη μάχαιρα. καὶ ἔσται ἡ γῆ ὑμῶν ἔρημος, καὶ αἱ ἐπαύλεις ὑμῶν ἔσονται ἔρημοι. ὅτι ὑμεῖς ἐπορεύθητε πρός με πλάγιοι, κἀγὼ πορεύσομαι πρὸς ὑμᾶς ἐν θυμῷ πλαγίῳ. λέγει Κύριος ὁ Θεὸς, ὁ Ἅγιος Ἰσραήλ.

Κεφ. δ'. 7.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

ΔΙκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται. πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλεύει νοῦν ἄκακον. τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. ἀρεστὴ γὰρ ἦν Κυρίῳ, ἡ ψυχὴ αὐτοῦ. διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὸν ξι. ξι. Ἰδιόμ. τῆς Ἰνδίκτου. ἦχος α'.

Ἰωάννου Μοναχοῦ.

ΕΠέστη ἡ εἴσοδος τοῦ Ἐνιαυτοῦ, συγκαλοῦσα γεραίρειν ταύτην, τοὺς λαμπρυνόντας Καλλίστην, Εὔοδον, καὶ Ἑρμογένην, τοὺς αὐταδέλφους ἀθλητάς. Συμεὼν τὸν ἰσάγγελον, Ἰησοῦν τὸν τοῦ Ναυῆ. τοὺς ἐν Ἐφέσῳ ἑπταρίθμους παῖδας. καὶ τὴν τετραδεκαπύρσευτον τῶν Ἁγίων Γυναικῶν χορείαν. ὧν ταῖς μνείαται κοινωνοῦντες φιλέορτοι, βοήσωμεν ἐκτενῶς· Κύριε εὐλόγησον τὰ ἔργα τῶν χειρῶν σου, καὶ καταξίωσον ἡμᾶς, λυσιτελῶς περαιῶσαι τὴν τοῦ χρόνου περίοδον.

Στίχους δὲ λέγομεν τούς δε.

Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών.

Τοῦ αὐτοῦ, ὁ αὐτός.

ΧΡιστὲ, ὁ Θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργήσας, καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν, εὐλόγησον τὸν στέφανον τοῦ Ἐνιαυτοῦ, καὶ τὴν Πόλιν ἡμῶν φύλαττε ἀπολιόρκητον. τοὺς δὲ πιστοὺς Βασιλεῖς ἡμῶν, ἐν τῇ δυνάμει σου εὔφρανον, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων· διὰ τῆς Θεοτόκου δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος β'.

ξι. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου.

Κυπριανοῦ.

ΘΑυμαστὸς εἶ ὁ Θεὸς, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ αἱ ὁδοί σου ἀνεξιχνίαστοι. πέλεις γὰρ σοφία τοῦ Θεοῦ, καὶ ὑπόστασις τελεία, καὶ δύναμις, συναναρχός τε καὶ συναΐδιος καὶ συνεργείᾳ, παντοδυνάμῳ οὐξουσίᾳ Κόσμῳ ἐπεδήμησας, ζητῶν ὃ ἐκάλλυνας πλάσμα, ἀνεκφάστως οὐξ ἀπειραύδρου Μητρὸς μὴ τραπεὶς τῇ Θεότητι. διαθέμενος ὅρους, καὶ χρόνους, εἰς σωτη-

σωτηρίαν ἡμῶν ἀναλλοίωτε. διὰ τοῦτό σοι βοῶμεν, ἀγαθὲ Κύριε δόξα σοι. Ὁ αὐτός. ϛι. Εὐλόγησον τὸν ϛέφανον τοῦ Ἐνιαυτοῦ.

Δαμασκηνοῦ.

Ὁ Ἐν σοφίᾳ τὰ πάντα δημιουργήσας προαιώνιε Λόγε τοῦ Πατρὸς, καὶ τὴν σύμπασαν κτίσιν παντοδυνάμῳ σου λόγῳ συϛησάμενος, εὐλόγησον τὸν ϛέφανον τοῦ Ἐνιαυτοῦ τῆς χρηϛότητός σου, καὶ τὰς αἱρέσεις κατάβαλε, διὰ τῆς Θεοτόκου, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δόξα, ἦχος π. α.

Ὅσιε Πάτερ, καλὴν ἐφεῦρες κλίμακα, δι' ἧς ἀνῆλθες ἐν τῷ ὕψει, ἣν εἶρεν Ἡλίας ἅρμα πυρός. ἀλλ' ἐκεῖνος μὲν τὴν ἄνοδον ἄλλοις οὐκ ἔλιπε, σὺ δὲ καὶ μετὰ θάνατον ἔχεις τὸν ϛύλον σου. Οὐράνιε Ἄνθρωπε, ἐπίγειε Ἄγγελε, φωϛὴρ ἀκοίμητε τῆς Οἰκουμένης, Συμεὼν Ὅσιε, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Ἐν Βασιλεῦ, ὁ ὢν ἀεὶ καὶ διαμένων καὶ εἰς αἰῶνας ἀτελευτήτους· δέξαι δυσώπησιν αἰτούντων ἁμαρτωλῶν σωτηρίαν. καὶ παράχου φιλάνθρωπε τῇ γῇ σου εὐφορίαν, εὐκράτους τοὺς ἀέρας χαριζόμενος. τῷ πιϛοτάτῳ Βασιλεῖ συμπολέμει, κατὰ ἀθέων βαρβάρων, ὡς ποτὲ τῷ Δαβίδ. ὅτι ἤλθοσαν οὗτοι ἐν σκηναῖς σου, καὶ τὸν πανάγιον τόπον ἐμίαναν Σῶτερ. ἀλλ' αὐτὸς δώρησαι νίκας Χριϛὲ ὁ Θεὸς, τῇ πρεσβείᾳ τῆς Θεοτόκου. νίκη γὰρ σὺ τῶν ὀρθοδόξων καὶ καύχημα.

Τροπάριον τῆς Ἰνδίκτου, ἦχος β'.

Ὁ Πάσης δημιουργὸς τῆς Κτίσεως, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τὸν ϛέφανον τοῦ Ἐνιαυτοῦ τῆς χρηϛότητός σου Κύριε, φυλάττων ἐν εἰρήνῃ τοὺς Βασιλεῖς, καὶ τὴν Πόλιν σου· πρεσβείαις τῆς Θεοτόκου καὶ σῷσον ἡμᾶς.

Δόξα, τοῦ Ὁσίου, ἦχος α'.

Ὑπομονῆς ϛύλος γέγονας, ζηλώσας τοὺς προπάτορας ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν ὑπάρχων ἐν σώματι. Συμεὼν Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριϛῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, τῆς Θεοτόκου, ἦχος βαρύς.

Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε, λιμὴν καὶ προϛασία τοῦ γένους τῶν ἀνθρώπων. ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ λυτρωτὴς τοῦ Κόσμου. μόνη γὰρ ὑπάρχεις Μήτηρ καὶ Παρθένος, ἀεὶ εὐλογημένη καὶ δεδοξασμένη. πρέσβευε Χριϛῷ τῷ Θεῷ, εἰρήνην δωρήσασθαι πάσῃ τῇ Οἰκουμένῃ.

Τὰ αὐτὰ καὶ εἰς τὸ, Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. ϛιλό. κα. τῆς Ἰνδίκτου. ἦχος πλ.

Τὴν Σοφίαν καὶ Λόγον.

Ὁ Καιροὺς καρποφόρους καὶ ὑετοὺς, οὐρανόθεν παρέχων τοῖς ἐπὶ γῆς. καὶ νῦν προσδεχόμενος, τὰς αἰτήσεις τῶν δούλων σου, ἀπὸ πάσης λύτρωσαι, ἀνάγκης τὴν Πόλιν σου. οἱ οἰκτιρμοὶ γὰρ ὄντως, εἰς πάντα τὰ ἔργα σου. ὅθεν τὰς εἰσόδους, εὐλογῶν καὶ ἐξόδους, τὰ ἔργα κατεύθυνον, ἐφ' ἡμᾶς τῶν χειρῶν ἡμῶν, καὶ πταισμάτων τὴν ἄφεσιν, δώρησαι ἡμῖν ὁ Θεός. σὺ γὰρ ἐξ οὐκ ὄντων τὰ σύμπαντα, ὡς δυνατὸς εἰς τὸ εἶναι παρήγαγες.

Δόξα, καὶ νῦν, τὸ αὐτό.

Εἰς τὴν β'. ϛιλό. κα. τοῦ Ὁσίου, ἦχος π. α'.

Τὸν συναναρχον Λόγον.

Ἐγκρατείᾳ τὸν βίον σου κατεκόσμησας, καὶ νεκρώσας τὸ σῶμά σου ἐξηφανίσας, τοῦ ἐχθροῦ τὰς προσβολὰς Πάτερ μακάριε. καὶ μετέϛης πρὸς Θεὸν εἰς τὴν αἰώνιον ζωὴν, ὡς ἄξιος κληρονόμος. διὸ μὴ παύσῃ πρεβεύων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἐϊσῆλθες ἐν τῷ σκάμματι, τοῦ μαρτυρίου πιϛῶς, Καλλίϛη κηρύττουσα, σὺν τοῖς δυσὶν ἀδελφοῖς, Χριϛὸν τὸν Θεὸν ἡμῶν. πόθῳ γὰρ θρεψαμένη, νοερὰ σκεύη ὄντως, τῆς Χριϛοῦ Ἐκκλησίας ἀπετέλεσας τούτους. διὸ καὶ συνηρμόσθης αὐτοῖς, Μάρτυς εἰς τὴν ἄνω ζωήν. Καὶ νῦν, θτ. Ὅμοιον.

Ταχὺ δέξαι Δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία πανάχραντε, λῦσον τὰς περιϛάσεις, τῶν εἰς σὲ προϛρεχόντων· σκέδασον τὰς ἐνέδρας, καὶ τὰ θράση Παρθένε, τῶν νῦν ἐφοπλιζομένων κατὰ τῶν δούλων σου.

Ἕτερα κα. τῶν Ἁγίων Γυναικῶν, μετὰ τὸν Πολυέλεον, ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ἀμνάδες λογικαὶ, τῷ ἀμνῷ καὶ ποιμένι, προσήχθητε πιϛῶς, διὰ τοῦ μαρτυρίου, τὸν δρόμον τελέσασαι, καὶ τὴν πίϛιν

τηρή-

τηρήσασαι. ὅθεν σήμερον, περιχαρῶς εὐφημοῦμεν, ἀξιάγαστοι, τὴν ἱερὰν ὑμῶν μνήμην, Χριστὸν μεγαλύνοντες.

Δόξα, καὶ νῦν, ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Ὡς Δεσπότῃ τοῦ παντὸς, καὶ χορηγῷ τῶν ἀγαθῶν, σοὶ προσπίπτομεν πιστῶς, ἀναβοῶντες ἐκτενῶς, ὑπὸ τῆς σῆς δυσωπούμενος εὐσπλαγχνίας, Σωτὴρ καὶ ταῖς εὐχαῖς τῆς Τεκούσης σε· πάντων τῶν ἀεὶ εὐαρεστούντων σοι, Ἐνιαυτὸν εὐπρόσδεκτον προστάξαι σοι, ὡς ἀγαθὸς καταξίωσον τοὺς ἐν οὐσίαις, δυσὶ τιμῶντας, καὶ πιστῶς σε δοξάζοντας.

Τὸ α' Ἀντίφωνον τοῦ τετάρτου ἤχου.

Εὐαγγέλιον Ὁσιακόν. Ο' Ν'.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἐλέησόν με ὁ Θεός.

Ἦχος β'. Ὁ ἐν σοφίᾳ τὰ πάντα.

Ὁ Κανὼν τῆς Ἰνδίκτου μετὰ τῶν Εἱρμῶν, εἰς ς'. Τῶν Ἁγίων μ'. Γυναικῶν, εἰς δ'. Καὶ τοῦ Ὁσίου, εἰς δ'. Ὁ Κανὼν τῆς Ἰνδίκτου.

Ὠδὴ α'. ἦχος α'. Ὁ Εἱρμός.

Ἰωάννου Μοναχοῦ.

Ἄσωμεν πάντες λαοὶ, τῷ ἐκ πικρᾶς δουλείας Φαραὼ τὸν Ἰσραὴλ ἀπαλλάξαντι, καὶ ἐν βυθῷ θαλάσσης ποδὶ ἀβρόχῳ ὁδηγήσαντι, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Ἄσωμεν πάντες Χριστῷ, δι' οὗ συνέστη τὰ πάντα, καὶ ἐν ᾧ διατελεῖ ἀδιάπτωτα, ὡς ἐξ Ἀνάρχου φυντὶ, Θεοῦ Πατρὸς ἐνυποστάτῳ λόγῳ, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Ἄσωμεν πάντες Χριστῷ, τῷ Πατρικῇ εὐδοκίᾳ, ἐπιφανέντι ἐκ Παρθένου, καὶ κηρύξαντι, ἐνιαυτὸν Κυρίου δεκτὸν, ὑμῖν εἰς ἀπολύτρωσιν, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Εἰς Ναζαρὲτ εἰσελθὼν, ὁ παροχεὺς τοῦ Νόμου, ἐν ἡμέραις τῶν σαββάτων ἐδίδασκε, νομοθετῶν Ἑβραίοις τὴν ἔλεσιν αὐτοῦ τὴν ἄφραστον· δι' ἧς ὡς ἐλεήμων, σῴζει τὸ γένος ἡμῶν. Θεοτοκίον.

Ἄδοντες πάντες πιστοὶ, τὴν ὑπερθαύμαστον Κόρην, τὴν τὸν Χριστὸν τῇ Οἰκουμένῃ ἀνατείλασαν, καὶ χαρᾶς τὰ πάντα πληρώσασαν τῆς αἰδίου ζωῆς, ἀεὶ ἀνυμνήσωμεν, ὅτι δεδόξασται.

Ἕτερος Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστί.

Στερρῶν Γυναικῶν Μαρτύρων μέλπω πόνους.

Ὠδὴ α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἐτερρῶς τὸν ἀντίπαλον, κατηγωνίσασθε Μάρτυρες, ἀσκήσει μὲν πρότερον, ἔπειτα δεύτερον, τῇ δι' αἵματος, ἀθλήσει. διὰ τοῦτο, ὑμῶν τὰ μνημόσυνα, πίστει γεραίρωμεν.

Ὑπρωθεῖσαι τῷ ἔρωτι, τοῦ δι' ἡμᾶς ὑπομείναντος, Σταυρόν τε καὶ Θάνατον, τούτου τοῖς ἤχνεσιν, ἠκολούθησαν, αἱ Ἅγιαι Γυναῖκες, σαρκὸς τὴν ἀσθένειαν ἐπιλαθόμεναι.

Ἑλλήνων θρησκεύματα, καὶ τῶν δαιμόνων ἱδρύματα, τῷ ὅπλῳ τῆς Πίστεως, κατηδαφίσατε, καὶ προσήχθητε, Ναῷ ἐπουρανίῳ, κειμήλια ἔμψυχα, Μάρτυρες πάνσεμνοι. Θεοτοκίον.

Ῥωσθεῖσαι τῇ χάριτι, τοῦ ἐκ τῆς σῆς ἀνατείλαντος, νηδύος Πανάμωμε, Κόραι νεανίδες, διεκρούσαντο, βασάνων τρικυμίαν, καὶ σοῦ ἀπηνέχθησαν, ὀπίσω χαίρουσαι.

Ἕτερος Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστί.

Δέχου τὸν ὕμνον, ὦ Συμεὼν πανόλβιε.

Ἄνευ τῶν Θεοτοκίων.

Ὠδὴ α'. ἦχος πλ. Ἄσωμεν τῷ Κυρίῳ.

Ἰωάννου Μοναχοῦ.

Λίδου μοι ἐν ὀργάνῳ, γλώττης σαθρῷ, ὦ Θεοφόρε Συμεὼν, τὴν ᾠδὴν σοι πλέκοντι, ταῖς δεήσεσι ταῖς σαῖς, γνώσεως φῶς θεοδίδακτον.

Ἔγνωσαν τὴν σοφίαν, Πάτερ τὴν σὴν, Πέρσαι Αἰθίοπες Ἰνδοὶ, καὶ Σκύθαι καὶ Ἀράβων πληθὺς, καὶ ἐδόξασαν Χριστὸν, τὸν διὰ σοῦ δοξαζόμενον.

Χάριτος ἐπληρώθης πνευματικῆς. ποιμαντικῶν γὰρ ἐκ σηκῶν, ὡς Ἰακὼβ Δαυὶδ, καὶ Μωσῆς ἀρχηγέτης λογικῶν, ὤφθης θρεμμάτων Μακάριε. Θεοτοκίον.

Ἄχραντε Θεοτόκε, χαῖρε σεμνὴ, ἡ τὸν ἀχώρητον Θεὸν, ἐν σῇ Γαστρὶ χωρήσασα, λυτρωθῆναι τῶν δεινῶν, αἴτησαι τοὺς ἀνυμνοῦντάς σε. Καταβασία.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἤνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Στερέωσόν με Χριστὲ, ἐπὶ τὴν ἄσειστον πέτραν τῶν ἐντολῶν σου, φώτισόν με φωτὶ

„ φωτὶ τȣ̃ προσώπȣ σȣ. ȣ̓κ ἔςι γὰρ Ἅγιος,
„ πλὴν σȣ φιλάνθρωπε.

Ϛ Τερέωσον Ἀγαθὲ, ὧν κατεφύτευσε πόθῳ, ἐπὶ τῆς γῆς ἡ δεξιά σȣ, κατάκαρπον ἄμπελον, φυλάττων σȣ τὴν Ἐκκλησίαν παντοδύναμε.

Ϛ Ἐν ἔργοις πνευματικοῖς, θεοτερπέσι κομῶντας, τὸ ἐφεςὼς Κύριε Ἔτος, διάγαγε Δέσποτα, τȣ̀ς πίςει σε ὑμνολογȣ̃ντας Θεὸν τȣ̃ παντός.

Ϝ Αλήνιόν μοι Χριςὲ, τὸν ἐνιαύσιον κύκλον δίδȣ Οἰκτίρμον. καὶ ἔμπλησόν με τῶν λόγων τῶν Θείων σȣ. ȣ̓ς ὤφθης φάσκων, Ἰȣδαίοις ἐν Σάββασιν. θτ.

Ϣ Ὡς μόνην ὑπερφυῶς, τὴν ὑπεραύθρωπον χάριν, ἐν τῇ γαςρί σȣ δεξαμένην, ἀτρέπτως σκηνώσαντα, Χριςὸν τὸν Θεὸν ἡμῶν, ἀεί σε δοξάζομεν.

Ἄλλος. Τόξον δυνατόν.

Ϝ Ὠμῇ πανσθενεῖ ῥωννύμεναι, τὴν τῶν ἀντιπάλων κατεπαλαίσατε δύναμιν. διὰ τȣ̃το ὡς νικηφόροι, πρὸς Χριςȣ̃ ἐςεφανώθητε.

Ϣ Ὤφθη τῶν θηρῶν χάσματα, θείᾳ δυναςείᾳ τȣ̃ Χριςȣ̃ ἀνενέργητα· καὶ ἐῤῥύσθητε Θεοφόροι, ἀβλαβεῖς Θεὸν γεραίρȣσαι.

Ν Εύσει πρὸς Θεὸν θεούμεναι, τῆς πολυθείας τὸν κρυμὸν ἀπεκρȣ́σασθε, καὶ πρὸς θάλψιν τῆς ἄνω δόξης, Ἀθλοφόροι κατηντήσατε. Θεοτοκίον.

Ϝ Νόντες εὐσεβῶς κηρύττομεν, σὲ παναληθῆ Θεȣ̃ Μητέρα Πανάμωμε. διὰ σȣ̃ γὰρ ἡμῖν ὁ Πλάςης, ὁμιλῆσαι κατηξίωσεν.

Ἄλλος. Τὸν φόβον σȣ Κύριε.

Ο Ἐέως φυγὼν, τὴν νιφετώδη φορὰν, τῶν πνευμάτων, πρὸς σωτήριον ηὐτομόλησας Μονὴν Συμεὼν, ȣ̓ξ ἧς καὶ τὴν ἀγήρω ζωὴν ἐκαρπώσω.

Ϝ Ἡ Πέκλινας χαίρων, τὴν πειθήνιον ἀκοὴν σȣ Παμμακάριςε, τῷ Δεσπότῃ μακαρίζοντι, καὶ μακαριζομένην εὗρες πολιτείαν.

Ϝ Οὗ λόγȣ δεξάμενος τὰ σπέρματα, τῆς καρδίας σȣ ταῖς αὔλαξι, καὶ δακρύων ἐπιβλύσεσι Χριςῷ, πολύχȣν ςάχυν, ἀρετῶν ἐδρέψω. Θεοτοκίον.

Ἀ Ῥῥήτως συνέλαβες Θεόνυμφε, τὸν Σωτῆρά τε καὶ Κύριον, τὸν λυτρȣ́μενον ἡμᾶς τῶν δεινῶν, τȣ̀ς σὲ ἐν ἀληθείᾳ ἐπικαλȣμένȣς.

Καταβασία.

Ϝ Ἁβδος εἰς τύπον τȣ̃ μυςηρίȣ παραλαμβάνεται. τῷ βλαςῷ γὰρ προκρίνει τὸν Ἱερέα. τῇ ςειρευȣ́σῃ δὲ πρώην Ἐκκλησίᾳ νῦν ȣ̓ξηνύθησε, ξύλον Σταυρȣ̃ εἰς κράτος καὶ ςερέωμα.

ᾠδ. τȣ̃ Ὁσίȣ. ἦχος πλ. Τὴν Σοφίαν.

Ϝ Ἱερζέσας τῇ Πίςει Πάτερ σοφὲ, καὶ προσκαίρων ἁπάντων ὑπεριδὼν, Χριςῷ ἠκολȣ́θησας, τῇ δυνάμει τȣ̃ Πνεύματος. ἐγκρατείᾳ τήξας, τὸ σῶμά σȣ Ὅσιε, Οὐρανῶν τὴν δόξαν, ἀεὶ προορώμενος. ὅθεν, καὶ ἐφεῦρες, πρὸς ἀνάβασιν θείαν, τȣ̃ ςύλȣ τὴν κλίμακα, τȣ̃ σȣ̃ πόθȣ κατάλληλον, Συμεὼν Ἱερώτατε. πρέσβευε Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζȣσι πόθῳ, τὴν ἁγίαν μνήμην σȣ.

Δόξα, τῶν Ἁγίων, ἦχος α'. πρὸς, Τὸν τάφον σȣ Σωτήρ. Ἀμνάδες λογικαί.

Καὶ νῦν, τῆς Ἰνδίκτȣ, ἦχος δ'. πρὸς, Κατεπλάγη Ἰωσήφ. Ὡς Δεσπότῃ τȣ̃ παντός.

Ζήτει ταῦτα ὄπισθεν εἰς τὰ Καθίσματα τȣ̃ Πολυελαίȣ. Ὠδὴ δ'. Ὁ Εἱρμός.

Κ Ατενόησα παντοδύναμε τὴν σὴν οἰκονομίαν, καὶ μετὰ φόβȣ ἐδόξασά σε Σωτήρ.

Ἀ Παρχὴν σοι ἐνιαύσιον, ὁ λαός σου προσφέρει, Ἀγγέλων ὕμνοις, δοξολογῶν σε Σωτήρ.

Ϣ Ὡς φιλάνθρωπος καταξίωσον, ἀρξαμένȣ τȣ̃ Ἔτȣς, καὶ συμπληρῶσαί σοι εὐαρέςως Χριςέ.

Η Αντοκράτορ μόνε Κύριε, τῶν Ἐτῶν τὰς ἑλίξεις, γαληνιώσας τῷ Κόσμῳ δώρησαι. Θεοτοκίον.

Ϣ Ὡς λιμένα νῦν τῶν ψυχῶν ἡμῶν, καὶ βεβαίαν ἐλπίδα, τὴν Θεοτόκον πάντες ὑμνήσωμεν.

Ἄλλος. Ὁ καθήμενος ἐν δόξῃ.

Ϝ Ἡ Πομείνασαι βασάνȣς, καὶ ςρεβλώσεις σώματος, διαφόροις τρόποις, θλᾶσίν τε μελῶν καὶ κατάφλεξιν, τὰς ȣ̓ρανίους σκηνώσεις ἐκληρώσασθε, ἀπολαύȣσαι, ξύλȣ ζωῆς Ἀξιάγαςοι.

Ν Εανίδων μακαρίων, τὸν ἀγῶνα ἐθαύμασαν, Οὐρανῶν Δυνάμεις, ὅπως τὸν ἐχθρὸν ἐτροπώσαντο, ἐν γυναικείᾳ τῇ φύσει δυναμȣ́μεναι, τῇ δυνάμει, τȣ̃ ἐκ Γυναικὸς ἀνατείλαντος.

Ἀπορ-

Ἀ Πορρίψασαι τοῦ Κόσμου, ματαιότητα ἅπασαν, τῷ Θεῷ, καὶ μόνῳ, ὅλη τῇ ψυχῇ ἐκολλήθητε. ὅθεν ἀσκήσεως πόνους, καὶ ἀθλήσεως, ὑπεμείνατε, Νύμφαι Χοῦ καρτερώτατα.

Ἐ Σχυρότατον ὡς ὅπλον, τὸν Σταυρὸν περιφέρουσαι, πρὸς τὰς ἐναντίας, ἀντιπαρετάξασθε φάλαγγας. μετὰ Χριστοῦ δὲ τὴν νίκην ἀπηνέγκασθε, τοῦ νικήσαντος, Κόσμον δυνάμει Θεότητος. Θεοτοκίον.

Κ Αταβήσεται ὡς ὄμβρος, ἐπὶ πόκον ἐν μήτρᾳ σου, Θεηγόρος πάλαι, ἔφησε Προφήτης Πανάμωμε. ὃν ἐν δυσὶ ταῖς οὐσίαις ἀπεγεννήσας· ᾧ κραυγάζομεν· δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Ο Υ'κ ἐν ψάμμῳ πανόλβιε, ἀλλ' ἐν βαθυτάτοις πόνοις σου θέμενος, τὴν κρηπίδα τῆς ἀσκήσεως, ἀρετῶν ἐδείξω πύργον ἄσειστον.

Ν Εμομένης τὸ σῶμά σου, σχοίνου τραχυτάτης φόβῳ καθήλωσο, τῷ τοῦ πνεύματος, καὶ σχοίνισμα, κληρουχίας θείας εὗρες Ὅσιε.

Υ Πενόστει τοῦ σώματος, τὰ ἐγκεκρυμμένα πάθη πανόλβιε, ἐν σαπρίᾳ κοιταζόμενον, τῶν σκωλήκων Πάτερ, δεδοιότα σε.

Μ Ετὰ πάθος ἑκούσιον, τὸν ζωοποιὸν νεκρὸν ἐκμιμούμενος, ὥς περ μνήματι τῷ φρέατι, σεαυτὸν ζοφώδει, ζῶντα δέδοκας.

Ψ Ὸν Θεὸν ὃν ἐκύησας, ἄχραντε Μαρία δυσώπει πάντοτε, τοῖς οἰκέταις σου δωρήσασθαι, καὶ πλημμελημάτων τὴν συγχώρησιν. Καταβασία

„ Ε Ἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυ-
„ στήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξα-
„ σά σου τὴν Θεότητα. Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Ε Κ νυκτὸς ὀρθρίζοντες, ὑμνοῦμέν σε Χρι-
„ στὲ, τὸν τῷ Πατρὶ συνάναρχον, καὶ
„ Σωτῆρα τῶν ψυχῶν ἡμῶν· τὴν εἰρήνην τῷ
„ Κόσμῳ παράσχου φιλάνθρωπε.

Ο Πληρῶν τὰ σύμπαντα, χρηστότητος Χριστὲ, σὺ εὐκραῆ καὶ εὔφορον, εὐλογίαις στεφανούμενον, τὸν πολύκυκλον Χρόνον, τοῖς δούλοις σου δώρησαι.

Ψ Ἦν τοῦ Ἔτους ἄμειψιν, ἀνάδειξον ἡμῖν, μεταβολὴν πρὸς κρείττονα, εἰρηναίαν τε κατάστασιν, τοῖς εἰδόσι σε Λόγε Θεοῦ, ὁμοιωθέντα βροτοῖς.

Ε Πὶ γῆς ἐλήλυθας, συνάναρχε Πατρὶ τοῖς αἰχμαλώτοις ἄφεσιν, καὶ πηροῖς ἀνάβλεψιν, πρὸς Πατρὸς ἀναγγέλλων, ὁ χρόνον ἐπέκεινα. Θεοτοκίον.

Ψ Ὰς ἡμῶν ἐλπίδας, Θεοτόκε ἁγνὴ, καὶ τὴν ἡμῶν πεποίθησιν, ἐπὶ σὲ ἀνατιθέμεθα. εὐμενῆ ἡμῖν δίδου, Παρθένε ὃν ἔτεκες.

Ἄλλος. Ἀσεβεῖς οὐκ ὄψονται.

Ω Ὡ Ἀμνάδες ἄμωμοι, ὡς θύματα δεκτὰ, τῷ Ἀμνῷ τῷ Ἀληθινῷ, καὶ ποιμένι Μάρτυρες προσηνέχθητε, προσφοραὶ ὁλόκληροι, καὶ δεκτὰ ὁλοκαυτόματα.

Ν Εκρωθεῖσαι σώματι, ἐζήσατε ψυχῇ, τοῦ νεκρώσαντος τὴν ἰσχὺν, τοῦ θανάτου Μάρτυρες ὡς μιμησάμεναι, καὶ Σταυρὸν καὶ Θάνατον, καὶ τὰ Πάθη τὰ ἑκούσια.

Μ Ίαν γνώμην φέρουσαι, ἐν σώμασι πολλοῖς. ἕνα Κύριον Ἰησοῦν, διαφόροις μάστιξι καταξαινόμεναι, καὶ πυρὶ καιόμεναι, ὡμολόγουν αἱ Θεόφρονες. Θεοτοκίον.

Ἀ Νόρθωσον πεσόντα με, ἐν λάκκῳ πειρασμῶν, καὶ κυβέρνησον ἡ Θεὸν, κυβερνήτην τέξασα, μόνη Πανάμωμε, τὸν τὰ πρὶν ἐνώσαντα, διεστῶτα ἀγαθότητι.

Ἄλλος. Φώτισον ἡμᾶς.

Ν Έον Δανιὴλ, Συμεὼν Χριστός σε ἔδειξεν. ἐκ γὰρ λάκκου θηριώδους σε, δι' ἐμφανείας, ἀλώβητον ἀνεκόμισεν.

Ὅ Λον σεαυτὸν, τῷ Κυρίῳ ἀναθέμενος, νιφετοῦ κρυμοῦ καὶ καύσωνος, ταῖς ἐναντίαις, ποιότησιν ἐγγεγύμνασο.

Ν Έος Μωϋσῆς; καὶ Ἠλίας ἀναδέδειξαι, ἐν μιᾷ τεσσαρακονθήμερον, τροφῇ ἀνύων, διὰ βίου παντὸς Ὅσιε.

Ω Ὡ Σ ἐν χρυσαυγεῖ, Συμεὼν ὁρμίσκῳ Ὅσιε, δι' ἀλύσεως πεδούμενος, οὐρανοπόρος ἀνεδείχθης, θείαις πτέρυξι. Θκίον.

Λ Υσώπησον ἀεὶ, τὸν Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἀπειρόγαμε Μαρία ἁγνὴ, τοῦ καταπέμψαι ἡμῖν, τοῖς πιστοῖς τὸ ἔλεος.

Καταβασία.

Ω Ὦ Τρισμακάριστον Ξύλον, ἐν ᾧ ἐτάθη „
Χριστὸς, ὁ Βασιλεὺς καὶ Κύριος. δι' οὗ „
πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δε- „
λεασθεὶς, Θεῷ τῷ προσπαγέντι σαρκὶ, τῷ „
παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν. „

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ψ Ὸν Προφήτην διέσωσας, ἐκ τοῦ κήτους „
Φιλάνθρωπε· κἀμὲ τοῦ βυθοῦ τῶν „
πταισμάτων, ἀνάγαγε δέομαι. „

Πολι-

Πολιτείας ἀπάρξασθαι, εὐαρέστου σοι Δέσποτα, σὺν τῇ ἐτησίῳ ἀπάρξει, ἡμᾶς καταξίωσον.

Ἡμερῶν τῶν τοῦ Πνεύματος, ἐν μεθέξει τοῦ νόμου σου, ἀνάδειξον πλήρεις οἰκτίρμον, Σωτὴρ τοὺς ὑμνοῦντάς σε. Θεοτοκίον.

Μοὺς εἰς σὲ καταφεύγοντας, ἀπὸ πάσης δεόμεθα, ῥῦσαι ἀπειλῆς ἡ τεκοῦσα, Χριστὸν τὸν Θεὸν ἡμῶν.

Ἄλλος. Ἐβόησε, προτυπῶν.

Ῥηγνύμενον, καὶ ποσὶ γυναικῶν συμπατούμενον, καθορῶσα, ἡ Προμήτωρ ἐνθέως ἀγάλλεται, τὸν αὐτὴν δολίως, Παραδείσου τὸ πρὶν ἐξορίσαντα.

Μὴν ἄσκησιν, τῇ ἀθλήσει προθύμως συνάψασαι, τῷ Νυμφίῳ, τῶν ψυχῶν νῦν ἀφθόρως συνήφθητε, καὶ νυμφῶνι θείῳ, γηθομένῃ ψυχῇ ἐναυλίζεσθε.

Ὑψούμενα, τῶν βασανίων τὰ ἄγρια κύματα, τῶν Μαρτύρων, τὰς ὁλκάδας βυθίσαι οὐκ ἴσχυσαν. κραταιᾷ χειρὶ γὰρ, πρὸς τοὺς θείους λιμένας κατηύτησαν. θτ.

Ῥημάτων σου, τὰς ἐκβάσεις ὁρῶσα μεγάλυνον, ἐπιπλεῖον, Θεομῆτορ τὸν σὲ μεγαλύναντα· γενεαὶ γὰρ πᾶσαι, σὲ ἰδοὺ ἀληθῶς μακαρίζουσι. Ἄλλος. Χιτῶνά μοι.

Σημείων καὶ τεράτων σε Χριστὸς, αὐτουργὸν ἀνέδειξε, τῆς θείας Μακάριε, ἐνεργείας δεδειχὼς ἐνδιαίτημα.

Ὑψώθη σου τὸ σῶμα Συμεὼν, ὡς Σταυρῷ τῷ Κίονι· διὸ συνδεδόξασαι, τῷ ἐν Ξύλῳ διὰ σὲ ὑψωθέντι Χριστῷ.

Μετάρσιον πορείαν ἐφευρὼν, Συμεὼν θεσπέσιε, πρὸς ὕψος οὐράνιον, τοὺς ὑμνοῦντάς σε πιστῶς ἀνακόμιζε. Θεοτοκίον.

Ναόν σε τοῦ Θεοῦ καὶ κιβωτὸν, καὶ παστάδα ἔμψυχον, καὶ πύλην οὐράνιον, Θεοτόκε οἱ πιστοὶ καταγγέλλομεν. Καταβασία.

„ Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον Πάθος προδιετύπου σαφῶς. ὅθεν τριήμερος ἐκδὺς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ Ἐγέρσει τὸν Κόσμον φωτίσαντος.

Κοντάκιον τοῦ Ὁσίου, ἦχος β'.

Μὰ ἄνω ζητῶν, τοῖς κάτω συναπτόμενος, καὶ ἅρμα πυρὸς, τὸν στύλον ἐργασάμενος, δι' αὐτοῦ συνόμιλος, τῶν Ἀγγέλων γέγονας Ὅσιε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν. Ὁ Οἶκος.

Μοῦ Συμεὼν τὸν ἄμεμπτον βίον, ποία γλῶσσα ἀνθρώπων ἐξαρκέσει ποτὲ, πρὸς ἔπαινον ἐξηγήσασθαι; ὅμως ὑμνήσω Θεοῦ σοφίᾳ τὰ τοῦ ἥρωος ἆθλα, καὶ τοὺς ἀγῶνας, τοῦ ἐν τῇ γῇ ὡς φωστῆρος φανέντος, τοῖς πᾶσι βροτοῖς, μεγάλως τῇ καρτερίᾳ, τῷ χορῷ τῶν Ἀγγέλων ἐκλάμψαντος. σὺν τούτοις γὰρ ψάλλων ἀπαύστως Χριστῷ, ἐγκρατείᾳ ἁγνείαν ἐκτήσατο, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Μὴν Σεπτέμβριος, ἔχων ἡμέρα λ'. Ἡ ἡμέρα ἔχει ὥρας ιβ'. καὶ ἡ νὺξ ὥρας ιβ'. Εἰς τὴν α'. ἀρχὴ τῆς Ἰνδίκτου, ἤτοι τοῦ Νέου Ἔτους.

ξι. Ἴνδικτον ἡμῖν εὐλόγει Νέου Χρόνου.

Ὦ καὶ παλαιὲ, καὶ δι' ἀνθρώπους Νέε.

Ἰστέον οὖν, ὅτι τὴν Ἰνδικτιῶνα ἑορτάζει ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἀπὸ τῶν ἀρχαίων παραλαβοῦσα, διὰ τὸ νομίζεσθαι παρὰ Ῥωμαίοις ἀρχὴν εἶναι τοῦ Ἔτους ἀπὸ ταύτης τῆς Ἰνδικτιῶνος. Ἰνδικτιὼν γὰρ λέγεται παρὰ Ῥωμαίος ὁ ὁρισμός, καὶ προσέτι διὰ τὸ κατ' αὐτὴν τὴν ἡμέραν εἰσελθεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τὴν Συναγωγὴν τῶν Ἰουδαίων· καὶ ἐπιδοθέντος αὐτῷ βιβλίου, ὅπερ ἦν Ἡσαΐου τοῦ Προφήτου, ἀναπτύξαντα, εὑρεῖν τὸν τόπον, οὗ ἦν γεγραμμένον· Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι Ἐνιαυτὸν Κυρίου δεκτόν. εἶτα τὸ βιβλίον ἀποδόντα τῷ ὑπηρέτῃ, καὶ καθίσαντα εἰπεῖν, ὅτι σήμερον πεπλήρωται ἡ Γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. ὅτε καὶ ἐθαύμαζον οἱ ὄχλοι ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμην ποιοῦμεν τοῦ γενομένου θαύματος παρὰ τῆς Ἁγίας Θεοτόκου ἐν τῇ Μονῇ τῶν Μιασηνῶν. καὶ μνήμη τοῦ γενομένου ἐμπρησμοῦ.

ξι. Αὐθαιρέτως ἄνεισιν ἄγρατις ξένη,
Λίμνης βυθοῦ πάντιμος Εἰκὼν Παρθένου.

Ἡ Μνήμη τῆς Θεοτόκου τῶν Μιασηνῶν τελεῖται, διὰ τὴν παραδοξοποιὸν καὶ Ἁγίαν Εἰκόνα τῆς Θεοτόκου, τὴν ἐν τῇ λίμνῃ μὲν τῆς Γαζαροῦ, Μονῆς δὲ τῶν Μιασηνῶν, διὰ τὸν φόβον τῶν Εἰκονομάχων ῥιφθεῖσαν, καὶ μετὰ πολὺν χρόνον, εὐδοκίᾳ Θεοῦ, ἄσπιλον ἀναδοθεῖσαν.

Ἡ Δὲ τοῦ ἐμπρησμοῦ μνήμη, διὰ τὸ συμβῆναι διὰ τὰς ἁμαρτίας ἡμῶν, γενέσθαι ἐμπρησμὸν μέγιστον ἐν Κωνσταντινουπόλει, ἐπὶ Λέοντος τοῦ μεγάλου Βασιλέως, καὶ πυρποληθῆναι τὸ πλεῖστον μέρος τῆς Πόλεως, ἐπὶ ἡμέρας ἑπτά.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου.

ϛ. Λιπὼν Συμεὼν τὴν ἐπὶ στύλου βάσιν,
Τὴν ἐγγὺς εὗρε τοῦ Θεοῦ Λόγου στάσιν.
Τ' ψιβάτης Συμεὼν Σεπτεμβρίου ἔκθανε πρώτῃ.

Συμεὼν ὁ Στυλίτης ὑπῆρχεν ἐπὶ τῆς Βασιλείας Λέοντος τοῦ μεγάλου, καὶ Μαρτυρίου τῆς Ἀντιοχέων Ἱεραρχοῦντος, ὁρμώμενος ἀπὸ τῆς Κιλίκων Ἐπαρχίας, κώμης Σισάν. ὃς ὑπελθὼν τὸν μονήρη βίον, καὶ ἐπὶ κίονος ἀνελθὼν, καὶ τεσσαράκοντα ἑπτὰ χρόνους ἐν αὐτῷ προσκαρτερήσας, καὶ πολλῶν θαυμάτων γενόμενος αὐτουργὸς, ἐν εἰρήνῃ ἐκοιμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ὁσίας Μάρθας, Μητρὸς τοῦ Ὁσίου Συμεών. καὶ τῆς Ὁσίας Εὐανθίας. καὶ ἡ κοίμησις Ἰησοῦ τοῦ Ναυῆ.

ϛ. Ἐν γῇ ξενίζει Μάρθα τὸν Χριστὸν πάλαι,
Σὲ δὲ ξενίζει Μάρθα Χριστὸς ἐν Πόλῳ.
Ὅνπερ τρέχειν ἔστησεν Ἥλιον πάλαι,
Λιπὼν Ἰησοῦς, Ἥλιον δόξης βλέπει.

Οὗτος ὁ Ἰησοῦς ἐγένετο μὲν Υἱὸς Ναυῆ, διάδοχος δὲ τοῦ Μωσέως, τοῦ τῶν Ἑβραίων Νομοθέτου. ὃς καὶ τὴν Ἱεριχὼ παρέλαβε Πόλιν ὑπάρχουσαν τῶν ἀλλοφύλων. καὶ τὸν Ἀρχιστράτηγον Μιχαὴλ ἐθεάσατο κρατοῦντα ῥομφαίαν. καὶ μαθὼν ὅτι Ἀρχιστράτηγός ἐστι τῆς δυνάμεως Κυρίου, ῥίψας τὰ ὅπλα, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ. πολεμῶν δὲ τοῖς ἀλλοφύλοις, καὶ τοῦ Ἡλίου μέλλοντος δῦναι, ἔχων προθυμίαν εἰς τὸν πόλεμον, ηὔξατο πρὸς τὸν Θεὸν, καὶ εἶπε· στήτω ὁ Ἥλιος. καὶ εὐθέως ἔστησε τὸν Ἥλιον τοῦ δρόμου αὐτοῦ μὴ δῦναι, ἕως ἔτρεψε τοὺς ἀλλοφύλους κατὰ κράτος. Στρατηγήσας δὲ τοῦ λαοῦ, καὶ διαγαγὼν αὐτοὺς ἐκ τῆς ἐρήμου, καὶ διαμερίσας αὐτοῖς τὴν Γῆν τῆς ἐπαγγελίας, ἥτις ἐστὶ τὰ Ἱεροσόλυμα, καὶ κρίνας τὸν λαὸν τοῦ Ἰσραὴλ ἔτη εἰκοσιεπτὰ, καὶ φοβερὸς τοῖς πολεμίοις γενόμενος, καὶ ἐν πολλοῖς πολέμοις τὴν ἀνδρείαν αὐτοῦ καὶ ἀρετὴν ἐπιδειξάμενος, ἐτελεύτησε, καὶ ἐτάφη ἐντίμως παρὰ τοῦ οἰκείου λαοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων τεσσαράκοντα Γυναικῶν Μαρτύρων, Παρθένων, καὶ Ἀσκητριῶν, καὶ Ἀμμοῦν Διακόνου, καὶ Διδασκάλου αὐτῶν.

ϛ. Δισεικαρίθμοις Παρθένοις πῦρ καὶ ξίφος,
Θεοῦ προεξένησαν Υἱὸν νυμφίον.
Ἀμμοῦν καλύπτραν ἔμπυρον δεδεγμένος,
Τὸ σαρκικὸν κάλυμμα χαίρων ἐξέδυ.

Αὗται ἐγένοντο ἐξ Ἀδριανουπόλεως τῆς Μακεδονίας, καὶ Χριστιαναὶ οὖσαι, τῷ Χριστῷ ἠκολούθησαν, ἔχουσαι καὶ Διδάσκαλον τὸν Διάκονον Ἀμμοῦν. κρατηθεῖσαι δὲ παρὰ Ῥάβδου τοῦ τῆς Ἀδριανουπόλεως Ἄρχοντος, καὶ πολλὰ τιμωρηθεῖσαι τοῦ προσκυνῆσαι τὰ εἴδωλα, ηὔξαντο πρὸς τὸν Θεὸν, καὶ ἐκρεμάσθη εἰς τὸν ἀέρα ὁ Ἱερεὺς τῶν εἰδώλων, ἐπὶ πολλὰς ὥρας τιμωρηθεὶς, καὶ πεσῶν ἀπώλετο. κρεμᾶται δὲ ὁ Ἅγιος Ἀμμοῦν, καὶ ξέεται τὰς πλευράς. εἶτα κασίδα πεπυρωμένην δέχεται κατὰ τῆς κεφαλῆς, καὶ ταύτης ῥυσθεὶς, παρεπέμφθη μετὰ τῶν Ἁγίων Παρθένων ἀπὸ Βερόης εἰς Ἡράκλειαν τῆς Θρᾴκης Λικινίῳ τῷ Τυραννῳ. καὶ δι' ἀποφάσεως τούτου, αἱ μὲν δέκα εἰς πῦρ ἀνεβλήθησαν. αἱ δὲ ὀκτὼ μετὰ τοῦ διδασκάλου αὐτῶν ἀπεκεφαλίσθησαν. καὶ ἕτεραι δέκα, ξίφος κατὰ στόμα καὶ καρδίαν δεξάμεναι, ἐτελειώθησαν. καὶ ἓξ ὑπὸ μαχαιρῶν κατεκόπησαν. καὶ αἱ λοιπαὶ ἓξ σίδηρα πεπυρακτωμένα κατὰ στόμα λαβοῦσαι, πρὸς Κύριον ἐξεδήμησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων καὶ αὐταδέλφων Εὐόδου, Καλλίστης, καὶ Ἑρμογένους.

ϛ. Κάλλιστον ὄντως εὗρε Καλλίστη τέλος,
Σὺν τοῖς καλοῖς τμηθεῖσα διττοῖς συγγόνοις.

Οὗτοι οἱ Ἅγιοι Μάρτυρες αὐτάδελφοι ὄντες, ὡς ἀπὸ μιᾶς γαστρὸς γεννηθέντες, διὰ τῆς Θείας Κολυμβήθρας πνευματικῶς ἀνεγεννήθησαν κατὰ τοὺς καιροὺς τοῦ κηρύγματος

τος· ἐπεὶ δὲ ὡς Χριστιανοὶ τῷ Ἄρχοντι διεβλήθησαν, καὶ διεγνώσθη τὸ εὐγενὲς τῆς τούτων ψυχῆς παράστημα καὶ ἀκατάπληκτον φρόνημα, τὸν διὰ ξίφους θάνατον κατ' αὐτῶν ἀπεφήνατο. καὶ τὸν τοῦ μαρτυρίου δρόμον οὕτω τελέσαντες, πρὸς Κύριον ἐξεδήμησαν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

ΟΙ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν. ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἀρχόμενοι τοῦ ἔτους, καὶ τῶν ὕμνων, ἀπαρχὴν ποιούμεθα, τῷ βασιλεύοντι Χριστῷ, βασιλείαν τὴν ἀπέραντον, ὁ ὀρθόδοξος λαὸς, εὐσεβῶς μέλποντες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὁ Ὢν πρὸ τῶν αἰώνων, ἐπ' αἰῶνά τε, καὶ ἔτι Κύριος, τοῖς ἀναμέλπουσι Χριστὲ, ἡ πηγὴ τῆς ἀγαθότητος, τῶν χρηστῶν σου δωρεῶν τὸ ἔτος πλήρωσον. ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

ΟΙ δοῦλοι τῷ Δεσπότῃ εἰς πρεσβείαν, τὴν Ἁγνὴν Μητέρα σου, σοὶ προβαλλόμεθα Χριστὲ, ἀπὸ πάσης περιστάσεως, τὸν λαόν σου ἀγαθὲ, ῥυσθῆναι ψάλλοντα· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Ὁ διασώσας ἐν πυρί.

Ὡς ἀκατάπληκτον τὸ σὸν, φρόνημα Ἀμμοῦν θεοφόρε. καὶ γὰρ ἐξάρχων τοῦ χοροῦ τῶν παρθένων, βασάνους οὐκ ἔπτηξας, σὺν αὐταῖς τελειούμενος, ὡς Διάκονος καὶ Μύστης τῆς θείας δόξης.

Νυμφαγωγὸς οἷα σοφὸς, λόγοις ὑπαλείφεις ἀνδρείας, πρὸς τὸν νυμφίον ἀφορᾷν, καὶ σαρκὸς καρτερεῖν τὰ ἐπίπονα, κραυγαζούσας τὰς Μάρτυρας· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Μὴ ἀποκάμωμεν ἰδοὺ, ἠνοίκται τὸ στάδιον Κόραι. στῶμεν ἀνδρείως ὁ Χριστὸς, τοὺς στεφάνους προτείνει τοῦ σώματος. ἑαυτῶν μὴ φεισώμεθα, ἀνεβόων αἱ γενναῖαι ἐν τῷ σταδίῳ. Θεοτοκίον.

Εὐλογημένος ὁ καρπὸς, τῆς εὐλογημένης γαστρός σου· ὃν εὐλογοῦσιν οὐρανῶν, αἱ δυνάμεις βροτῶν τε συστήματα, ὡς ἡμᾶς λυτρωσάμενον, τῆς κατάρας τῆς ἀρχαίας εὐλογημένη.

Ἄλλος. Παῖδες Θεοσεβεῖς.

Ἔλυσας μὲν αὐχμὸν ἀπορουμένοις, καὶ πύλας αὐτοῖς ὑετοῦ ἠνοίξας, καὶ τὴν γῆν κλονουμένην, ἐντεύξεσιν ἔστησας, καὶ λαοὺς κραυγάζειν ἐδίδαξας· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς μέγιστος φωστὴρ τῆς Ἐκκλησίας, πολύφωτός τε Συμεὼν Ἥλιος, πανταχοῦ τὰς ἀκτῖνας, ἐκπέμπων ἐφώτιζες, καὶ λαοὺς κραυγάζειν ἐδίδασκες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νάματα πανταχόθεν συῤῥυέντα, θεράπον Χριστοῦ ἀνθρώπων πέλαγος, ἐν τῇ Μάνδρᾳ τῆς σῆς, συνεκρότει ἀσκήσεως, ὑπὸ σοῦ βοᾶν παιδευόμενοι· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Πάλαι μὲν τοῦ Πρεσβύτου ταῖς ἀγκάλαις, πλαξὶ δὲ τῆς σῆς καρδίας Ὅσιε, ἀοράτῳ δυνάμει, Χριστὸς ἀνεπαύσατο Συμεών· διὸ ἀνεκραύγαζες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ἔπρεπε τῷ ἀσπόρως σαρκουμένῳ, ἐκ σοῦ προελθεῖν Παρθένε ἄχραντε. σὺ γὰρ ἔφυσας τὸν πάντων Ἁγνὴ ἀνυπέρβλητον, ᾧ βοῶντες, ὕμνοις κραυγάζομεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Καταβασία.

Ἔκνοον πρόσταγμα, τυράννου δυσσεβοῦς λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς. ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμεον. ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ, διαφυλάξαντα Παῖδας, καὶ τὴν βροντῶσαν κάμινον, μεταβαλόντα εἰς δρόσον, Χριστὸν τὸν Θεὸν ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὡς ἀρχηγῷ τῆς σωτηρίας Χριστὲ, ἀπαρχὴν σοι προσφέρει τὴν ἐνιαύσιον, ἡ σεπτὴ Ἐκκλησία κραυγάζουσα· ὑμνεῖτε καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Τὸν ἐκ μὴ ὄντων τὰ πάντα σοφῶς, καινουργήσαντα Κτίστην, καὶ διεξάγοντα τῶν καιρῶν τὰς ἑλίξεις βουλήματι, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Τῷ

Ὦ διεξάγοντι τὰ πάντα Θεῷ, καὶ καιροὺς ἀλλοιοῦντι, πρὸς τὴν πολύτροπον τῶν ἀνθρώπων κυβέρνησιν ψάλλομεν· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Θ'.

Ἣν Θεομήτορα Παρθένον Ἁγνὴν, ἐν Ἐτῶν περιόδοις τε καὶ ἑλίξεσιν, Ὀρθοδόξων βροτῶν τὰ συστήματα, ὑμνοῦμέν σε ὡς Θεοτόκον, καὶ πάντων σωτηρίαν.

Ἄλλος. Παῖδας εὐαγεῖς.

Λαμπροὺς ἑαυτὰς ὡς ἐξ αἱμάτων, χιτῶνας μαρτυρικῶς περιεβάλεσθε, συναπεκδυσάμεναι, ὄντως τὸν φθειρόμενον, ταῖς ἁμαρτίαις ἄνθρωπον, καὶ ἀναμέλπουσαι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Πλουσίου φωτὸς φωτοχυσίας, Ἡλίου τοῦ νοητοῦ θείαις λαμπρότησι, Μάρτυρες λαμπόμεναι, νύκτα παρεδράμετε, τῆς ἀθείας ψάλλουσαι ἐν ὁμονοίᾳ ψυχῆς· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ἄρνες ὡς ἄσπιλοι ἀμνάδες, ὡς θεῖαι περιστεραὶ, ὡς ἐθελόθυτα, θύματα προσήχθητε, Μάρτυρες τῷ Κτίσαντι, καὶ ὡς θυσίαι ἄμωμοι, συμφώνως ψάλλουσαι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Προστάξει τυραννων παρανόμων, τὸν ἄδικον θάνατον ὑπέστητε, μέλη συγκοπτόμεναι, ῥάβδοις συντριβόμεναι, ἀνιλεῶς τυπτόμεναι, ξίφει τεμνόμεναι. διὸ τὰς ἀθανάτους κληροῦσθε, ἐν ἀγαλλιάσει πλουσίας ἀντιδόσεις.

Θεοτοκίον.

Ὀπίσω σου ἔδραμον γυναῖκες, τῶν μύρων τῶν ἡδυπνόων ἐπιστάμεναι, πάναγνε Θεόνυμφε, μόνη ἀπειρόγαμε, τοῦ ἐκ γαστρός σου λάμψαντος, μονογενοῦς Υἱοῦ· καὶ σοὶ συμβασιλεύουσιν ὄντως, ἀνυμνολογοῦσαι Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἄλλος. Τὸν ἐν ὄρει ἁγίῳ.

Ἀπὸ πάσης χωρήσας προσπαθείας, καὶ μητρῴαν ἀσθένειαν οἰκτείρας, οἷάπερ ζώσῃ ὤφθης μετὰ θάνατον. Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε βοῶν εἰς τοὺς αἰῶνας.

Νεανίαν συσφίγξας παρεθέντα, καὶ τὴν κλίνην τὸν Φύλαρχον προστάττεις, ἐπὶ τῶν ὤμων φέρειν ἱερώτατε, Κύριον ὑμνοῦντα, καὶ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

Ὁλαμπρύνας Ἰὼβ διὰ τοῦ πάθους, ἡλκωμένης σαρκός σου τὴν σαπρίαν, εἰς μαργαρίτην ἔτρεψε πολύτιμον, σὲ Χριστοῦ Θεράπον, Συμεὼν δοξάζων, εἰς πάντας τοὺς αἰῶνας.

Ἀηστάρχοντα ἀλάστορα ὡς πάλαι, ἐπὶ ξύλου Λῃστὴν προσεκαλέσω, ταῖς Συμεὼν ὦ Δέσποτα ἐντεύξεσιν. ὅθεν σε ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἣν Ἀγγέλου τὸ χαῖρε δεξαμένην, καὶ τεκοῦσαν τὸν Κύριον τῆς δόξης, καὶ τὸ φῶς τῷ Κόσμῳ ἀνατείλασαν, πάντες σὲ ὑμνοῦμεν, καὶ δοξολογοῦμεν Παρθένε Θεοτόκε.

Καταβασία.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεὸν ὑμνεῖτε, τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα Πανάγιον εἰς τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος· καὶ νῦν καθ' ἡμῶν τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον· ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλυνώμεν.

Ὅγε τοῦ Θεοῦ καὶ δύναμις, ἡ ἀληθὴς σοφία καὶ ἐνυπόστατος, ἡ συνέχουσα καὶ κυβερνῶσα τὰ πάντα σοφῶς, καὶ τὸν νῦν ἐπιστάντα τοῖς δούλοις σου, καιρὸν ἐν καταστάσει, γαληνιώσῃ διεξάγαγε.

Πάντα τὰ ἔργα σου Κύριε, οἱ οὐρανοὶ, ἡ γῆ, τὸ φῶς καὶ ἡ θάλασσα, ὕδατα, καὶ πᾶσαι αἱ πηγαὶ καὶ ὁ ἥλιος, ἡ σελ νη καὶ σκότος, τὰ ἄστρα τὸ πῦρ, καὶ τὸ φῶς ἄνθρωποι καὶ κτήνη, σὺν τοῖς Ἀγγέλοις εὐφημοῦσί σε.

Μόνη πρὸ αἰώνων πέφυκας, ἠὼς ποιητὴς αἰώνων καὶ βασιλεύουσα, Τρισυπόστατε μία Θεότης ἀμέριστε, ταῖς λιταῖς τῆς Ἁγνῆς Θεομήτορος, τὸ Ἔτος νικηφόρον, τῇ κληρουχίᾳ σου ἀνάδειξον.

Θεοτοκίον.

Ὥτερ τοῦ παντὸς, καὶ πρύτανι, δημιουργὲ καὶ παντοκράτορ τῆς Κτίσεως, ταῖς δεήσεσι τῆς ἀλοχεύτως Τεκούσης σε, τὴν εἰρήνην τῷ Κόσμῳ σου δώρησαι, τηρῶν τὴν Ἐκκλησίαν, ἀκαταπαύστως ἀστασίαστον.

Ἄλλος. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἀοῦσιν ἰάσεων κρουνοὺς τοῖς χρήζουσιν, ὡς ἐκ κρήνης αἱ πανόλβιοι· παύουσι λύμην νοση-

νοσημάτων, παθῶν ἀποδιώκουσι καύσωνα, καρδίας τῶν φιλοθέων ἀρδεύουσι, πρὸς εὐκαρπίαν θείων πράξεων.

Ὁ Θεῖος διάκονος Ἀμμοῦν, Κελσίνα τε καὶ πρὸς τούτοις τεσσαράκοντα, Θεῖαι θεόφρονες γυναῖκες, ἀθλήσασαι νομίμως ἐστέφθησαν. καὶ νῦν μετὰ Ἀγγέλων χορεύουσιν, ἃς κατὰ χρέος μακαρίζομεν.

Ὑψώθητε κράτος κατ' ἐχθρῶν ἀράμεναι, καὶ Ἀγγέλοις ὡμοιώθητε, ξύλου τρυφᾶτε ἀκωλύτως, ζωῆς ἐν παραδείσῳ Θεόνυμφοι· πηγὴν νῦν τῶν καλῶν κατειλήφατε, ὑπὲρ τοῦ Κόσμου ἱκετεύουσαι. Θεοτοκίον.

Ἐ Οφίας χωρίον ὑπὲρ νοῦν τῆς κρείττονος, ἀνεδείχθης Κόρη ἄμωμε, ἔμψυχος θρόνος τε καὶ πύλη· διὸ ὡς Βασιλίδα ἠγάπησαν, Παρθένοι σε Παρθένε ὀπίσω σου, ἀπενεχθεῖσαι τῆς Θεόπαιδος.

Ἄλλος. Τὸν προδηλωθέντα.

Ἐ Βασιλεύκοτα παθῶν διὰ καρτερίας, ὁ Χριστός σε προσήκατο, Συμεὼν Θεοφόρε, τῆς αὐτοῦ κοινωνὸν σκηπτουχίας. ὅθεν σε ὕμνοις μεγαλύνομεν.

Ἐ Ἀματικῆς χάριτος κατηξιωμένος, ἐξ ἀσύλων τοῦ Πνεύματος θησαυρῶν θεοφόρε, Συμεὼν τὰς ἰάσεις βραβεύεις, τοῖς πανηγυρίζουσι τὴν μνήμην σου.

Ἐ Πιβεβηκὼς Ὅσιε, τῆς οὐρανοδρόμου, ἀρετῆς καὶ αἰθέριον ἆθλον ἐνδεδεγμένος, καὶ πρὸς σκηνὰς ἀναπτὰς οὐρανίους, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Ἐ Ἀτος καιομένη πυρὶ, καὶ μὴ φλεγομένη ἀνεδείχθης ὦ Παρθένε, συλλαβοῦσα ἀσπόρως, τὸν Θεὸν καὶ Σωτῆρα τοῦ Κόσμου· ὃν ἀκαταπαύστως μεγαλύνομεν.

Καταβασία.

„ Μ Υστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωρ-
„ γήτως βλαστήσασα Χριστόν· ὑφ' οὗ
„ τὸ τοῦ Σταυροῦ ζωηφόρον, ἐν γῇ πεφυτούρ-
„ γηται δένδρον. διὸ νῦν ὑψουμένου, προσ-
„ κυνοῦντες αὐτὸν σὲ μεγαλύνομεν.

„ Ὁ Διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσ-
„ γενόμενος θάνατος, διὰ Σταυροῦ κα-
„ τήργηται σήμερον· τῆς γὰρ Προμήτορος ἡ
„ παγγενὴς κατάρα διαλέλυται, τῷ βλαστῷ
„ τῆς Ἁγνῆς Θεομήτορος. ἣν πᾶσαι αἱ Δυ-
„ νάμεις τῶν Οὐρανῶν μεγαλύνουσιν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Θ Εὲ θεῶν καὶ Κύριε, Τρισυπόστατε φύσις, ἀπρόσιτε ἀΐδιε, ἄκτιστε καὶ τῶν ὅλων, δημιουργὲ Παντοκράτορ, σοὶ προσπίπτομεν πάντες, καὶ σὲ καθικετεύομεν, τὸ παρὸν Ἔτος τοῦτο, ὡς ἀγαθὸς, εὐλογήσας φύλαττε ἐν εἰρήνῃ, τοὺς Βασιλεῖς καὶ ἅπαντα, τὸν λαόν σου Οἰκτίρμον.

Ἕτερον, τοῦ Ὁσίου. Ὅμοιον.

Φ Ωστῆρος δίκην Ὅσιε, ὃ φωσφόρος σου βίος, ἀστράψας κατεφώτισε, τὴν Ὑφήλιον πᾶσαν, ταῖς τῶν θαυμάτων ἀκτῖσι. διὰ στύλου γὰρ Πάτερ, ἀνῆλθες ὡς ἐν κλίμακι, πρὸς Θεὸν ἔνθα πάντων τῶν ὀρεκτῶν Συμεὼν τὸ ἔσχατον ὄντως πέλει, ὑπὲρ ἡμῶν δεόμενος, τῶν τιμώντων σε μάκαρ.

Ὅμοιον. Θεοτοκίον.

Δ Ημιουργὸς καὶ πρύτανις, πάσης Κτίσεως πέλων, καιροὺς καὶ χρόνους θέμενος, ἐν τῇ σῇ ἐξουσίᾳ, τὸν ἐνιαύσιον κύκλον, εὐλογίαις Οἰκτίρμον, χρηστότητος στεφανώσον, ἐν εἰρήνῃ φυλάττων, σοῦ τὸν λαὸν, ἀβλαβῆ ἀπήμαντον δυσωποῦμεν, πρεσβείαις τῆς Τεκούσης σε, καὶ τῶν Θείων Ἀγγέλων.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν ϛι. δ'. καὶ ψάλλομεν τὸν τρίτον, καὶ τοὺς δύο τετάρτους τῆς Ἰνδίκτου, καὶ τῶν Μαρτύρων τὸν δεύτερον. ἦχος γ'. Ἰωάννου Μοναχοῦ.

Π Ροαιώνιε Λόγε τοῦ Πατρὸς, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, καὶ συστησάμενος τὴν κτίσιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι· ὁ καιροὺς καὶ χρόνους, ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος· εὐλόγησον τὸν στέφανον τοῦ Ἐνιαυτοῦ τῆς χρηστότητός σου· δωρούμενος εἰρήνην ταῖς Ἐκκλησίαις σου, νίκας τῷ πιστοτάτῳ Βασιλεῖ, εὐφορίαν δὲ τῇ γῇ, καὶ ἡμῖν τὸ μέγα ἔλεος.

Τοῦ αὐτοῦ, ἦχος δ.

Ἡ Βασιλεία σου Χριστὲ ὁ Θεὸς, Βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. πάντα γὰρ ἐν σοφίᾳ ἐποίησας, καιροὺς ἡμῖν καὶ χρόνους προθέμενος. διὸ εὐχαριστοῦντες κατὰ πάντα καὶ διὰ πάντα βοῶμεν· εὐλόγησον τὸν στέφανον τοῦ Ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ καταξίωσον ἡμᾶς ἀκατακρίτως βοᾶν σοι· Κύριε δόξα σοι.

Ὁ αὐτός. Ἀνδρέου Πυρου.

Α Ἱ πορεῖαί σου ὁ Θεὸς, αἱ πορεῖαί σου μεγάλαι καὶ θαυμασταί· διὸ τῆς οἰκονομίας σου

τὴν

τὴν δυναστείαν μεγαλειοῦμεν· ὅτι φῶς ἐκ φωτὸς, ἐπεδήμησας εἰς παλαίπωρον Κόσμον σου. καὶ τὴν πρώτην ἀνεῖλες ἀρὰν, τοῦ παλαιοῦ Ἀδὰμ, ὡς ηὐδόκησας Λόγε· καὶ ἡμῖν ἐν σοφίᾳ, καιροὺς καὶ χρόνους ὑπέθου, τοῦ δοξάζειν τὴν παντουργικήν σου ἀγαθότητα, Κύριε δόξα σοι.

Ἦχος β'. Γερμανοῦ.

Ὅτε τῷ Πάθει σου Κύριε, τὴν Οἰκουμένην ἐστερέωσας, τότε καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. Γυναῖκες ηὐδρίσαντο κατὰ τοῦ πικροτάτου Τυράννου· καὶ τὴν ἧτταν τῆς Μητρὸς ἀνακαλεσάμεναι, καὶ πάλιν ἐν τῇ τρυφῇ τοῦ Παραδείσου γεγόνασιν· εἰς δόξαν σοῦ τοῦ γεννηθέντος ἐκ Γυναικὸς, καὶ σώσαντος τὸ γένος τῶν ἀνθρώπων.

Δόξα, τοῦ Ὁσίου, ἦχος β'.

Ἐκ ῥίζης ἀγαθῆς, ἀγαθὸς ἐβλάστησε καρπὸς, ὁ ἐκ βρέφους ἱερὸς Συμεὼν, χάριτι μᾶλλον, ἢ γάλακτι τραφείς. καὶ ἐπὶ πέτραν τὸ σῶμα ὑψώσας, πρὸς Θεὸν δὲ ὑπερύψωσε τὴν διανοίαν, αἰθέριον διεδομήσατο ταῖς ἀρεταῖς ἐνδιαίτημα, καὶ ταῖς θείαις δυνάμεσι, συμμετεωροπορῶν, Χριστοῦ γέγονεν οἰκητήριον, τοῦ Θεοῦ καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, ἦχος π. δ'. Γερμανοῦ.

Ὁ Ἀῤῥήτῳ σοφίᾳ συστησάμενος τὰ σύμπαντα, Λόγε Χριστὲ ὁ Θεὸς, ὁ καιροὺς καὶ χρόνους ἡμῖν προθέμενος, τὰ ἔργα τῶν χειρῶν σου εὐλόγησον. τὸν δὲ πιστὸν Βασιλέα ἐν τῇ δυνάμει σου εὔφρανον, διδοὺς αὐτῷ κατὰ βαρβάρων τὴν ἰσχὺν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων τῆς Ἰνδίκτου, καὶ τοῦ Ὁσίου, Ὠδὴ γ'. καὶ ς'. Προκείμενον, ἦχος γ'. Μέγας ὁ Κύριος ἡμῶν. ζι. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός. Ὁ Ἀπόστολος. Πρὸς Τιμόθεον. Τέκνον Τιμόθεε, παρακαλῶ πρῶτον. Τέλος. Ἐν πίστει καὶ ἀληθείᾳ. Ζήτει Σαββάτῳ λγ'. Καὶ ἕτερον Ἀπόστολον τοῦ Ὁσίου. Πρὸς Κολασσαεῖς. Ἀδελφοὶ, ἐνδύσασθε ὡς ἐκλεκτοί. Τέλος. Ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. Ζήτει Κυριακῇ λ'. Ἀλληλούϊα. ἦχος δ'. Σοὶ πρέπει ὕμνος ὁ Θεός. ζι. Εὐλογήσεις τὸν στέφανον. Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Ναζαρέτ. Τέλος. Ἐκ τοῦ στόματος αὐτοῦ. καὶ Τοῦ Ὁσίου. Ἐκ τοῦ κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος· πάντα μοι παρεδόθη ὑπὸ τοῦ. Ζήτει Ἰαννουαρίῳ κ'. Κοινωνικὸν τῆς Ἰνδίκτου. Εὐλόγησον τὸν στέφανον. Καὶ τοῦ Ὁσίου. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα, ἐκ γ'.

ΤΥΠΙΚΟΝ.

Ἐκ τῶν Ἀπορρήτων, περὶ τῆς Ἰνδίκτου, καὶ τοῦ Ὁσίου Συμεὼν, εἰ τύχωσιν ἐν Κυριακῇ. Κεφάλαιον α'.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ πρώτη τοῦ Σεπτεμβρίου Μηνὸς ἐκ Κυριακῇ, καταλιμπάνεται ἡ Ἀκολουθία τῶν Ἁγίων Γυναικῶν, καὶ ψάλλεται ὅταν ὁ Ἐκκλησιάρχης βούληται. Ψάλλονται δὲ τὰ Ἀναστάσιμα, μετὰ τῆς Ἀκολουθίας τῆς Ἰνδίκτου, Καὶ τοῦ Ὁσίου Συμεών. Ἐν τῷ μικρῷ Ἑσπερινῷ, ζι. Ἀναστάσιμα τῆς Θεοτόκου, ὡς σύνηθες. Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, Μετὰ τὴν συνήθη λο. Εἰς τὸ, Κύριε ἐκέκραξα, ζι. Ἀναστάσιμα γ'. Καὶ Ἀνατολικὸν ἕν. Τῆς Ἰνδίκτου γ'. Καὶ τοῦ Ἁγίου Συμεὼν γ'. Δόξα, τῆς Ἰνδίκτου. Καὶ νῦν, Θεοτοκίον. τὸ α'. τοῦ ἤχου. Τὰ Ἀνωγνώσματα τῆς Ἰνδίκτου. Καὶ τοῦ Ἁγίου. Εἰς τὴν Λιτὴν, τὸ στιχηρὸν τοῦ Ἁγίου τῆς Μονῆς, Καὶ τὴν Ἰνδίκτου Ἰδιόμελ. τοὺς β'. πρώτους, καὶ τοὺς β'. δευτέρους. Δόξα, ἦχ. πλ. β'. Θεία χάρις. Καὶ νῦν, ἦχ. πλ. δ'. Ὁ ἀῤῥήτῳ σοφίᾳ. Εἰς τὸν ζι. ζι. Ἀναστάσιμα τοῦ ζι. Καὶ τοῦ Ἀλφαβήτου. Δόξα τοῦ Ἁγίου. Καὶ νῦν, τῆς Ἰνδίκτου. Εἰς τὴν εὐλόγησιν τῶν Ἄρτων. Θεοτόκε Παρθένε, δίς. Καὶ τῆς Ἰνδίκτου, ἁπαξ. Ἀνάγνωσις. εἰς τὰς Ἐπιστολάς. Αἱ δὲ ἕτεραι Ἀναγνώσεις, ἐκ τοῦ Ἁγίου Συμεών. Εἰς τὸ, Θεὸς Κύριος. Τροπάριον Ἀναστάσιμον, Δίς. Δόξα, τοῦ Ἁγίου. Καὶ νῦν, τῆς Ἰνδίκτου. Εἰς τὰ Καθίσματα τῆς λο. Καθίσματα Ἀναστάσιμα, μετὰ τῶν Θεοτοκίων αὐτῶν. Ὁ Ἄμωμος, Ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Προκείμενον. Πᾶσα πνοὴ, Καὶ Εὐαγγέλιον Ἀναστάσιμον. Οἱ Κανόνες, Ὁ Ἀναστάσιμος Κανὼν, εἰς δ'. Τῆς Θεοτόκου, εἰς β'. Καὶ τῆς Ἰνδίκτου, εἰς δ'. Καὶ τοῦ Ὁσίου Συμεὼν, εἰς δ'. Καταβασία, Σταυρὸν χαράξας Μωσῆς. Ἀπὸ γ'. Ὠδῆς, Κάθισμα τοῦ Ὁσίου. Δόξα, καὶ νῦν, τῆς Ἰνδίκτου. Ἀφ' ἕκτης, Κοντάκιον τοῦ Ἁγίου. Ἐν τῇ θ'. Ὠδῇ, στιχολογεῖται ἡ Τιμιωτέρα. Ἐξαποστειλάριον, Τὸ Ἀναστάσιμον, Τοῦ Ἁγίου, Καὶ τῆς Ἰνδίκτου. Εἰς τοὺς Αἴνους. Πᾶσα πνοὴ, ζι. Ἀναστάσιμα, δ'. Καὶ τῆς Ἰνδίκτου Ἰδιόμ. ἦχος α'. Καὶ τοὺς β'. τετάρτους. Καὶ τοῦ Ἁγίου, ἦχ. β'. Ἐκ ῥίζης ἀγαθῆς. Μετὰ τῶν ζι. Σοὶ πρέπει ὕ-

μνος ὁ Θεὸς ἐν Σιών. ξι. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ. Δόξα. Τὸ Ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε. Δοξολογία μεγάλη. Τροπάριον, Τὸ Ἀναστάσιμον μόνον. Ἡ Ἐκτενής. Ἡ Κατήχησις. Καὶ Ἀπόλυσις. Ἡ συνήθης Λιτὴ, Καὶ ἡ ά. Ὥρα ἐν τῷ Νάρθηκι. Ἐν ταῖς Ὥραις. Ἐν μὲν τῇ μιᾷ, Τροπάρ. τὸ Ἀναστάσιμον. Δόξα, τῆς Ἰνδίκτου. Καὶ νῦν, Θεοτοκίον, τῆς Ὥρας. Κοντάκ. τοῦ Ἁγίου. Ἐν δὲ τῇ ἑτέρᾳ, Τροπάρ. τὸ Ἀναστάσιμον. Δόξα, τοῦ Ὁσίου. Καὶ νῦν, Θεοτοκίον τῆς Ὥρας. Κοντάκ. τοῦ Ὁσίου. Εἰς τὴν Λειτουργίαν, Τυπικά, Οἱ Μακαρισμοὶ τοῦ ἤχου, εἰς δ'. Καὶ ἐκ τοῦ Κανόνος τῆς Ἰνδίκτου, ἡ γ'. Ὠδὴ, εἰς δ'. Προκείμενον, ἦχ. γ'. Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. ξι. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός. Ὁ Ἀπόστολος. Πρὸς Τιμόθεον. Τέκνον Τιμόθεε, παρακαλῶ. Τέλος. Ἐν πίστει καὶ ἀληθείᾳ. Ἕτερος Ἀπόστολος. Πρὸς Κολασσαεῖς. Ἀδελφοὶ, ἐνδύσασθε ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν. Τέλος. Ἄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. Ζήτει Κυριακῇ λ'. Ἀλληλούϊα, ἦχ. δ'. Σὺ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών. ξι. Εὐλογήσεις τὸν στέφανον τοῦ Ἐνιαυτοῦ τῆς χρηστότητός σου. Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Ναζαρέτ. Τέλος. Ἐκ τοῦ στόματος αὐτοῦ. Ἕτερον τοῦ Ὁσίου. Κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου. Ζήτει τῇ ε'. τῆς δ'. Ἑβδομάδος, ἡ Ἰαννουαρίῳ, κ'. Κοινωνικὸν τῆς Ἰνδίκτου. Εὐλόγησον τὸν στέφανον τοῦ Ἐνιαυτοῦ. Καὶ τοῦ Ὁσίου. Εἰς μνημόσυνον αἰώνιον.

Μυνὶ τῷ αὐτῷ Β'.

Τοῦ Ἁγίου Μάρτυρος Μάμαντος, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Νηστευτοῦ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἀστῶμεν ξι.ς. καὶ ψάλλομεν ξι. προσόμοια τοῦ Ἁγίου γ'. καὶ τοῦ Ὁσίου γ'. ἦχος τοῦ.

Ὦ τοῦ παραδόξου θαύματος.

Θῆρας τὸ πρὶν τροπωσάμενος, τῶν ἀκαθέκτων παθῶν, Ἀθλοφόρε ἀοίδιμε, τῶν λεόντων χάσματα, καὶ θηρῶν τὰ ὁρμήματα. ἐντεύξει Θείᾳ, σὺ ἐχαλίνωσας. τῆς τούτων βλάβης, μείνας ἀμέτοχος, πῦρ οὐ κατέπτηξας, οὐ θυμὸν δικάζοντος. τῆς γὰρ Χριστοῦ, μάκαρ ἀγαπήσεως, οὐδὲν προέκρινας.

Νέῳ ἐν σώματι ἔνδοξε, τὸν παλαιὸν πτερνιστὴν, ἐτροπώσω τὰ στίγματα, τοῦ Χριστοῦ μακάριε, τῇ σαρκί σου δεξάμενος. καὶ νῦν Μαρτύρων συναγελάζῃ χοροῖς, στεφανηφόρος Μάμα πανεύφημε, φέγγει λαμπόμενος, Τρισηλίῳ πάντοτε τῶν ἐφετῶν, βλέπων τὸ ἀκρότατον, καθαρωτάτῳ νοΐ.

Οὗ σαρκωθέντος Θεοῦ ἡμῶν, καὶ διὰ πάθους Σταυροῦ, καθελόντος τὸν τύραννον, ζωηφόροις ἴχνεσιν, Ἀθλοφόρε ἑπόμενος, Μαρτύρων χαίρων, ὑπῆλθες στάδιον, καὶ ταῖς αἰκίαις κατατεινόμενος, τὸν καυχησάμενον, ὀξαλείφειν θάλασσαν, μετὰ σαρκὸς, Μάρτυς κατηδάφισας, καὶ ἐτραυμάτισας.

Τοῦ Ὁσίου. Ὅμοια.

Πάτερ Ἰωάννη πάνσοφε, σὺ τῷ ποδήρει σεπτῶς, Ἀαρὼν ὥσπερ δεύτερος, καθωραϊζόμενος, τῶν Ἁγίων τὰ Ἅγια, νῦν κατοπτεύεις, ἔνδον γενόμενος, καὶ τοῦ δευτέρου καταπετάσματος. ὦ τῆς ἀῤῥήτου σου, ὑπὲρ νοῦν ἐλλάμψεως, Ἱεραρχῶν, θεῖον ἐγκαλλώπισμα, ἧς περ μετέσχηκας.

Πάτερ Ἰωάννη πάνσοφε, θεοειδὴς γεγονὼς, τῇ τῶν τρόπων ἁπλότητι, Θεῷ νῦν παρίστασαι, τῇ ἐνώσει τῇ κρείττονι, καὶ ἀνενδότῳ νεύσει θεούμενος, καὶ τοῦ ἐκεῖθεν φωτὸς πληρούμενος, νοῦ καθαρότητι, καὶ ψυχῆς φαιδρότητι, Ἱεραρχῶν, θεῖον ἐγκαλλώπισμα, καὶ ἱερώτατον.

Πάτερ Ἰωάννη πάνσεπτε, τῆς κοσμικῆς ἀποστὰς, ταραχώδους συγχύσεως, τοῦ Χριστοῦ προσέδραμες, τῇ γαλήνῃ πανόσιε, καὶ θεωρίας καὶ θείας πράξεως, τὰς πανολβίους σαφῶς λαμπρότητας, ὄντως ἐπλούτησας, καὶ πιστοῖς μετέδωκας θεοπρεπεῖ, βίῳ λαμπρυνόμενος μακαριώτατε. Δόξα, ἦχος β'. Βυζαντίου.

Νέον φυτὸν, καθάπερ ἐλαίας, τῇ τοῦ Θεοῦ τραπέζῃ γεγένησαι, ὡς Υἱὸς τῶν πορευθέντων τὴν τοῦ Κυρίου ὁδόν. διὰ μαρτυρίου εὐλόγησέ σε Κύριος, καὶ βλέπεις τὰ ἀγαθὰ τῆς ἄνω Σιών. ἐντρυφῶν τῆς θείας ἀγαλλιάσεως, σὺν τοῖς γονεῦσι διὰ παντὸς, Μάμα ἀξιάγαστε. ὧν κοινωνοὺς ἡμᾶς ταῖς ἱκεσίαις σου γενέσθαι ποίησον.

Καὶ νῦν. Θεοτοκίον.

Ὅ τε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ῥγοις σκοτεινοῖς συναπαχθεὶς, ὅλον ἀπημαύρωσα κάλλος τὸ τοῦ Βαπτίσματος,

θέλων

θέλων ὁ πανάθλιος καὶ περιβέβλημαι, στολισμὸν κατακρίσεως, καὶ σκότους διόμε, δέομαι Πανύμνητε τῇ δυναστείᾳ σου, ῥῆξον, τῶν παθῶν μου τὰ ῥάκη, καὶ τῆς ἀπαθείας χιτῶνα, ἔνδυσον γυμνώττοντα καὶ σῷσόν με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὅτε ἡ ἀμίαντος Ἀμνὰς, ἔβλεπε τὸν ἴδιον Ἄρνα ἐπὶ σφαγὴν ὡς βροτὸν, θέλοντα ἑλκόμενον, θρηνοῦσα ἔλεγεν· ἀτεκνῶσαι νῦν σπεύδεις με, Χριστὲ τὴν τεκοῦσαν. τί τοῦτο πεποίηκας ὁ λυτρωτὴς τοῦ παντός; ὅμως, ἀνυμνῶ καὶ δοξάζω, σοῦ τὴν ὑπὲρ νοῦν τε καὶ λόγον, ἄκραν συγκατάβασιν φιλάνθρωπε.

Εἰς τὸν ξι. ξι. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος, δ'.

Δεῦτε συμφώνως οἱ πιστοὶ, μνήμην τελέσωμεν Μάμαντος Μάρτυρος. οὗτος γὰρ νέος Ἄβελ ἀνεδείχθη ἡμῖν. ὥσπερ γὰρ ἐκεῖνος ποιμὴν προβάτων γεγονὼς, ἀμνὸν εἰς θυσίαν πρῶτος προσήγαγε, καὶ στέφανον ἀθλήσεως, πρῶτος ἐκομίσατο· οὕτω καὶ ὁ ἔνδοξος Ἀθλοφόρος, θρεμματικοῖς ποιμνίοις ἐνδιαπρέψας, ἑαυτὸν θῦμα εὐπρόσδεκτον τῷ Χριστῷ, προσήγαγε διὰ τοῦ μαρτυρίου. καὶ παῤῥησίαν ἔχων πρὸς αὐτὸν, τὴν εἰρήνην τῷ Κόσμῳ αἰτεῖται, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. θτ. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Οἱ τῷ θείῳ Τεμένει σου, καταφεύγοντες Ἄχραντε, καὶ πιστῶς τὸ ἔδαφος καταβρέχοντες, ἐν μετανοίᾳ δακρύοντες, καὶ λύσιν λαμβάνουσι, τῶν δεινῶν ἁμαρτιῶν· καὶ τὴν χάριν κομίζονται, δυσωπούσης σου, ἐκτενῶς τὸν Δεσπότην, καὶ Σωτῆρα, τῶν ἁπάντων καὶ Υἱόν σου, Θεοκυῆτορ Πανάμωμε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Μὸν ἀμνὸν, καὶ ποιμένα σε, ἐπὶ Ξύλου ὡς ἔβλεπεν, ἡ ἀμνὰς ἡ τέξασα, ἐπωδύρετο, καὶ μητρικῶς σοι ἐφθέγγετο· Υἱὲ ποθεινότατε, πῶς ἐν ξύλῳ τοῦ Σταυροῦ, ἀνηρτήθης μακρόθυμε; πῶς τὰς χεῖράς σου, καὶ τοὺς πόδας σου Λόγε προσηλώθης, ὑπ' ἀνόμων καὶ τὸ Αἷμα, τὸ σὸν ἐξέχεας Δέσποτα;

Τροπάριον τοῦ Μάρτυρος, ἦχος, δ'.

Ὁ Μάρτυς σου Κύριε ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν. ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς Τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. αὐτοῦ ταῖς ἱκεσίαις, σῷσον τὰς ψυχὰς ἡμῶν.

Ἕτερον τοῦ Ὁσίου, ὁ αὐτός.

Κανόνα Πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια. διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἰωάννη Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ξιλο. Κανὼν τῆς Ὀκτωήχου εἰς, καὶ τῶν Ἁγίων δύο ὁ Κανὼν τοῦ Μάρτυρος.

Ὠδὴ, α'. ἦχος, τῆς. Ἁρματηλάτην Φαραώ.

Ποίημα Θεοφάνους.

Μοὺς Οὐρανοὺς περιπολῶν ὡς ἄριστος, Μάρτυς γενόμενος, καὶ τριφεγγοῦς αἴγλης, Ἔνδοξε πληρούμενος, τοὺς ἐπὶ γῆς τιμῶντάς σου, τὴν σεπτὴν καὶ φωσφόρον, ἡμέραν τῆς τελειώσεως, θείου φωτισμοῦ καταξίωσον.

Μὸ εὐγενὲς καὶ κτ. πάντα τέλειον, τῆς διανοίας σου, ὁ προειδὼς Λόγος, μάκαρ ἐκ σπαργάνων σε, συνέσεως ἐπλήρωσε, καὶ καλῶν ταῖς ἰδέαις, πολυειδῶς κατεκόσμησε, Μάρτυς ἀθλοφόρε πανεύφημε.

Οἱ σοὶ γενέται ἀμωμήτου Πίστεως, προκινδυνεύοντες, ἐν διωγμῷ πλάνης, ἐγκατακλειόμενοι, καὶ ἐν αὐτῇ τεθνήξαντες, Θεϊκῶν προσταγμάτων, βλαστάνουσί σε τὸν λύσαντα, τῆς πολυθείας τὸν σύνδεσμον. Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν Λόγον ἐν γαστρὶ χωρήσασα, Ἁγνὴ δὲ διαμείνασα, Θεοτόκε Μαρία. διό σε πάντες γεραίρομεν, τὴν μετ' Θεὸν προστασίαν ἡμῶν.

Ἕτερος Κανὼν τοῦ Ὁσίου, ἦχος, ὁ αὐτός.

Εἱρμὸς Ἄλλος. Τῷ ἐκτινάξαντι.

Ποίημα Γερμανοῦ.

Μῶν ἀνατείλαντι ἐν τῷ Κόσμῳ, τὸν Ἱεράρχην τὸν σοφὸν, τοῖς τῆς Βασιλείας διαλάμποντα δόγμασιν, ᾄσωμεν τῷ Χριστῷ, ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Μὸν διαλάμψαντα ἐν τῷ Κόσμῳ, τῆς εὐσεβείας τῷ φωτὶ, καὶ τῆς ἀσεβείας τὴν ἀχλὺν ἐκδιώξαντα, τιμήσωμεν οἱ πιστοὶ, ὡς Ἱεράρχην τὸν μέγαν Ἰωάννην.

Ὡς παρισταμένος σὺν Ἀγγέλοις, τῷ ἀπροσίτῳ Βασιλεῖ, τοῖς ἐπιτελοῦσί σου

τὴν μνήμην ἱκέτευε, δοθῆναι τὸν ἱλασμὸν, Ἱεροκήρυξ παμμάκαρ Ἰωάννη. θ'.

Ὡς συλλαβοῦσα τὸν πρὸ αἰώνων, ἄναρχον Λόγον τοῦ Πατρὸς, καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον Πανύμνητε, ἱκέτευε ἐκτενῶς, τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

Ὠδὴ, γ'. Οὐρανίας ἀψίδος.

Φωταυγῆ ὡς ἀστέρα, τὸν ἀθλητὴν Μάμαντα, ἔθετο Χριστὸς ἐν τῷ ὕψει, τῆς Ἐκκλησίας αὐτοῦ, ἄθλων λαμπρότησι, καὶ παραδόξων θαυμάτων, πᾶσαν τὴν Ὑφήλιον καταλαμπρύνοντα.

Ἀνελθὼν ἐν τῷ ὄρει, τῆς ἀληθοῦς γνώσεως, καὶ καταστραφθεὶς θεωρίαις, νοῦ καθαρότητι, φύσιν τὴν ἄλογον, πρὸς λογικὴν ὑμνῳδίαν, θεϊκαῖς προστάξεσι, Μάρτυς διήγειρας.

Νεανίας ὡραῖος, περικαλλὴς πέφηνας. ὅθεν τοῖς ἀνόμως ζητοῦσι, τοῦ συλλαβέσθαι σε, ὤφθης ἀπρόσιτος, ἐθελοντὶ πρὸς τὸ πάθος, ὡς ὁ πάντων Κύριος παραγενόμενος. Θεοτοκίον.

Οὐρανὸν ὁ τανύσας, καὶ τὸν τῆς γῆς Ἄχραντε, γύρον ὁ κατέχων ἁπάσης, φύσει Θεότητος, ἐν ταῖς ἀγκάλαις σου, σωματικῶς κατεσχέθη, καὶ πιστοῖς σε στήριγμα πᾶσιν ἀνέδειξε.

Ἄλλος. Ὁ στερεώσας λόγῳ.

Δι' ἐγκρατείας Πάτερ καὶ προσευχῆς, ἀκλινοῦς εἰσῆλθες πρὸς τὴν ἀκρόπολιν, τῆς ἀρετῆς Θεοφόρε. ἔνθα τῆς τρυφῆς τὸν χειμάρρουν τρυφᾷς.

Ὡς παρρησίαν ἔχων πρὸς τὸν Θεὸν, Ἱεράρχα Ὅσιε Ἰωάννη σοφὲ, ἱκέτευε τοῦ σῳθῆναι, τοὺς πίστει ἐκτελοῦντας τὴν μνήμην σου.

Ὡς εὐσεβῶν δογμάτων καθηγητὴς, καὶ σοφῶν λογίων ὑφηγητὴς ἀληθὴς, τὸν στέφανον ἀνεδήσω, κατὰ τῶν αἱρέσεων Ὅσιε. Θεοτοκίον.

Ὡς οὐρανὸν καὶ θρόνον σε τοῦ Θεοῦ, ἀνυμνοῦμεν πάντες Θεοκυῆτορ ἁγνή. ὅτι ἐκ σοῦ ἐπεφάνη, Ἰησοῦς Χριστὸς ἡ ἀλήθεια. Ὁ Εἱρμός.

» Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς, καὶ τὴν γῆν
» ἑδράσας ἐπὶ ὑδάτων πολλῶν, στερέωσόν
» με πρὸς ὕμνον, τῆς δοξολογίας σου Κύριε.

Ἦχος, τῆς. Τὴν Σοφίαν καὶ Λόγον.

Εὐσεβείας ὑπάρχων γόνος σεπτὸς, ἀσεβείας ἐδείχθης ἐκμειωτὴς, Μάμα πανεύφημε, τῇ δυνάμει τοῦ Πνεύματος. ἐν γὰρ σταδίῳ πλάνην, εἰδώλων διήλεγξας, καὶ εὐθαρσῶς Τριάδα, ὑμνεῖσθαι ἐκήρυξας. ὅθεν καὶ θηρίοις, ἐκδοθεὶς Ἀθλοφόρε, τὸν θῆρα ἐνέκρωσας, καὶ ἀρχέκακον δράκοντα. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα, τοῦ Ὁσίου, ἦχος, γ'. Θείας Πίστεως.

Σκεῦος ἔνθεον τῆς ἐγκρατείας, πλοῦτος ἄσυλος τῆς εὐσεβείας, ἀνεδείχθης Ἰωάννη μακάριε, ἐν ἀπαθείᾳ φαιδρυνάς τὸν βίον σου, τοῖς δεομένοις ἐπαντλήσας τὸν ἔλεον. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ χοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβείας σου, τοῖς ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἀμίαντος Ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομήτωρ, ἐν τῷ Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδίνως βλαστήσαντα, μητροπρεπῶς θρηνωδοῦσα ἐκραύγαζεν· οἴμοι τέκνον μου, πῶς πάσχεις θέλων, ῥύσασθαι παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον.

Ὠδὴ, δ'. Σύ μου ἰσχὺς, Κύριε.

Αὐτοθελῶς, πρὸς τοὺς ἀγῶνας ἐχώρησας, ἀπτοήτῳ Ἔνδοξε φρονήματι. τὸν γὰρ Χριστὸν εἶχες συνεργὸν, Θείᾳ δυναστείᾳ, τὸ ἀσθενές σου ῥωννύοντα, καὶ Μάρτυρα δεικνύντα, τῶν αὐτοῦ Παθημάτων, καὶ τῆς ἄνω λαμπρότητος μέτοχον.

Ὡς συνεργὸς, ὁ ἐκ Θεοῦ συνοδίτης σοι, καθυπείκει, οἷα λογικώτατος, ἄγριος θήρ. θείᾳ γὰρ στοργῇ. σὺ καθυποτάξας, τὰ πάθη τὰ ἀλογώτατα, ὡραῖος ἐπεφάνθης, λογισμῷ σοφωτάτῳ, ἀλογίαν ἐχθρῶν τροπωσάμενος.

Δικαστικῶν, σὺ πρὸ βημάτων παρίστασο, τὴν τοῦ Λόγου, σάρκωσιν Μακάριε. διαπρυσίως ἀναφωνῶν, καὶ τῆς ἀθείας ἀπομαραίνων τὸ φρύαγμα, καὶ πάντας ἀδιστάκτως,

κπως, μελῳδεῖν ἐκδιδάσκων· τῇ δωρεᾷ σε δόξα φιλάνθρωπε. Θεοτοκίον.

Ὦ τοκετῷ, τῆς ὑπὲρ φύσιν λοχείας σε, τῇ ὠδίνων, λέλυται τὸ ἔγκλημα· καὶ τῆς ἀρᾶς, ἡ τῇ γηγενῶν, φύσις ἀπηλλάγη, Θεοκυῆτορ παναμωμε· καὶ ἠνοίκται τοῖς κάτω, διὰ σοῦ τὰ τῇ ἄνω, καὶ Ἀγγέλοις βροτοὶ συγχορεύσι.

Ἄλλος, Μυσικῶς ὁ Προφήτης.

Τὸν Ἱεράρχαν πάντες τὸν σοφὸν, ἐν ᾠδαῖς ἀφνημήσωμεν λέγοντες· Θεοφόρε Κυρίε, ἐκτενῶς δυσώπα, σῳθῆναι ἡμᾶς.

Ὡς ἀσεβῶν δογμάτων φυτουργὸν, καὶ σοφὸν Ἱεράρχαν σε ἔχοντες, Θεομακάριστε Πάτερ, ὕμνοις καὶ ᾠδαῖς ἀφνημόμεθά σε.

Τὴν ἱεράν σε μνήμην καὶ σεπτὴν, ἀρχηγὲ τῆς τροφίμων τῆς Πίστεως, Ἱεράρχα Κυρίε, ὕμνοις καὶ ᾠδαῖς ἀφνημήσωμεν. Θεοτοκίον.

Τὴν Νύμφην Νύμφη καὶ ἀγνὴ, καὶ ἀλόχου Μήτηρ Χριστῷ τῷ Θεῷ, αὐτὸν ἀπαύστως πρέσβευε, σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ζεμνὸς ὁ σὸς ὅλως, σώματος ὁ εὔδοξος, Μάμας ἐφρόντισε, τῆς φθορᾶς τὸ πάχος, τῷ ἀπαράτρεπτα ἀποβαλλόμενος. καὶ τὰς δερματίνας, ἀποδυόμενος χιτῶνας, καὶ στολὴν ἀφθαρσίας δεχόμενος.

Χαρισήμου αἶνον, ἔμελπες τῷ Κτίσαντι, ἁβροτυπτόμενος, τὰς πλευρὰς Παμμάκαρ, καὶ φωνὴν ἀρανόθεν ἀκήκοας, βεβαιοῦσαν μᾶλλον, τὸν λογισμόν σου πρὸς τὸ κρεῖττον. καὶ τῇ πόνων τὸ ἄχθος κουφίζουσαν.

Ἣν ἱκτῆ συγκλειθεῖσα, ὤφθη ἀρανόθεν σοι, ἐπικομίζουσα, παράδοξα θέα, Ἄθλοφόρε παμμάκαρ πολυάθλε, βρῶσιν ἀφθαρσίας, πεφυτευκὼς ὡραιότητι. τῆς φθορᾶς γὰρ τὰς ὁρμὰς ἐκβέβηκας.

Ὠμαιώσεως θείας, καὶ καταλλαγῆς αὐτοφράστως, γέγονας πρόξενος, ἡ τὸν πρὸ ἡλίου, ἐκ Πατρὸς γεννηθέντα κυήσασα. διὰ σοῦ γὰρ φύσις, ἡ τῇ βροτῶν Θεῷ συνάφθη, καὶ ἐν θρόνῳ τῆς δόξης καθίδρυται.

Ἄλλος. Ὁ ἐκ νυκτὸς ὀρθρίζων.

Πνευματικῶς ἐκλάμψας, τῆς ἀσεβείας τῷ μύρῳ Θεόσοφε. ὅθεν ὡς Ἱεράρχην, πάντες ἀφνημόμεθά σε Ὅσιε.

Ὡς μιμητὴς ὑπάρχων, τῶν Ἀποστόλων Θεόφρον ἀοίδιμε, πόνοις καὶ ἀγρυπνίαις, τὸ τῆς Ἐκκλησίας προέστης λαός.

Ὃν ζηλωτὴν Ἠλίαν, καὶ Μωϋσῆν τὸν Θεόπτην μιμούμενος, Πάτερ Ἱεροφάντωρ, τὰς αἱρεσιάρχας κατήχμισας.

Θεοτοκίον.

Ὡς Βασιλίδα πάντες, καὶ Βασιλέα τῶν ὅλων κυήσασαν, δεῦτε σὺν τῷ Ἀγγέλῳ, τὸν ἀλόγημοσύνην μνήσωμεν.

Ὠδὴ ς΄. Ἰλάσθητί μοι Σωτήρ.

Ὦ ζήλῳ τῷ πρὸς Θεὸν, πυρούμενος ἱερώτατε, τῆς ὑφαπτάσης πυρᾶς, ὁλοσχερῶς ἐφρόντισας, θείῳ δροσιζόμενος, ἀρανόθεν ὄμβρῳ, Ἀθλοφόρε γενναιότατε.

Νεανίας τέλει, μεταποιήσας τὸν κάμινον, εἰς δρόσον φωτοφανῶς, Θεόφρον πανόλβιε, φλογὸς ἐξαρπάζει σε, καὶ πυρὸς δεικνύει, παραδόξως δωματώτερον.

Ἐγίσοις ἐγκαρτερῶν, ἀγῶσιν ὤφθης παμμέγιστος, ἐν Ἀθληταῖς θαυμαστὸς, ἐν Μάρτυσι δόκιμος. διὸ καὶ μείζονα σε, ὁ ἀγωνοθέτης, ἀντιδόσεων ἠξίωσε. Θεοτοκίον.

Ἐγόναμεν κοινωνοὶ, τῆς θείας φύσεως Ἀγγελοι, ἐβλάστησε, τῷ θείῳ σε τοκετῷ, καὶ λῆξιν Οὐρανίων, σὺν Ἀγγέλων πάσχειν, οἱ σὲ ἀφνημοῦντες, ἐν Χριστῷ ἐκληρωσάμεθα.

Ἄλλος. Ὡς τὸν Προφήτην ἐρρύσω.

Τῆς Ἐκκλησίας τὴν δόξαν, κατακοσμήσας Ἰωάννη μακάριε, τοῖς θείοις σου δόγμασι, τὰς αἱρέσεις πάσας, ἐκποδὼν ἐποίησας.

Ὡς φωστὴρ εὐσεβείας, τῶν δογμάτων σε τῷ κάλλει ἐξήσκησας, καθ' ὅλης τῆς Κτίσεως, Θεόφρον Διδάσκαλος, καὶ ἡμαύρωσας τὰς αἱρέσεις λόγῳ Θεοῦ.

Τὴν μαχαίραν τῇ γλώττῃ, καὶ τῷ λόγῳ χρησάμενος Ὅσιε, τὰ νόθα ἐξέκοψας διδάγματα ἅπαντα, καὶ ἐτράνωσας τὴν Τριάδα πᾶσι σαφῶς. Θεοτοκίον.

Τεχθεὶς ἐκ Παρθένου, καὶ Κόσμον φωτίσας Χριστὲ ὁ Θεός· κἀμὲ τῷ πταισμάτων μου, ῥῦσαι ὡς φιλάνθρωπος, καὶ κυβέρνησον τὴν ζωήν μου δέομαι. Ὁ Εἱρμός.

Ὡς τὸν Προφήτην ἐρρύσω, ἐκ βυθοῦ καταπότου Χριστὲ ὁ Θεός· κἀμὲ τῷ πταισμάτων μου, ῥῦσαι ὡς φιλάνθρωπος, καὶ κυβέρνησον τὴν ζωήν μου δέομαι.

Κοντάκ. ἦχ. γ'. Ἡ Παρθένος σήμερον.

Ἐν τῇ ῥάβδῳ Ἅγιε, τῇ ἐκ Θεοῦ σοι δοθείσῃ, τὸν λαόν σου ποίμανον, ἐπὶ νομὰς ζωηφόρους. θῆρας δὲ τοὺς ἀοράτους καὶ ἀνημέρους, σύντριψον ὑπὸ τοὺς πόδας τῶν σὲ ὑμνούντων. ὅτι πάντες οἱ ἐν κινδύνοις, προστάτην Μάμα, θερμόν σε κεκτήμεθα.

Ὁ Οἶκος.

Τὸν ἐν πάσῃ τῇ γῇ περιβόητον Μάρτυρα, καὶ ἐν τοῖς Οὐρανοῖς σὺν Ἀγγέλοις χορεύοντα, ὑμνήσωμεν Μάμαντα, τὸν πρὶν τὰς ἐλάφους ἐν ταῖς ἐρήμοις καινῶς ἀμέλγοντα· καὶ νῦν περιούσιον λαὸν Κυρίου, ῥάβδῳ δυνάμεως, ὡς ποιμένα καλῶς περινέμοντα, καὶ ὁδηγοῦντα εἰς τόπον χλόης, ἔνθα ὑπάρχει ἀληθῶς τοῦ Παραδείσου ἡ τρυφή. δι' αὐτὴν γὰρ τὸν Κόσμον κατέλιπε. τοῦτον πάντες προστάτην μέγαν θερμὸν κεκτήμεθα.

Τῷ αὐτῷ Μηνὶ β'. Μνήμη τοῦ Ἁγίου Μάρτυρος Μάμαντος.

ξι. Ἀκμαῖος ὢν Τριάδος εἰς πίστιν Μάμας, Ἀκμαῖς τριαίνης καρτερεῖ τετρωμένος.

Δευτερίῃ χολάδες Μάμαντος χῦντο τριαίνῃ.

Οὗτος ἦν ἐκ Γάγγρας, Πόλεως Παφλαγόνων, γονέων Χριστιανῶν. ὧν ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως κρατηθέντων, καὶ φρουρᾷ παραδοθέντων, τίκτεται οὗτος ἐν αὐτοῖς τοῖς δεσμοῖς. ἐπεὶ δὲ καὶ ἐν τῇ φρουρᾷ ἐτελεύτησαν, ἀναλαμβάνεται ὁ μακάριος παράτινος γυναικὸς Χριστιανῆς Ἀμμίας καλουμένης, καὶ ἀνατρέφεται. ὃν συνεχῶς μαμᾶ τὴν θετὴν μητέρα καλοῦντα, Μάμαν ὠνόμασαν. ἐτῶν δὲ γενόμενος πέντε καὶ δέκα, συλλαμβάνεται ὡς Χριστιανὸς, καὶ ῥάβδοις τύπτεται, καὶ μολύβδου τῷ τραχήλῳ τούτου ἐξαρτηθέντος, τῇ θαλάσσῃ ἐναπορρίπτεται. καὶ περισῳθεὶς τοῦ κινδύνου θείᾳ δυνάμει, ὑπό τι σπήλαιον κρύπτεται, τρεφόμενος τῷ τῶν ἐλάφων γάλακτι. καὶ αὖθις κρατηθεὶς εἰς κάμινον ἐμβάλλεται, καὶ θηρίοις ἐκδίδοται, καὶ τέλος τριαίνῃ σιδηρᾷ τὰ σπλάγχνα διασπαρεὶς, τῆς παρούσης ζωῆς ὑπεξάγεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατριάρχου Κωνσταντινουπόλεως Ἰωάννου τοῦ Νηστευτοῦ.

ξι. Τοῖς μὴ ῥέουσιν ἐντρυφᾷς νῦν ἡδέσι, Νηστευτὰ ῥευστῶν ἡδονῶν Ἰωάννη.

Ὁ Ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἰωάννης, ἦν ἐπὶ τῆς Βασιλείας Ἰουστίνου, καὶ Τιβερίου, καὶ Μαυρικίου τῶν Βασιλέων, ἐν Κωνσταντινουπόλει γεννηθεὶς, χαράκτης πρώην ὑπάρχων, ἀνὴρ εὐσεβὴς καὶ φιλόπτωχος, φιλόξενος, καὶ φοβούμενος τὸν Θεόν. οὗτος Μοναχὸν Εὐσέβιον τοὔνομα ἐκ Παλαιστίνης γενόμενον ὑπεδέξατο, ὃς καὶ περιπατῶν ἐν τῇ ὁδῷ εἰς τὰ δεξιὰ μέρη τοῦ Ὁσίου, ἤκουε τινὸς διαλεγομένου αὐτῷ, οὐκ ἐφεῖται σου Ἀββᾶ, ἐν τοῖς δεξιοῖς περιπατεῖν τοῦ μεγάλου. προμηνύοντος ἄρα τοῦ Θεοῦ τὴν μέλλουσαν ἐγχειρίζεσθαι αὐτῷ μεγάλην Ἀρχιερωσύνην. μετὰ ταῦτα ἀναγνωρίζεται τῷ ἐν Ἁγίοις Εὐτυχίῳ, τῷ ἀπὸ σχολαστικῶν καὶ Ἀρχιερεῖ τοῦ Θεοῦ. ὃς καὶ ἀποκαρῆναι αὐτὸν συνεβούλευσεν, ὡς ἄξιον ὄντα καταταγῆναι εἰς κλῆρον. ἔτι δὲ ἐν τοῖς Διακόνοις ὄντος αὐτοῦ, ἦλθεν εἰς τὸν Ναὸν τοῦ Ἁγίου Λαυρεντίου, μεσημβρίας οὔσης, καὶ εὑρίσκει Ἐρημίτην τινὰ ἐκεῖσε, ὃν οὐδεὶς ἐγίνωσκε πόθεν παραγέγονε, καὶ ὑπεδείκνυε τῷ Ὁσίῳ τοὺς ἀναβαθμοὺς τοῦ Θυσιαστηρίου. καὶ ἰδοὺ μυριάδες Ἁγίων, καὶ φωνὴ συμμιγὴς, ᾠδή τε φρικώδης ἐξηκούετο. καὶ λευκὰς στολὰς ἐξαστραπτούσας ἅπαντες ἐνεδυδίσκοντο. Οὗτος διανομεὺς ὢν καὶ διάκονος τῶν χρημάτων τῆς Ἐκκλησίας, ὑποστρέφων ἐκ τοῦ ἔξωθεν πεδινοῦ τόπου, καὶ ἓν μόνον βαλάντιον ἔχων, καὶ ἀφθόνως διδοὺς, ὡς οὐκ ἐκενοῦτο τῶν πενήτων συρρεόντων εἰς πλῆθος. ἔφθασε δὲ καὶ εἰς τὸν βοῦν τινὸς τῶν σὺν αὐτῷ ἀνακράξαντος καὶ εἰπόντος, Κύριε ἐλέησόν με, μέχρι τίνος οὐ κενοῦται ἡμῖν τοῦτο τὸ βαλάντιον; τὸ μὲν βαλάντιον παραχρῆμα κενὸν ἦν, αὐτὸς δὲ λεοντῶδες εἰς ἐκεῖνον ἰδὼν, ἔφη· ὁ Θεὸς ἀδελφὲ συγχωρήσοι σοι. μέχρις ἂν πολλοῦ ἔμελλε διαρκέσαι. μετὰ δὲ τὴν κοίμησιν Εὐτυχίου Πατριάρχου κρατηθεὶς εἰς τὸ χειροτονηθῆναι, οὐκ ἐπείθετο. καὶ εἶδεν ἔκστασιν φοβεράν, ἡ δὲ ἦν. θάλασσα μέχρις οὐρανοῦ φθάνουσα, καὶ κάμινος πυρὸς φρικτὴ, καὶ Ἀγγέλων πλῆθος προσφθεγγομένων αὐτῷ οὕτως· οὐκ ἐνδέχεται ἄλλως γενέσθαι, ἀλλὰ σιώπα· ἐπεὶ τῶν ἀμφοτέρων πειραθήσῃ. ταῦτα δὲ ἔλεγον μετὰ ἀπειλῆς. τότε καὶ μὴ βουλόμενος, ἐξέδωκεν ἑαυτόν. καὶ χειροτονεῖται

Πα-

Πατριάρχης Κωνσταντινουπόλεως, ἄσκησιν ἄκραν καὶ βίον σεμνὸν, διὰ πάσης ἀρετῆς μέχρι τέλους διεξελθών. Οὗτος διαπερῶν ποτὲ τὸ ἕβδομον, καὶ κλύδωνος μεγάλου γεγονότος, τῇ εὐχῇ καὶ σφραγῖδι τοῦ Σταυροῦ, τὴν θάλασσαν εἰς γαλήνην μετέβαλεν. Ἐπίχυσιν δὲ ὀμμάτων ἔχων ὁ Γαζεὺς Ἰωάννης ὁ σχολαστικὸς, καὶ λαβὼν παρὰ τοῦ Ἁγίου τούτου Πατριάρχου τὴν ἄχραντον Μερίδα, φήσαντος αὐτοῦ, Σῶμα Χριστοῦ, τοῦ τὸν ἐκ γενετῆς ἰασαμένου τυφλὸν, καὶ ἀσπασάμενος αὐτὸν, ἰάσεως ἔτυχε. Θανατικοῦ ποτὲ μεγάλου γεγονότος, δέδωκε τινὶ πιστῷ ἐκ τῶν ὑπουργούντων αὐτῷ, δύο σπυρίδας, μίαν κενὴν, καὶ ἑτέραν ψηφίδων μεστήν. καὶ λέγει αὐτῷ· στῆθι εἰς τὸν βοῦν, καὶ τοὺς παρερχομένους νεκροὺς μετρῶν, κατὰ τὸν αὐτὸν ἀριθμὸν, ἀποκένου ψηφίδας εἰς τὴν κενὴν σπυρίδα. καὶ τοῦτο ποιήσας ἅπαξ καὶ δὶς, ἔγνω ὅτι ἐξεκομίσθησαν τῇ πρώτῃ ἡμέρᾳ ψυχαὶ τριακόσιαι εἰκοσιτρεῖς, καὶ τῇ δευτέρᾳ τοῦτο ποιήσας, ὀλίγον ἐκόπασε. μέχρι τῆς ἑβδόμης τοῦτο ποιῶν, εὗρεν ὅτι παντελῶς ἐκόπασεν ἡ θραῦσις, διὰ τῆς ἐπιτεταμένης τοῦ Ἁγίου προσευχῆς. Τῆς δὲ ἐγκρατείας οὕτως ἦν ἐπιμελούμενος, ὥστε ἐπὶ ἓξ μῆνας, μηδὲ ὕδατος μεταλαβεῖν. Θριδακίνης δὲ μιᾶς ὁ καυλὸς, ἐκεῖνο καὶ μόνον ἐγένετο βρῶσις καὶ πόσις, ἢ πέπονος ὀλίγου· ἄλλοτε σταφυλῆς ἢ σύκων καθυπαλλαγὴν, ταῦτα ἦν αὐτῷ τροφὴ, ἐν τοῖς τρισκαίδεκα πρὸς τῷ ἡμίσει χρόνοις τῆς Ἀρχιερωσύνης αὐτοῦ. Ὕπνος δὲ ἦν αὐτῷ, τὸ καθεῖσθαι καὶ τὰ στέρνα ἐπισυνάπτειν τοῖς γόνασι. ῥαφὶς δὲ αὐτῷ ἐπηρτᾶτο εἰς ἅπτοντα κηρὸν ἐπικαέντα. καὶ ἡνίκα τοῦ κηροῦ ὑπὸ τοῦ πυρὸς δαπανηθέντος, ἡ ῥαφὶς ἐν λεκάνῃ ἐρρίπτετο, ἀνίστατο. εἰ δὲ συνέβη μὴ ἀκοῦσαι αὐτὸν τοῦ κτύπου τῆς ῥαφίδος, τὴν ἐπιοῦσαν νύκτα ὅλην ἄϋπνος διετέλει. Οὗτος δι' εὐχῆς μὲν τοῖς πάθεσι πολεμῶν, τὰς τῶν βαρβάρων ἀπέστρεφε μάχας. διὰ νηστείας δὲ τὴν λύμην τῆς Πόλεως διεῖλε. καὶ τῇ ἀγρυπνίᾳ τὴν Ποίμνην ἐφύλαττεν ἐξ ἀοράτων καὶ ὁρατῶν ἐχθρῶν. Ποτὲ δὲ παρασκευῆς οὔσης ὀψίας, λέγουσι τῷ Ὁσίῳ· αὔριον Δέσποτα ἱπποδρόμιον ἄγεται. ἦν δὲ Σάββατον τῆς Πεντηκοστῆς· καὶ ἀποκριθεὶς λέγει· ἱπποδρόμιον τῇ Ἁγίᾳ Πεντηκοστῇ; καὶ πεσὼν ἐπὶ τὰ γόνατα ἐδυσώπει τὸν Θεὸν γενέσθαι τι σημεῖον φόβου ἕνεκα πρὸς τὸ κωλύσαι τοῦτο. καὶ ἰδοὺ τῇ δείλῃ αἰθρίας οὔσης, γίνονται καταιγίδες καὶ πλῆθος ἀνέμου, καὶ ὑδάτων φορὰ, ὡς συντελεσθῆναι πάντας, καὶ φεύγειν τὸν λαὸν ἐκ τοῦ ἱππικοῦ. ἐκτὸς γὰρ τούτου φόβος ἕτερος οὐκ ἐγένετο ἄλλοτε. Γυνὴ δέ τις τὸν ἄνδρα ἔχουσα δαιμονῶντα, καὶ ἀνδρί τινι τὴν ἔρημον οἰκοῦντι καταφυγοῦσα, ἄπελθε ἔφη πρὸς τὸν Ἁγιώτατον Πατριάρχην Κωνσταντινουπόλεως Ἰωάννην, κἀκεῖνος αὐτὸν ἰάσεται. καὶ τοῦτο ποιήσασα, οὐ διήμαρτε τοῦ σκοποῦ. λαβοῦσα γὰρ τὴν τοῦ ἀνδρὸς ἴασιν τῇ προσευχῇ τοῦ Ἁγίου, οἴκαδε χαίρουσα ἐπορεύετο. Τούτου τῇ εὐχῇ καὶ στεῖραι γυναῖκες τέκνα ἔτεκον, καὶ ἀσθενοῦντες πολλοὶ ἰάσεως ἔτυχον. κοιμηθέντος δὲ αὐτοῦ ἐν εἰρήνῃ, καὶ προτεθέντος, ἐλθὼν εἰς ἀσπασμὸν αὐτοῦ Νεῖλος ὁ ἐνδοξότατος Ἔπαρχος, ἀντεφιλήθη παρὰ τοῦ Ἁγίου, πάντων ὁρώντων καὶ θαυμαζόντων. εἶπε δὲ αὐτῷ καί τινα ῥήματα εἰς τὸ οὖς, ἅτινα οὐκ ἐξεῖπε τινί. ἐκήδευσαν δὲ αὐτὸν ἔνδον τοῦ Θυσιαστηρίου τῶν Ἁγίων Ἀποστόλων ὡς ἄξιον, δοξάζοντες Πατέρα, Υἱὸν, καὶ τὸ Ἅγιον Πνεῦμα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Παύλου τοῦ νέου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Ἀ. Δρόμους ὁ Παῦλος ἐκλιπὼν τοὺς τοῦ βίου,
Εὕρηκε παύλαν καὶ πόνων τῶν τοῦ βίου.
Ὁ Ἅγιος Διομήδης σπαθιζόμενος τελειοῦται.
Ἀ. Σίδηρος εἰς σίδηρον ὁ Διομήδης,
Πρὸς τοὺς σπαθισμοὺς ἀνδρικῶς ἐκαρτέρει.
Ὁ Ἅγιος Ἰουλιανὸς ξύλῳ θλασθεὶς τὴν κεφαλὴν, τελειοῦται.
Ἀ. Ἰουλιανὸς συντριβεὶς κάραν ξύλῳ,
Τὸν πρὸς Θεὸν νοῦν σῷος εἰς τέλος μένει.
Ὁ Ἅγιος Φίλιππος ξίφει τελειοῦται.
Ἀ. Ἵππον ταχὺν Φίλιππος τὴν τομὴν ἔχων,
Πρὸς τὸν φιλοῦντα θᾶττον ἦλθε Δεσπότην.
Ὁ Ἅγιος Εὐτυχιανὸς ἐν ἐχάρᾳ πυρὸς τελειοῦται.
Ἀ. Εὐτυχιανὸς πυρποληθεὶς ἐχάρᾳ,
Εἰς εὐτυχῆ μετῆλθε κλῆρον Μαρτύρων.

Ὁ Ἅγιος Ἡσύχιος ἀπαγχονισθεὶς τελειοῦται.

ξ. Ποθῶν τὸν ὄντως Ἡσύχιος Δεσπότην,
Καὶ τὸν δι' αὐτὸν ἡσύχως φέρει βρόχον.

Ὁ Ἅγιος Λεωνίδης πυρὶ τελειοῦται.

ξ. Τοῦ πρὸς Θεόν σε φλὸξ πόθου Λεωνίδη,
Ἔπειθε ῥᾶστα καὶ φλογὸς φέρειν βίαν.

Ὁ Ἅγιος Εὐτύχιος σταυρωθεὶς τελειοῦται.

ξ. Βαίνων κατ' ἴχνος Εὐτύχιος Κυρίου,
Δίκην ἐκείνου καρτερεῖ Σταυροῦ πάθος.

Ὁ Ἅγιος Φιλάδελφος λίθῳ τὸν τράχηλον βαρυνθεὶς τελειοῦται.

ξ. Σαρκὸς βάρος παῦ ἐκλιπὼν λίθου βάρει,
Ἀνῆλθες κοῦφος Φιλάδελφος εἰς Πόλον.

Ὁ Ἅγιος Μελανίππος πυρὶ τελειοῦται.

ξ. Εἴπέρ τι Μελανίππος εἶχε καὶ μέλαν,
Κάθαρσιν εὗρεν, εἰς τὸ πῦρ βεβλημένος.

Ἡ Ἁγία Παρθαγάπη ἐν τῇ θαλάσσῃ τελειοῦται.

ξ. Θνήσκεις θαλάσσης ἔνδον ὦ Παρθαγάπη,
Καὶ δωρεῶν θάλασσαν εὑρίσκεις ἄνω.

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Παύλου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ. καὶ μνήμη Ἐλεαζάρου τοῦ Ἱερέως, καὶ Φινὲς, καὶ τῶν Ἁγίων Μαρτύρων Ἀειθαλᾶ καὶ Ἀμμοῦν.

Οὗτοι οἱ Ἅγιοι Μάρτυρες, τὴν ἡγεμονείαν τῆς Θρᾴκης τῆς ἐν τῇ Ἀδριανουπόλει τοῦ Βάβδου κατέχοντος, διεβλήθησαν ὡς Χριστιανοί. ἐρωτηθέντες δὲ τὴν τύχην εἰπεῖν καὶ τὸ ἐπιτήδευμα, Χριστιανοὶ ὡμολόγησαν εἶναι. ὡς δὲ θῦσαι τοῖς εἰδώλοις ἠναγκάζοντο, καὶ οὐκ ἐπείθοντο, λοιπὸν πρὸς τὰς ἀποκρίσεις ἐν ἀμηχανίᾳ γεγονὼς ὁ Τύραννος, βουνεύροις τῆς Πίστεως αὐτῶν τὸ στερρὸν διαλύειν ἐπειρᾶτο. ἐπὶ τοσοῦτον οὖν ταῖς βασανοῖς κατεξανθήσαν, ὡς ἐν αὐταῖς τὰς ψυχὰς τῷ Θεῷ παραθέσθαι.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ, ζ'. Θεοῦ συγκατάβασιν.

Καμίνου τὸ εἶδός σοι, θαλάμου ὥσπερ χρείαν ἐπλήρωσεν. εἰς ἡμέρας γὰρ πλείους, ἐν ταύτῃ Μάκαρ κατακλειόμενος, οὐ κατεφλέχθης βοῶν τῷ ποιήσαντι· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀγγέλους συλλήπτορας, συγχορευτὰς καὶ συγκοινωνοῦντάς σοι, ἀπορρήτων ᾀσμάτων, φλογὸς ἐν μέσῳ, Μάρτυς ἐκέκτησο. μεθ' ὧν τῷ πάντων Δεσπότῃ ἐκραύγαζες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ῥόδον ἀμάραντον, ὡς ἐκ παστάδος νυμφίος πρόεισιν, ὡραιότατος ὄντως ἐκ τῆς καμίνου φλέξας τοὺς ἄφρονας, καὶ τοὺς ὁρῶντας φωτίσας κραυγάζοντας· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θτ.

Ἐδοὺ νῦν πεπλήρωται, τοῦ Θεηγόρου ἡ προαγόρευσις. ἐν γαστρὶ γὰρ Παρθένε, τὸν Θεὸν Λόγον ἔσχες καὶ τέτοκας, τὸν ζωοδότην, ᾧ πάντες κραυγάζομεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Ὁ ἐν ἀρχῇ τὴν γῆν.

Ὁ Ἐπὶ γῆς φωστῆρα ἀναδείξας, τὸν εὐσεβῆ καὶ σοφὸν Ἱεράρχην· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ Ἀληθῆ Ἰωάννην τὸν μέγαν, ποίμνῃ τῇ σῇ ποιμένα ἀναδείξας· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀς τῆς σαρκὸς ἐπαναστάσεις Πάτερ, καταβαλὼν τῷ Χριστῷ ἀνεβόας· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ὁ Δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ τοῦ ἐχθροῦ ῥυσάμενος τὸν Κόσμον· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ, η'. Ἑπταπλασίως κάμινον.

Ὡς Δανιὴλ τὰ χάσματα, τῶν θηρίων ἐφίμωσας. θείᾳ τοῦ Δεσπότου ἐπικλήσει Ἔνδοξε, τὸν ὄφιν ἐνέκρωσας, τοὺς δυσεβεῖς κατῄσχυνας. καὶ ὡς νικητὴς τοὺς οὐρανοὺς ἀναμέλπων, οἰκεῖς ἐν εὐφροσύνῃ· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Εἰθολευστοῦσι Μάκαρ σε, οἱ τοῖς λίθοις λατρεύοντες· καὶ πεπυρωμένοι τὴν ψυχὴν παρανόμοι, τὸ ὄμμα ἐρείδονται, τῆς ἱερᾶς σου μάκαρ ψυχῆς, πρὸς τὴν ἀρραγῆ καὶ ἀταπείνωτον πέτραν, καὶ μέλπουσι προθύμως, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀγωνοθέτης ἄνωθεν, σοὶ προτείνων τὸν στέφανον, οἷα νικητῇ, καὶ τὸν καλὸν ἀνύσαντι, ἀγῶνα Πανόλβιε, ἐπιφωνεῖ σοι τὴν πρὸς αὐτὸν, στείλασθαι σεπτὴν καὶ γλυκυτάτην πορείαν, προθύμως μελῳδοῦντι, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεο-

Θεοτοκίον.

Ὑπερφυῶς συνέλαβες, τὸν ἐκ Πατρὸς ἀμήτορα, μείνασα Παρθένος, μετὰ τόκον Ἄχραντε. Θεοῦ γὰρ ἡ ἕνωσις, καινοποιεῖ τὰς φύσεις ἐν σοί. καὶ καινοποιοῦνται τῆς οὐσίας οἱ ὅροι. διό σε ὀρθοδόξως, ὡς Θεὸν τεξαμένην, κυρίως Θεοτόκον, ὑμνοῦμεν εἰς αἰῶνας.

Ἄλλος. Τὸν ἐν ὄρει ἁγίῳ.

Τὸν Μωσέα, μιμούμενος τρισμάκαρ, ἐν τῷ ὄρει προέβης καὶ τῷ γνόφῳ, τὸν νοητὸν τῆς χάριτος δεξάμενος, νόμον Ἱεράρχα, κράζων ἀνυμνεῖτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τὸν λαόν σου, ποιμάνας Ἱεράρχα, τῆς Αἰγύπτου τὴν πλάνην ἀπεκρούσω, καὶ Βαβυλῶνα τῶν παθῶν φεύξάμενος, τὴν Σιὼν τὴν ἄνω, εὗρες κατοικίαν, εἰς πάντας τοὺς αἰῶνας.

Ὡς τῷ μύρῳ, χρισθεὶς Ἱεροφάντορ, τοῖς ἐν λόγῳ καὶ ἔργῳ εὐσεβείας, ἱερουργεῖς τὰ θεῖα ἱερώτατε. ὅθεν τὴν Τριάδας, ἐν μιᾷ οὐσίᾳ, ὑμνεῖς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Τὸν ἐν μήτρᾳ, οἰκήσαντα Παρθένου, καὶ ἐν ταύτῃ φρικτῶς καὶ ὑπὲρ λόγον, τὸν παλαιὸν Ἀδὰμ ἀνακαινίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Παρέθου τὴν ψυχήν σου τῷ Λυτρωτῇ, καὶ πρὸς τοῦτον προθύμως ἀνέδραμες, ταῖς καλλοναῖς, κατηγλαϊσμένος περιφανῶς, τῶν ἱερῶν ἀγώνων σου, καὶ τῶν παλαισμάτων τῶν θαυμαστῶν, πανεύφημε Ὁπλῖτα, φωστὴρ τῆς Οἰκουμένης, τῆς Ἐκκλησίας ἐγκαλλώπισμα

Συνήφθης τοῖς Ἀγγέλοις ἀγγελικὴν, ἐπὶ γῆς πολιτείαν κτησάμενος, καὶ σὺν αὐτοῖς, μέλπεις ἐν αἰνέσει χαρμονικῶς, τὸ ἱερὸν μελῴδημα, Μάμα τῇ Τριάδι πανευκλεῶς, θεούμενος ταῖς θείαις, μεθέξεσι καὶ δόξης, ἀδιαδόχου ἐμφορούμενος.

Ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Θεὸν, τῶν τὴν θείαν σου ταύτην πανήγυριν, περιχαρῶς, Μάρτυς ἐκτελούντων καὶ τὴν σεπτὴν, καὶ ἱεράν σου ἄθλησιν, πίστει ἐκτελούντων εἰλικρινῶς, μνημόνευε παμμάκαρ, καὶ ζάλης καὶ κινδύνων, καὶ πειρασμοῦ ἡμᾶς διάσωσον.

Θεοτοκίον.

Ἀπείρανδρον μητέρα τῶν ἐπὶ γῆς, παιδοτόκον τίς ἤκουσε πώποτε, καὶ τὸ τεχθὲν, ἄναρχον Θεόν τε καὶ συμφυῆ, Πατρὶ τῷ προανάρχῳ τε, καὶ τῇ τεξαμένῃ ὑπερφυῶς; ὦ ξένου μυστηρίου, ὦ θείας κοινωνίας, δι' ἧς Θεῷ συνανεκρώθημεν.

Ἄλλος. Τὸν προδηλωθέντα.

Δι' ἀπαθείας, καὶ πίστεως καὶ ἀγάπης, καὶ ἐλπίδος λόγου, ἡμῖν ζωῆς τῆς αἰωνίου, ὑποδείξας σοφὲ Ἰωάννη, πρέσβευε σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἐν τῇ βακτηρίᾳ, τοῦ Πνεύματος τοῦ Ἁγίου, τὸν λαὸν ὡς ποιμάναντα, τῆς σεπτῆς Ἐκκλησίας, καὶ διώξαντα θεομάχους αἱρέσεις, πάντες Ἱεράρχα εὐφημοῦμέν σε.

Ὡς τῆς Ἐκκλησίας, φωστῆρος καὶ Ἱεράρχου, ἐν ψαλμοῖς καὶ ὕμνοις, τιμῶμεν ἀσιγήτως, τὴν σορὸν τῶν λειψάνων σου μάκαρ, Πάτερ Ἰωάννη μεγαλώνυμε. θ'.

Χαῖρε τὸ ἀείζωον ῥεῖθρον τῆς ἀφθαρσίας. χαῖρε ἡ ὁλόφωτος τοῦ ἡλίου νεφέλη. χαῖρε ὄχημα τῆς Θεότητος ὅλης. χαῖρε κιβωτὲ τοῦ ἁγιάσματος.

Ὁ Εἱρμός.

Τὸν προδηλωθέντα ἐν ὄρει τῷ Νομοθέτῃ, ἐν πυρὶ καὶ βάτῳ, τόκον τὸν τῆς Ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλυνώμεν.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν.

Ὦ γάλακτι ἐτράφης τῷ τῶν Ἐλάφων. ὄρεσι διαιτώμενος Μάρτυς Μάμα, ἀλλ' ὤφθης ὡς γενναῖος ἐν τῷ σταδίῳ, ἀθλήσας προθυμώτατα. καὶ νίκης ἄρας βραβεῖα, πρὸς Κύριον παρεγένου.

Ἕτερον τοῦ Ὁσίου.

Πρὸς, Τοῖς Μαθηταῖς συνέλθωμεν.

Οἱ ἐρασταὶ τῶν λόγων σου, νῦν πιστῶς εὐφημοῦμεν, τὴν ἱεράν σου πάνσοφε, καὶ ὑπέρφων μνήμην, σε Ἱεράρχα τιμῶντες, Ἰωάννη θεόφρον. τῆς μετανοίας ὤφθης γὰρ, κῆρυξ ἔνθεος Πάτερ, καὶ τῆς φρικτῆς, καὶ σεπτῆς Τριάδος πρόμαχος μάκαρ, πρὸς ἣν ἡμῶν μνημόνευε, παρεστὼς Θεοφάντορ.

Θεοτοκίον. Πρὸς, Τῶν Μαθητῶν.

Ὁ τῆς ζωῆς τῆς θείας καὶ μακκρίας, φθονήσας μοι τῆς πάλαι ἐν Παραδείσῳ, ἐχθρὸς ὁ δολιώτατος καὶ πανοῦργος, καὶ τῆς Ἐδὲμ ἐξόριστον, ποιήσας με θανατοῦται, τῇ σῇ Γεννήσει Παρθένε.

Σταυροθεοτοκίον. Φῶς ἀναλλοίωτον.

Ἦν ἄδικον τῷ Υἱῷ σε, σφαγὴν ὁρῶσα Παρθένε, δακρυρροοῦσα καὶ κήδη, παιδίσασα ἀνέβοας· οἴμοι γλυκύπατον τέκνον, πῶς πάσχεις ὑπὲρ ἀνθρώπων, ἵνα καταδίκων ὁ Κτίσης.

Εἰς τὸν ᾱ. ἦχ. Ἀ Ἄνων, ᾱ. Ὀκτωήχ.

Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικά. Προκείμενον, ἦχος βαρύς. Εὐφρανθήσεται δίκαιος. ᾱ. Εἰσάκουσον ὁ Θεός. Ὁ Ἀπόστολος πρὸς Τιμόθεον. Τέκνον Τιμόθεε, παρηκολούθησάς μου τῇ. Ζήτει Κυριακὴ λδ'. Ἀλληλούϊα, ἦχος δ'. Δίκαιος ὡς φοῖνιξ. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ἰδοὺ ἐγὼ ἀποστέλλω. Ζήτει τῇ δ'. τῆς γ'. Ἑβδομάδος τῶν Ματθαίου. Κοινων. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ. Εἰ δὲ θέλεις γενέσθαι ἡ Ἀκολουθία τῶ Ὁσίῳ. Ζήτει εἰς Ἱεράρχας ἅπαντα, καὶ χρῶ οἵαν βούλει.

Μηνὶ τῷ αὐτῷ Γ'.

Τῶν Ἁγίων Ἱερομάρτυρος Ἀνθίμου, Ἐπισκόπου Νικομηδείας, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοκτίστου, σωσασκητοῦ τοῦ μεγάλου Εὐθυμίου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἰδιόμελον ᾱ. ς'. καὶ ψάλλομ. ᾱ. προσόμοια τοῦ Ἱερομάρτ. ἦχ. α.

Παυλόφημοι Μάρτυρες.

Θεόφρον μακάριε βαφαῖς, τοῦ οἰκείου αἵματος, τὴν ἱεράν σε καὶ εὔθυνον, στολὴν ἐφαίδρυνας. ἐκ δυνάμεως γάρ, δι' εὐσεβοῦς εἰς δύναμιν, εἰς δόξαν ἀπὸ δόξης προβέβηκας, καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Θύσιαν τὸ πρότερον Θεῷ, φέρων τὴν αὐχμακτον, ὡς Ἱερεὺς ἐννομώτατος, ὡς ὁλοκάρπωμα· καὶ δεκτὴν θυσίαν, σεαυτὸν δι' αἵματος, ὡς Μάρτυς ἀληθέστατος ὕστερον, Χριστῷ προσήγαγες, Θεορρήμων πανσεβάσμιε· ὃν δυσώπει, ὑπὲρ τῶν ὑμνούντων σε.

Ἄρτύρων στρατήγημα Χριστῷ, Πάτερ προσεπιόχας, ταῖς ὑποθήκαις σε Ἄνθιμε, καὶ παραινέσεσι, νεθετῶν διδάσκων, καὶ σαφὲς ὑπόδειγμα, θεόφρον σεαυτὸν παρεχόμενος. μεθ' ὧν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Τοῦ Ὁσίου. Ὅμοια.

Ἅπερ Θεόκτιστε τὸν σὸν, διάγεις μνημόσυνον, τῶν Μοναζόντων τὰ συγήματα, διαφαίνει κάλλεσι, τῆς σῆς πολιτείας, καὶ θαυμάτων χάρισι, καὶ ταῖς τῶν χαρισμάτων λαμπρότησι. Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ μέγα ἔλεος.

Ἅπερ Θεόκτιστε τὸν σὸν, πόνον τῆς ἀσκήσεως, οἱ δυσμενεῖς ἐπτοήθησαν, καὶ κατηργήθησαν, ταῖς σαῖς αὐχαῖς ἀπροσδόκητοις, προσδοκίαις παράδοξε. Χριστὸν γὰρ συνεργὸν τὰ ἐκέκτησο. ὃν νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἅπερ Θεόκτιστε Θεῷ, κτίσις ἐγκαυχήσας. τὸ κατ' εἰκόνα φυλάξας γὰρ, ἐπαληθεύσασα, διὰ πολιτείας, καὶ πανσέπτου σχήματος, τὴν κλῆσιν ἐπεδείξω πανθαύμαστε. Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. β'.

Ἱερεὺς ἐννομώτατος, μέγα τέλος σε ἐγκαυχήσας Μάκαρ Ἄνθιμε. ἱερουργῶν γὰρ τὰ θεῖα καὶ ἄῤῥητα Μυστήρια, τὸ αἷμα ἐξέχεας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ θῦμα ἐπροσδέβτον αὐτῷ προσήγαγες. διὸ παῤῥησίαν ἔχων πρὸς αὐτὸν, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῆς πίστεως καὶ πόθῳ τελέντων τὴν ἀεισέβαστον μνήμην σε. καὶ τοὺς αὐτὴν γεραίροντας, ῥυσθῆναι πειρασμῶν, καὶ παντοίων κινδύνων καὶ περιστάσεων.

Καὶ νῦν, Θτ. Τὴν ἡμέρας αὐγῆς.

Κέτευσον φιλάγαθε, τὸν σὸν Υἱὸν τοῦ δοῦναί μοι, τῶν πολλῶν μου ἐγκλημάτων ἵλασμόν, καὶ τῆς ἐξ αἰωνίμων, Ἁγνὴ μελέδος ῥῦσαι, καὶ Βασιλείας ἀξιῶσαί με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἀείσατο τῷ Ξύλῳ ποτὲ, καμῷ τῷ τῆς Σταυρώσεως, ἡ Παρθένος, σὺν Παρθένῳ Μαθητῇ. καὶ κλαίουσα ἐβόα· οἴμοι πῶς πάσχεις πάντων, Χριστὲ ὑπάρχων ἡ ἀπάθεια.

Εἰς τὸν ᾱ. ᾱ. τῆς Ὀκτωήχ.

Δόξα, τοῦ Ὁσίου. ἦχος πλ. β'.

Ὅσιε Πάτερ, ἐν πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σε. διὸ ἐν τοῖς Οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σε. δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἐφθασας τὰ πάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παῤῥησίαν

ἔχων

ἔχων πρὸς πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. θ'. Τριήμερος ἀνέστης.

Ἠλώσας ὁ ἀντίδικος, τὴν Ποίμνην σου Πανάχραντε, καθ' ἑκάστην πολεμεῖ ὁ πονηρὸς, κατάβρωμα ποιῆσαι. ἀλλὰ σὺ Θεοτόκε, τῆς βλάβης τούτου ἐξελοῦ ἡμᾶς.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Πάναγνος ὡς εἶδέ σε, ἐπὶ Σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα ἀνεβόα μητρικῶς· Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, πῶς φέρεις Πάθος ἐπονείδιστον;

Τροπάριον τοῦ Ἱερομάρτυρος, ἦχος, δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν. διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος. Ἱερομάρτυς Ἄνθιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον τοῦ Ὁσίου, ἦχος, τῆς.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας. καὶ γέγονας φωστὴρ, τῇ Οἰκουμένῃ λάμπων τοῖς θαύμασι. Θεόκτιστε Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ Σταυροθεοτοκίον. Ὅμοιον.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ξιλό. Κανὼν τῆς Ὀκτωήχου, εἷς, καὶ τῶν Ἁγίων δύο. Ὁ Κανὼν τοῦ Ἱερομάρτυρος, οὗ ἡ ἀκροστί. Ἄνθος σε μέλπω Ποιμένων καὶ Μαρτύρων.

Ἰωσήφ. Ὠδὴ, α'. ἦχος δ'.

Τριστάτας κραταιούς.

Ἀνθήσας ἱερῶς, ὥσπερ κρίνον λειμῶνι, τῶν Μαρτύρων τὰς ψυχὰς, ἁπάντων εὐσεβῶν, εὐωδίᾳ τῶν ἄθλων σου, Ἄνθιμε εὐωδιάζεις, τῶν πιστῶς εὐφημούντων σε, Ἱεράρχα καὶ Μάρτυς πολύαθλε.

Νευρώσας τὴν ψυχὴν, ἐπιμόνοις μελέταις, ἐξενεύρισας ἐχθρὸν, ἀνδρείαις συμπλοκαῖς, καὶ ἀνίχυρον ἔδειξας. ὅθεν πᾶσα Ἐκκλησία, ἐπιγνοῦσά σε Μάρτυρα, ἀπερίτρεπτον Μάκαρ γεραίρει σε.

Θαμβεῖται κατιδὼν, πρὸ βημάτων ἀνδρείως, παρεστῶτά σε Σοφὲ, ἀλάστωρ δυσμενὴς, καὶ θωπείαις ἐκλύειν σου, οἴεται τὴν καρτερίαν. ἀλλ' ἡττήθη καὶ πέπτωκεν, ἀπονοίας αὐτοῦ τὰ φρυάγματα.

Θεοτοκίον.

Ὁ Κύριος ἐκ σοῦ, ἀνατείλας ὡς οἶδε, τοὺς χοροὺς τῶν Ἀθλητῶν, ἐλάμπρυνεν Ἁγνὴ, τὰ αὐτοῦ εἰκονίζοντας, Πάθη πάντα ζωηφόρα, καὶ τὸν ἄδικον Θάνατον, δικαιοῦντα ἡμᾶς ἁμαρτήσαντας.

Ἕτερος Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστί.

Τοὺς σοὺς ἀγῶνας ὦ Θεόκτιστε φράσω.

Θεοφάνους. Ὠδὴ α'. ἦχος, πλ.

Ἡ Κεκομμένη.

Μῆς ἀπαθείας τῷ πόθῳ νυττόμενος, σαρκὸς σκιρτήματα, Πάτερ κατεμάρανας, Θεόκτιστε σοφὲ, θεόθεν βοηθούμενος. καὶ νῦν ἡμᾶς φωτὸς τοῦ νοητοῦ, πλησθῆναι καθικέτευσον, τῷ Κυρίῳ ψάλλοντας· ἐνδόξως γὰρ δεδόξασται.

Οἰκειωθεὶς σοι ὁ μέγας Εὐθύμιος, τῇ θείᾳ Πάτερ στοργῇ, καὶ συνδιαιτώμενος, Θεόκτιστε στερρῶς, τὴν τρίβον τῆς ἀσκήσεως, διήνυσεν ἐμπράκτως θεωρῶν, καὶ σοὶ συνανεκραύγαζε· τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ὑπωπιάσας τὸ σῶμα πανόλβιε, καὶ πάθη τῆς σαρκὸς, Πάτερ δουλωσάμενος, Θεόκτιστε τρανῶς, ἐδέξω τὴν λαμπρότητα, τῆς χάριτος καὶ ταύτῃ λαμπρυνθεὶς, ἐνθέως ἀνεκραύγαζες· τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Θεοτοκίον.

Σωτηρίας ἐλπίδα κτησάμενοι, Παρθενομῆτορ ἁγνὴ, Λόγον ὡς κυήσασαν, θεόφρονες σοφοί· ἀσκήσει ἐνδιέπρεψαν, Εὐθύμιος ὁ πᾶσι ποθητὸς, ὁ θεῖός τε Θεόκτιστος, τῷ Κυρίῳ ψάλλοντες· ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ, γ'. Ὅτι στεῖρα ἔτεκεν.

Ἑαυτὸν παρέδωκας, ὡς ὁ Χριστὸς τοῖς ζητοῦσι, καὶ πρὸς σφαγὴν ἠνέχθης, ὥσπερ ἐπίσημος κριὸς, καθαγιάζων Ἄνθιμε τῷ αἵματι, πάντας τοὺς τιμῶντάς σε.

Ἄυσας τῇ Θείᾳ χάριτι, πᾶσαν δαιμόνων ἀπάτην, ἤχθης δεσμώτης Μάρτυς, τὸν δεδεμένον διὰ σὲ, ἐξεικονίζων Ἄνθιμε, καὶ Θανάτῳ λύσαντα τὸν θάνατον.

Πρηστήρια ὄργανα, βασανιστήρια πάντα, πρὸ ὀφθαλμῶν σου βλέψας, οὐκ ἐσαλεύθης τῷ νοΐ. ἀλλὰ θερμῶς ἐχώρησας, πρὸς βάσανα, Ἄνθιμε πολύαθλε.

Θεο-

Θεοτοκίον.

Ὡ Ῥαιώθης Πάναγνε, τὸν ὑπὲρ πάντας ὡραῖον, τοὺς γηγενεῖς τεκοῦσα, Υἱὸν καὶ Λόγον τοῦ Πατρός· ὃν οἱ γενναῖοι Μάρτυρες ποθήσαντες, δόξῃ ἐλαμπρύνθησαν.

Ἄλλος. Σὺ εἶ τὸ στερέωμα.

Σάρκα μὲν ἐνέκρωσας, δι' ἐγκρατείας σου Ὅσιε, τὴν δὲ ψυχὴν, θείων χαρισμάτων, δωρεαῖς κατελάμπρυνας.

Ὅλην μὲν τὴν ἔφεσιν, πρὸς τὸν Δεσπότην σου ἔτρεψας, τὸν δὲ θυμὸν, κατὰ τῶν δαιμόνων, Θεοφόρε καθώπλισας. Θτ.

Ὕμνον ἀναμέλποντες, οἱ θεοδίδακτοι Δέσποινα, σὲ Ἀσκηταὶ, ὡς Θεὸν τεκοῦσαν, Θεοτόκον ἐδόξασαν.

Ὁ Εἱρμός. Σὺ εἶ τὸ στερέωμα.

Κα. ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὁ αἷμά σου σοφὲ, μυστικῶς ἀνεβόα, ἐκ γῆς πρὸς τὸν Θεὸν, ὡς τοῦ Ἄβελ θεόφρον. σαφῶς γὰρ ἐκήρυξας, τὴν Τριάδα τὴν ἄκτιστον. ὅθεν Ἄνθιμε, ποιμαντικῶς διαπρέψας, ἀπεδίωξας, τοὺς τῶν αἱρέσεων θῆρας, ὡς φύλαξ τῆς πίστεως.

Δέξα, τοῦ Ὁσίου, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὧν Πατέρων ἔξαρχος, ἀνηγορεύθης, καὶ τῷ Κόσμῳ γέγονας, περιφανέστατος λαμπτὴρ, Ὅσιε Πάτερ Θεόκτιστε. ὅθεν ἀπαύστως, τιμῶμεν τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἣν θερμὴν ἀντίληψιν, τῶν ἐν ἀνάγκαις, τὴν ἡμῶν βοήθειαν, καὶ πρὸς Θεὸν καταλλαγὴν, δι' ἧς φθορᾶς ἐλυτρώθημεν, τὴν Θεοτόκον, πιστοὶ μακαρίσωμεν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐπὶ Ξύλου βλέπουσα ἀναρτηθέντα, τὸν Υἱόν σου Πάναγνε, σπλάγχνα Μητρῷα γοερῶς, σπαραστομένη ἐκραύγαζες· οἴμοι πῶς ἔδυς, τὸ φῶς μου τὸ ἄχρονον;

Ὠδὴ, δ'. Δι' ἀγάπησιν Οἰκτίρμον.

Πέτρα πίστεως τὰς φρένας ἐρεισμένος, λίθοις ἐτύφθης Μάρτυς, ἐν μιμήσει Στεφάνου. ὅθεν στεφανοῦμέν σε, τοῖς ὕμνοις γηθόμενοι.

Ὁ Θεοῦ σε ἐπυρπόλησε Θεῖος ζῆλος. πεπυρωμένοις ὅθεν, οὐκ ᾐσθάνου σιδήροις, ἐμπερωνιζόμενος, Μαρτύρων ἀγλαΐσμα.

Ἱερέων χρίσμα ἅγιον κεχρισμένος, καὶ κατηγλαϊσμένος, τῷ σεπτῷ μαρτυρίῳ, χαίρων προσεχώρησας, ἁγίων εἰς ἅγια.

Θεοτοκίον.

Μὴ κενώσας τοὺς Πατρῴους ὁ Λόγος κόλπους, σοῦ ἐν τοῖς κόλποις Κόρη, ἀνεκλήθη ὡς βρέφος, θέλων ἀναπλάσαι με, φθορᾷ ὑποκείμενον.

Ἄλλος. Ἐπέβης ἐφ' ἵππους.

Σοφίας τῆς πρώτης, σὺ ἐραστὴς ὤφθης Πάνσοφε. τὸν γὰρ βίον ἀμέμπτως διήνυσας, κεκαθαρμένος ἄριστα ψυχὴν καὶ ἔννοιαν, συμφώνως ἀνακράζων· δόξα τῇ δυνάμει σου Κύριε.

Ἀγνίσας τὸν νοῦν, τῆς τῶν παθῶν τύρβης ἔνδοξε, τὰς αἰσθήσεις ἐμφρόνως ῥυθμήσας τε, ἀταραξίας γαλήνῃ Πάτερ προσώρμησας, προθύμως ἀναμέλπων. δόξα τῇ δυνάμει σου Κύριε.

Ἐώδεις φροντίδας ἀσκητικῶς ἀπωσάμενος, Οὐρανίους ἐλπίδας ἐκτήσατο, ὁ σὸς θεράπων Δέσποτα, θεῖος Θεόκτιστος. Εὐθυμίῳ συμψάλλων· δόξα τῇ δυνάμει σου Κύριε. Θεοτοκίον.

Ὡς ὤφθης ἐν Κόσμῳ, ἐκ τῆς Παρθένου ὡς ἄνθρωπος, ἐδωρήσω, τὴν νίκην Ὁσίοις σου. τῷ σῷ Σταυρῷ γὰρ, δαίμονας οὗτοι ἀπήλασαν, ἐν πίστει βοῶντες· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ, ε'. Τὸν φωτιμόν σου Κύριε.

Ἐν τῷ δεινῶς πυροῦσθαί σου τοὺς πόδας Ἀθλητὰ, συνθλᾷς τὴν κάραν, ἀσάρκου δυσμενοῦς, καὶ πρὸς Οὐρανὸν βαδίζεις, ἄθλοις ἱεροῖς ἐγκοσμούμενος.

Νενικημένος ἔμεινεν ἐχθρὸς ἀσεστηκώς. Θεὸς δὲ ζώσῃ, ἐκάλεσε φωνῇ, θάρσος ἐντιθεὶς τῇ σῇ καρδίᾳ, Ἱεράρχα πολύαθλε.

Ὡς προσφορὰ ὁλόκληρος, ὡς θῦμα ἱερὸν, ὡς ἱερεῖον, ὡς κάρπωμα θεῖον, τῷ παμβασιλεῖ Ποιμὴν καὶ Μάρτυς, ἀνηνέχθης γηθόμενος. Θεοτοκίον.

Νόμου σκιαὶ ἐδήλωσαν τὸ φέγγος τὸ ἐκ σοῦ, ἐξανατεῖλαν πανάμωμε Κόρη, καὶ τῶν Ἀθλητῶν καταλαμπρύναν, τοὺς χοροὺς εὐφημοῦντάς σε. Ἄλλος. Φώτισον ἡμᾶς.

Νέκρωσον ἡμῶν, τὰ φρονήματα Φιλάνθρωπε, τῆς σαρκὸς καὶ τὰ σκιρτήματα, ταῖς εὐπροσδέκτοις, τοῦ Ὁσίου σου ἐντεύξεσιν.

Ἄνωθεν ἡμᾶς, ἐποπτεύοις παμμακάριστε, καὶ κατευθύναις τὸν βίον ἡμῶν,

τῶν ἐκτελούντων πόθῳ, σοφὲ τὴν μνήμην σου.

Θεοτοκίον.

ἘΥσκηνος δυὰς, παναρίστη καὶ θεόκλητος, τὸν σαρκωθέντα ἐκ Παρθένου ἁγνῆς, Θεὸν κηρύττει, ἀῤῥήτως ἡμῖν ἐκλάμψαντα.

Ὠδὴ, ς'. Ἐβόησε προτυπῶν.

Κυκλούμενος, θλιβερῶς καὶ τροχῷ προσδεσμούμενος, καὶ λαμπᾶσι, πανταχόθεν εὐτόνως φλεγόμενος, ἀκλινὴς ὡράθης, Ἱεράρχα πολύαθλε Ἄνθιμε.

Ἀνέπεμπες, τῷ Θεῷ ὑμνῳδίαν φλεγόμενος, καὶ τὴν δρόσον, ὡς οἱ Παῖδες ἐξ ὕψους δεχόμενος, Ἀθλητὰ γενναῖε, τῶν Ἁγίων Ἀγγέλων συνόμιλε.

Ἀτρέσον, τὴν ψυχήν μου νοσοῦσαν ἀνίατα. Ἱερεὺς γὰρ, δεδειγμένος καὶ Μάρτυς ἀήττητος, ἐξουσίαν ἔχεις, ἀφαιρεῖν ἁμαρτίας Μακάριε.

Θεοτοκίον.

Μαράνασα, τὰ φυτὰ τῆς κακίας Ἀνύμφευτε, τῷ βλαστῷ σου, τῶν παθῶν μου τοὺς σκόλωπας ἔκτιλλον. καὶ βλαστάνειν θεῖα, τὴν ψυχήν μου νοήματα ποίησον.

Ἄλλος. Τὴν δέησιν ἐκχεῶ.

Ὡς ἥλιος, τοῖς ἐν γῇ ἀνέτειλας, τῷ πυρσῷ τῆς εὐσεβείας φωτίζων, καὶ ἀρετῶν, διασπείρων τὸ φέγγος, καὶ σωφροσύνης διδάσκων φαιδρότητα. Θεόκτιστε σαῖς προσευχαῖς, καὶ νῦν τὴν Οἰκουμένην εἰρήνευσον.

Θεόφρονι, λογισμῷ χρησάμενος, τῶν ἐν γῇ καταπεφρόνηκας πάντων, καὶ οὐρανῶν, παμμακάριστε Πάτερ, τὴν κληρουχίαν πανσόφως προέκρινας. Θεόκτιστε καὶ νῦν σαφῶς, Οὐρανοὺς ἐμβατεύεις γηθόμενος.

Θεοτοκίον.

Ἐθέλχθητε, καλλονῆς τῷ ἔρωτι, τοῦ Χριστοῦ τῆς εὐπρεποῦς Τετοκυίας, διὰ σαρκὸς, τοῦ φανέντος ἐν Κόσμῳ, ἐκ τῆς Ἁγίας Ἁγνῆς Θεομήτορος, καὶ ὤφθητε τῶν Μοναστῶν, ἀκριβοῦς πολιτείας προγράμματα.

Ὁ Εἱρμός. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Κοντάκιον, ἦχος, δ'. Ὁ ὑψωθείς.

Ἐν ἱερεῦσιν εὐσεβῶς διαπρέψας, καὶ μαρτυρίου τὴν ὁδὸν διανύσας, τὰ τῶν εἰδώλων ἔσβεσας σεβάσματα, πρόμαχος γενόμενος, τῆς σῆς Ποίμνης θεόφρον. διό σε καὶ γεραίρουσα, μυστικῶς ἐκβοᾷ σοι· ἐκ τῶν κινδύνων ῥῦσαί με ἀεὶ, ταῖς σαῖς πρεσβείαις Πατὴρ ἡμῶν Ἄνθιμε.

Ὁ Οἶκος.

Ἐνθεὶς γνῶσιν Θεϊκὴν, τὸν ζόφον τῆς ἀγνοίας ἐκ τῆς ἐμῆς καρδίας, ἀπέλασον εὐχαῖς σου, ὅπως ὑμνήσω σου πιστῶς τὴν ἁγίαν μνήμην· ἐν ᾗ Ἀγγέλων χοροὶ, μετὰ Μαρτύρων σήμερον εὐφραίνονται ἐνθέως. καὶ ἄνθρωποι, ὕμνοις ἐγκωμίων τὴν σὴν κάραν, ὥσπερ ἄνθη συμπλέξαντες, στέφουσιν ἀξίως. αἰτοῦντες παρὰ σοῦ λαβεῖν, τῶν πταισμάτων ἀποχὴν, καὶ τῶν κακῶν τοῦ βίου λύσιν, καὶ ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων ῥυσθῆναι, ταῖς σαῖς πρεσβείαις, Πατὴρ ἡμῶν Ἄνθιμε.

Τῷ αὐτῷ Μηνὶ γ'. Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀνθίμου Ἐπισκόπου Νικομηδίας.

ξι. Τμηθεὶς κεφαλὴν μάρτυς Ἄνθιμε ξίφει, Καὶ νεκρὸς ἀνθεῖς εἰς δόξαν Θεοῦ τρίχας. Ἄνθιμον ἐν τριτάτῃ ἀπέκτεινε ξίφος ὀξύ.

Ὁ Ἅγιος Ἄνθιμος, προκαθίσαντος τοῦ Μαξιμιανοῦ, ἤχθη πρὸς αὐτὸν δέσμιος. προκειμένων πάντων τῶν κολαστηρίων ὀργάνων. καὶ ἐπεὶ ἐρωτηθεὶς, τὸν Χριστὸν παῤῥησίᾳ ἐκήρυξε, θλάττεται τὸν τένοντα, σιδήροις πεπυρωμένοις τιτρώσκεται, καὶ ἐπ' ὀστράκου γυμνὸς ἁπλοῦται, καὶ ῥάβδοις τύπτεται. καὶ κρηπίδας χαλκᾶς πυρακτωθείσας ὑποδεθεὶς ἐλαύνεται, καὶ τροχῷ δεσμεῖται, καὶ τελευταῖον τὴν κεφαλὴν ἀποτέμνεται, καὶ ἀποτμηθεὶς, τρίχας ἐκφύει.

Ὁ Ἅγιος Ζήνων ἐν λέβητι μολύβδου καχλάζοντος βληθεὶς τελειοῦται.

ξι. Ζήνων ὁ Θεῖος τοῦ Θεοῦ πόθῳ ζέων, Χαίρων ὑπῆλθε τοῦ μολύβδου τὸ ζέον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Βασίλισσα θηριομαχήσασα, καὶ μηδὲν βλαβεῖσα τελειοῦται.

ξι. Ὀφθεῖσα Βασίλισσα φρικτὴ θηρίοις, Φρικτῷ παρέστη Παμβασιλέως θρόνῳ.

Ἀλεξάνδρου ἡγεμονεύοντος ἐν Νικομηδείᾳ, διωγμὸς ἦν κατὰ τῶν Χριστιανῶν. καὶ παρέστη αὕτη ἐκ διαβολῆς τῷ Ἀλεξάνδρῳ. καὶ μετὰ τὴν ἐρώτησιν, ἐπεὶ τὸ ἀμετάθετον αὐτῆς ὁ Ἡγεμὼν ἔγνω, προσέταξε τύπτεσθαι τὸ πρόσωπον αὐτῆς. τυπτομένης δὲ, καὶ τῷ Θεῷ εὐχαριστούσης, ἀκούσας ὁ Ἡγεμὼν, προσέταξεν ἀποδυθεῖσαν αὐτὴν γυμνὴν, ῥαβδίζεσθαι, καὶ μᾶλλον πλείονα τὴν εὐχαριστίαν τῷ Θεῷ ἀπεδίδου. ἀλλὰ κἂν τούτοις τὸ καρτερὸν αὐτῆς καὶ ἀνένδοτον ὁ τύραν-

ραννος βλέπων, μανεὶς, ἐπιπλέον προσέταξε τυφθῆναι. καὶ τοσοῦτον ἔτυψαν αὐτὴν καθ' ὅλου τοῦ σώματος, ὡς καὶ τὴν πληγὴν ὁλόσωμον γεγονέναι. εἶθ' οὕτως ἀπεπελμάτωσε τοὺς πόδας αὐτῆς. καὶ ἀναβοήσασα τὸ, ὁ Θεός μου εὐχαριστῶ σοι, τρυπηθῆναι τοὺς ἀστραγάλους αὐτῆς προσέταξε· καὶ τούτου γενομένου, ὀγκίνους ἐμβαλόντες, καὶ ἁλύσεσι δήσαντες, ἐκρέμασαν αὐτὴν κατὰ κεφαλῆς. καὶ ἅψαντες πυρκαϊὰν ὑποκάτω αὐτῆς, ἔβαλλον πίσσαν, καὶ θεῖον, καὶ ἄσφαλτον, καὶ μόλυβδον, ἵνα τῇ βίᾳ τῶν πόνων καὶ δριμύτητι τοῦ καπνοῦ, ταχέως ἐκπνεύσῃ. ὡς δὲ ἡ Ἁγία ταῦτα πάχουσα ἦν εὐχαριστοῦσα τῷ Θεῷ, ὡς ἐν τρυφῇ παραδείσου ἑστῶσα, ἰδὼν ὁ Ἡγεμὼν, ὅτι ὡς παίγνιον τὰς τιμωρίας λογίζεται, κελεύει κάμινον ἐκκαῆναι, καὶ ἐν αὐτῇ βληθῆναι τὴν Μάρτυρα. ἐκκαυθείσης δὲ αὐτῆς σφοδρῶς, κατασφραγισαμένη ἑαυτὴν ἡ Μάρτυς, εἰσῆλθεν ἐν τῷ μέσῳ τῆς φλογὸς, καὶ στᾶσα ἐπὶ πολλὰς ὥρας, ἀβλαβὴς διετηρήθη, ὥστε ἐξίστασθαι πάντας ἐπὶ τῇ θεωρίᾳ ταύτῃ. ὁ δὲ Ἡγεμὼν ἐξαγαγὼν αὐτὴν ἐκ τῆς καμίνου, δύο λέοντας παμμεγέθεις ἀπέστειλε κατ' αὐτῆς. ἡ δὲ Ἁγία προσευξαμένη, ἔμεινε καὶ ἐξ αὐτῶν ἀβλαβής. ταῦτα πάντα θεασάμενος ὁ Ἡγεμὼν ἐξέστη, καὶ κατανυγεὶς, οἷα τοῦ Θεοῦ κρίματα, ἔπεσε παρὰ τοὺς πόδας τῆς Ἁγίας λέγων· ἐλέησόν με δούλη τοῦ Ἐπουρανίου Βασιλέως Θεοῦ, καὶ συγχώρησόν μοι ὅσα σοι κακὰ ἐνεδειξάμην. καὶ στρατευσόν με τῷ σῷ Βασιλεῖ, εἰ, ὡς λέγεις, δέχεται ἁμαρτωλούς. τότε ἡ Ἁγία τῷ παντοδυνάμῳ Θεῷ εὐχαριστήσασα, κατήχησε τὸν Ἡγεμόνα, καὶ εἰσαγαγοῦσα ἐν τῇ Ἐκκλησίᾳ πρὸς Ἀντώνιον τὸν Ἐπίσκοπον, ἐβάπτισεν αὐτόν. μετὰ δὲ ταῦτα προσέπεσε πάλιν τῇ Ἁγίᾳ λέγων· Δούλη τοῦ Θεοῦ εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα ἄφεσιν λάβω, ὧν ἔπραξα εἰς σὲ, καὶ ἐν καλῇ ὁμολογίᾳ τελέσω μου τὸν τῆς ζωῆς χρόνον. τῆς οὖν Ἁγίας προσευξαμένης, εὐθέως ὁ Ἀλέξανδρος δοξάζων καὶ εὐλογῶν τὸν Θεὸν, παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ. τότε ἡ Ἁγία περιστείλασα τὸ λείψανον αὐτοῦ, μετὰ τοῦ Ἐπισκόπου, ἐξῆλθε τῆς Πόλεως ὡς ἀπὸ σημείων τριῶν, καὶ εὑροῦσα πέτραν, ἔστη ἐπ' αὐτὴν, καὶ προσευξαμένη ἔβλυσεν ὕδωρ. καὶ πιοῦσα, καὶ τῷ Θεῷ εὐχαριστήσασα, καὶ προβᾶσα μικρὸν ἐκεῖθεν, ἔφη· Κύριε δέξαι τὸ πνεῦμά μου ἐν εἰρήνῃ. ταῦτα εἰποῦσα, καὶ τὸ γόνυ κλίνασα ἐπὶ τὴν γῆν, ἀπῆλθε πρὸς Κύριον ἐν χαρᾷ ἀγαλλομένη, καὶ τὸν Θεὸν εὐλογοῦσα. Τοῦτο μαθὼν ὁ Ἐπίσκοπος Ἀντώνιος, ἐλθὼν, ἐκήδευσεν αὐτὴν, πλησίον τῆς πέτρας τὸ μνῆμα ποιήσας. ἐν ᾗ τὸ ὕδωρ τῇ εὐχῇ τῆς Ἁγίας ἐξελθὸν, σῴζεται μέχρι τῆς σήμερον.

Ὁ Ἅγιος Ἀριστίων Ἐπίσκοπος Ἀλεξανδρείας πυρὶ τελειοῦται.

ξ. Ὡς εἰς ἄριστον τὴν πυρὰν σπεύδων τρέχεις, Χριστοῦ ἄριστε Μαρτύρων Ἀριστίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοκτίστου, Συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου· Ὁ δὲ ἅγιος Χαρίτων ἐν ἀσβέστου βόθρῳ βληθεὶς τελειοῦται.

ξ. Εἰσδὺς Χαρίτων εἰς τὸν ἀσβέστου βόθρον, Ἄσβεστον εὗρε φῶς ἀκηράτου τόπου.

Οὗτος ὁ Ἅγιος Ἀριστίων ὑπῆρχε μὲν Ἐπίσκοπος Ἀλεξανδρείας, ἐδίδασκε δὲ παῤῥησίᾳ τὸν λόγον τοῦ Χριστοῦ. ἔτι δὲ καὶ τὴν ἐκδεχομένην χαρὰν τῶν Ἁγίων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. καὶ οὕτω διδάσκων, ἐκρατήθη παρὰ τοῦ τῆς Ἀλεξανδρείας ἄρχοντος. καὶ ὁμολογήσας τὸν δεσπότην Χριστὸν, Θεὸν εἶναι ἀληθινὸν, τῷ πυρὶ παρεδόθη. καὶ οὕτω τὸ μακάριον καὶ ποθεινὸν δεξάμενος τέλος, τὴν ἁγίαν αὐτοῦ ψυχὴν παρέδωκε τῷ Θεῷ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ, ζ. Ἀβραμιαῖοι ποτέ.

Τί προσαχθεῖσαι τῷ σῷ, σεπτῷ σαρκίῳ φλόγες, μηδέν σε ὅλως λυμηνάμεναι, ἐπὶ τοὺς μισοῦντάς σε, ἐπιστασίᾳ θείων, ἐστράφησαν Ἀγγέλων.

Ἑώμῃ Θεοῦ πανσθενεῖ, τροχὸς ἐξαίφνης ἔστη, ὁ τιμωρῶν σε καὶ κυλείονται, πρὸς πίστιν τῷ θαύματι, οἱ τῶν ἀπίστων δῆμοι, σοφὲ Ἱερομῦστα.

Ὧν τοῦ Χριστοῦ ἐντολῶν, φύλαξ ὑπάρχων Μάκαρ, ἐφυλακίσθης φυλασσόμενος, πρὸς τούτου καὶ γέγονας, φρουρὸς τοῖς σὲ φρουροῦσι, διδάγμασιν ἐνθέοις. Θεοτοκίον.

Ὑπερβολῇ Παρθένε, φιλανθρωπίας ὤφθη ἐκ σοῦ ὁ Λόγος σωματούμενος. καὶ σῴζει τοὺς μέλποντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος

Ἄλλος. Παῖδες Ἑβραίων.

Ὁ Ἄῳ τῷ πόθῳ συνημμένος, δι' ἀσκήσεως ςερρᾶς σου τῷ Δεσπότῃ, ταῖς αὐτοῦ νυῦ τρυφᾶς, ἐλλάμψεσι κραυγάζων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Κάρπωμα θεῖον τῷ Δεσπότῃ, προσενήνοχας τὸν βίον σου Τρισμάκαρ, καὶ θυσίαν δεκτὴν, καὶ ἄμωμον κραυγάζων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἕλος τῶν πόνων εὗρες Μάκαρ, τὴν ἀπόλαυσιν τὴν ἐν τῷ Παραδείσῳ. ἐκ ςενῆς γὰρ ὁδοῦ κατήντησας πρὸς πλάτος, τῆς Βασιλείας πάνσοφε, εὐλογῶν τὸν πάντων Κτίςην. Θεοτοκίον.

Ἴδε Παρθένος Θεῖον βρέφος, ἀπεγέννησεν· ὅπερ οἱ Θεοφόροι, ἐπιγνόντες Θεὸν, καὶ Κύριον ἐβόων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὠδὴ, ἡ. Λυτρωτὰ τοῦ παντός.

Ἡτορεύεις Κυρίου τὴν Σάρκωσιν, παρανόμων Τυράννων ἐνώπιον, προσομιλῶν κολάσεσι, καὶ πικραῖς τιμωρίαις καὶ ἀλγηδόσιν, Ἱεράρχα πολύαθλε Ἄνθιμε.

Ὥσπερ σίδηρος Μάκαρ ἐςόμωσαι, τῷ πυρὶ τῶν ἀπείρων κολάσεων, καὶ τὰς ἀμέτρους φάλαγγας, τῶν δαιμόνων συγκόψας, νίκης βραβεία, ἀνεπλέξω δοξάζων τὸν Κύριον.

Νεκρωθεὶς ἑκουσίως πανόλβιε, τὴν ζωὴν τὴν ἀγήρω ἀπέλαβες, καὶ Παραδείσου εἴσοδον, καὶ τὰς θείας σκηνώσεις, ἐν αἷς χορεύων, τῶν τιμώντων σε μέμνησο Ἄνθιμε. Θεοτοκίον.

Ἱεραῖς ἐν φωναῖς μακαρίσωμεν, τοῦ Θεοῦ τὴν σκηνὴν τὴν ἀμόλυντον, τὴν κιβωτὸν τὴν ἔμψυχον, τῶν Μαρτύρων τὴν δόξαν, τὴν ἀνωτέραν Χερουβὶμ καὶ ἁπάσης τῆς Κτίσεως.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Σὺν ἐγκωμίοις γίνεται, Θεοφόρε ἡ μνήμη σου. τῆς δικαιοσύνης γὰρ ἐδείχθης τρόφιμος, ἀνδρείας φρονήσεως, καὶ σωφροσύνης Πάτερ σοφέ· τὸν Δημιουργὸν καὶ λυτρωτὴν ἀνακράζων, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν θεοφόρον ἅπαντες, εὐφημίαις τιμήσωμεν, ὡς ἐμπεπλησμένον ἐναργῶς τῆς χάριτος, καὶ θείαις ἐλλάμψεσι, πεφωτισμένον ἄριςα. τὸν δημιουργὸν καὶ Λυτρωτὴν ἐκβοῶντες, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐν τῇ σορῷ τὸ σῶμά σου, Ἱεράρχης ἐκήδευσε, καὶ τῆς εὐθυμίας, ὁ φαιδρὸς ἐπώνυμος, ψυχὴν δὲ οἱ Ἄγγελοι, ἐν οὐρανοῖς προσήνεγκαν, τὸν δημιουργὸν χαρμονικῶς μελῳδοῦντες· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Φιλοσοφεῖν ἐπόθησαν, τῆς σοφίας τῷ ἔρωτι. τῆς ἐνυποςάτου, Ἀσκηταὶ θεόφρονες, τῆς Κόσμῳ Πανάμωμε, ἀναδειχθείσης Κόρη ἐκ σοῦ. καὶ θεοπρεπῶς τὰς ἀρετὰς φυτευσάσης. ἣν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Ἑπταπλασίως κάμινον.

Ὠδὴ, θ'. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ὡς ῥόδον κρίνῳ μυςικῶς, ἐξήνθησας ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἡμῶν. ὅθεν ἡμᾶς εὐωδιάζεις, Κυρίου εὐωδία γενόμενος. καὶ πάθη τὰ δυσώδη μακάριε, ἀποδιώκεις τῶν ψυχῶν ἡμῶν.

Ἡμέρον τὴν μνήμην σου τελεῖ, τὴν ἔνδοξον, συγκαλοῦσα Πόλιν ἅπασαν, ἡ εὐγενὴς Νικομηδέων, περίδοξός τε Πόλις ἐν πόλεσιν. αὐτῆς γὰρ πολιοῦχος γεγένησαι, ἣν οὐρανόθεν Μάρτυς ποίμαινε.

Ἡ Γῆ σου τὸ αἷμα ἐκχυθὲν, ἐδέξατο Ἱεράρχα, τὸ δὲ πνεῦμά σου, εἰς οὐρανοὺς ἀνεκομίσθη, τοῖς θείοις συναγάλλεσθαι Πνεύμασι, μεθ' ὧν ἡμῶν μνημόνευε Ἄνθιμε, θείων Μαρτύρων ἀκροθήνιον. Θεοτοκίον.

Φλογίνη ῥομφαία ἡ τὸ πρὶν, τὴν εἴσοδον Παραδείσου ἐναπείργουσα, νῶτα νυῦ δίδωσι Παρθένε, τοῖς πάθη τὰ σεπτὰ εἰκονίσασι, Χριςοῦ τοῦ λογχευθέντος θελήματι, καὶ σὲ τιμῶσι τὴν ὑπέρτιμον.

Ἄλλος. Ἐξέςη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ῥοαῖς σου τῶν δακρύων ἐκκαθαρθεὶς, νυῦ φωτὸς ἀπολαύεις Θεόκτιςε, τοῦ τριφεγγοῦς. τούτῳ παριςάμενος ἐμφανῶς, καὶ τὰς ἐκεῖθεν ἄριςα, ἐκλελαμπρυσμένος μαρμαρυγαῖς, ἐξ ὕψους ἐποπτεύοις, ἡμᾶς τοὺς τὴν σὴν μνήμην, ἐπιτελοῦντας παμμακάριςε.

Ἀγά-

Ἀγάπῃ καὶ ἐλπίδι θωρακισθεὶς, καὶ πιστῶς πεφραγμένος διέλυσας, τὰς μηχανὰς, καὶ τὰς μεθοδείας τῶν δυσμενῶν. καὶ νικητὴς γενόμενος, νῦν στεφανηφόρος περιπολεῖς, ταῖς θείαις συγχορείαις, Ἀγγέλων καὶ δικαίων, περὶ τὸν Θρόνον τοῦ Παντάνακτος.

Ὠφρόνως καὶ δικαίως καὶ εὐσεβῶς, ἐν τῇ γῇ σὺν ἀνθρώποις βιώσαντες, ἐν Οὐρανοῖς, λάμπετε θεόφρονες Ἀσκηταὶ, σὺν Ἀσωμάτων τάξεσιν, αἴγλῃ ἐντρυφῶντες Θεαρχικῇ. παρ' ἧς καὶ τῶν ἀγώνων, ἐνδίκως τοῖς στεφάνοις, ὡς νικηφόροι ἐκοσμήθητε. θτ.

Ὦ Θεία καὶ θεόφρον καὶ ἱερὰ, ξυνωρὶς τῶν Πατέρων ὑπέρλαμπρε, ταῖς σαῖς λιταῖς, Κόσμῳ τὴν εἰρήνην παρὰ Θεοῦ, καταπεμφθῆναι βράβευσον, καὶ ταῖς Ἐκκλησίαις εἰλικρινῆ, ὁμόνοιαν καὶ πίστιν, πρεσβείαις εὐπροσδέκτοις, τῆς Θεοτόκου παμμακάριστοι.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν.

Χορείαν ἄγε σήμερον ἐτησίαν, Νικομηδέων πᾶσα χαίρουσα Πόλις, τοῦ καλοῦ Ποιμένος σου, καὶ σκίρτησον, τὸν πολιοῦχον ἔχουσα, διατηροῦντά σε βλάβης, τῶν δυσμενῶν ἀνωτέρω.

Ἕτερον Ἐξαποστειλάριον τοῦ Ὁσίου. Πρὸς, Τοῖς Μαθηταῖς.

Ἀγγελικῶς ἐβίωσας, ἐπὶ γῆς Θεοφόρε, σὺν Εὐθυμίῳ πάνσοφε, τῷ μεγάλῳ φωστῆρι, Θεόκτιστε διαπρέψας, ἐν εὐχαῖς καὶ νηστείαις, καὶ πλείστοις κατορθώμασι, πρακτικῆς θεωρίας· μεθ' οὗ καὶ νῦν, παρεστὼς Τριάδι τῇ ἀπροσίτῳ, ὑπὲρ ἡμῶν ἱκέτευε, τῶν τιμώντων σε μάκαρ.

Θεοτοκίον. Ὅμοιον

Πετυρωμένον Πάναγνε, καὶ πιότατον Ὄρος, Δαβὶδ Θεογεννήτρια, μελῳδῶν σε ἐκάλει, ὁ σὸς Προπάτωρ Παρθένε. Σολομὼν δὲ ὁ Θεῖος, Κλίνην σαφῶς τοῖς ᾄσμασιν, Ἡσαΐας δὲ Ῥάβδον, καὶ Ἰακὼβ, Κλίμακα πρὶν εἶδέ σε, Πύλην ἄλλος, ἐξ ἧς Θεὸς τὸ φύραμα, νεουργεῖ τῶν ἀνθρώπων.

Σταυροθτ. Ἐν πνεύματι τῷ ἱερῷ.

Σταυρῷ τὸν σὸν ὁρῶσα πρὶν, τόκον ἀνυψωθέντα, θρηνοῖς σαυτὴν συνέκοπτες, παρειὰς σὺν θριξί σου, ἐκτίλλουσα καὶ βοῶσα· τέκνον ἐμῆς νηδύος, προελθὼν ἀπορρήτως, πῶς φέρεις ταῦτα Σῶτέρ μου; σῶσαι πάντως τὸ γένος, ἀνθρώπων βουλόμενος.

Εἰς τὸν ζι. τῶν Αἴνων, ζι. τῆς Ὀκτωήχου. Δόξα, ἦχος, δ'. Ἐφραὶμ Καρίας.

Μὴ, Νικομηδέων μεγαλοπόλει, πᾶσα Πόλις καὶ χώρα συνεορτάζει σήμερον, ἐπὶ τῇ μνήμῃ τοῦ σεβασμίου αὐτῆς πολιούχου. καὶ γὰρ τὰ πέρατα τῆς γῆς, κροτεῖ ἐπευφραινόμενα, τῇ νῦν πανηγύρει τοῦ Ἱερομάρτυρος. τούτῳ καὶ ἡμεῖς τοῖς ᾄσμασιν ὡς ἄνθεσι, στεφάνους πλέξαντες ἐκβοήσωμεν· χαίροις ὁ Ποιμὴν ὁ καλὸς, ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ τῶν προβάτων, ἡ Θυσία καὶ Θύτης, ὁ Ἱερεὺς καὶ Ἱερεῖον· σοῦ δεόμεθα, σὺν τοῖς συνάθλοις σου, Χριστὸν Ἄνθιμε ἱκέτευε, τὴν Ποίμνην σου ταύτην, τῶν βαρβάρων λύκων λυτρωθῆναι, καὶ τῆς Οὐρανίου μάνδρας ἀξιωθῆναι.

Καὶ νῦν, θτ. Ἔδωκας σημείωσιν.

Ἐν κλίνῃ κατάκειμαι, τῆς ἀμελείας Πανάμωμε. καὶ ῥᾳθύμως διέρχομαι, τὸν βίον καὶ δέδοικα, τὸν τῆς τελευτῆς μου, καιρὸν Θεοτόκε. μὴ ὥσπερ λέων ἀφειδῶς, διασπαράξῃ τὴν ταπεινήν μου ψυχὴν, ὁ ὄφις ὁ παμπόνηρος. διὸ τῇ σῇ ἀγαθότητι, πρὸ τοῦ τέλους προφθάσασα, πρὸς μετάνοιαν ἔγειρον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Νεκρούμενον βλέπουσα, Χριστὸν ἡ πάναγνος Δέσποινα, καὶ νεκροῦντα τὸν δόλιον, ὡς Δεσπότην κλαίουσα, ὕμνει τὸν ἐκ σπλάγχνων, αὐτῆς προελθόντα, καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα, ἀνεκραύγαζε· τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου. μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν παραμύθιον.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ'. καὶ τοῦ Ἁγίου ἡ γ'. ᾠδὴ εἰς β'. καὶ ἡ ς'. εἰς β'. Προκείμενον, ἦχος βαρύς. Τίμιος ἐναντίον Κυρίου. ζι. Τί ἀνταποδώσωμεν. Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους. Ἀδελφοὶ, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν. Ἀλληλούϊα. ἦχος, β'. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται. Τοῦ Ὁσίου. ζι. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον. Εὐαγγέλιον κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος· ἐγὼ εἰμὶ ἡ θύρα. δι' ἐμοῦ ἐάν τις. Καὶ τοῦτο εἰς Ὁσίους ἁρμόζει. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Καὶ τὰ λοιπὰ κατὰ τὴν συνήθειαν.

Μηνὶ τῷ αὐτῷ Δ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Βαβύλα Ἐπισκόπου Ἀντιοχείας. καὶ τοῦ Ἁγίου, καὶ Θεόπτου Μωϋσέως τοῦ Προφήτου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ϛι. προσόμοια, ἦχος, π. β'. Ὅλην ἀποθέμενοι.

Ἐν αἵματι βάψας σου, τὴν ἱεραὶ διπλοΐδα, εἰσῆλθες εἰς Ἅγια, τῶν Ἁγίων Ἅγιος σὺ γενόμενος, Βαβύλα εὔδοξε, καὶ σαφῶς πάντοτε, ἀπολαύεις τῆς θεώσεως, ὡραϊζόμενος, καὶ τῷ μαρτυρίῳ λαμπόμενος, καὶ Ἄγγελος δεικνύμενος, ταῖς καθαρωτάταις μεθέξεσιν. ὅθεν σε τιμῶμεν, καὶ πόθῳ ἑορτάζομεν τὴν σὴν, ἱερωτάτην πανήγυριν, ἀξιομακάριστε.

Εἰδήρῳ πεδούμενος, ἀνεμποδίστως τὴν τρίβον, διώδευσας Ὅσιε, τὴν πρὸς τὴν Οὐρανίον Πόλιν φέρουσαν, τὰ σεπτὰ στίγματα, Βαβύλα πάνσοφε, ὥσπερ κόσμον περικείμενος, καὶ στεφανούμενος, οἷα νικητὴς ἀληθέστατος, καὶ Μάρτυς ἀπαράτρωτος, καὶ Ἱερουργὸς Ἱερώτατος, μέλπεις σὺν Ἀγγέλοις, μελῴδημα τὸ Θεῖον καθαρῶς· Ἅγιος, Ἅγιος, Ἅγιος, Τριὰς ὁμοούσιε.

Ποίμνης προϊστάμενος, τῆς λογικῆς Ἱεράρχα, βακτηρία γνώσεως, ἐπὶ χλόην ἔτρεψας ταύτην Πίστεως, καὶ θηρῶν ἔσωσας, καὶ Θεὸν εὔφρανας, τὸν δὲ ὕψους σε ποιμαίνοντα. ὃν κατενώπιον, τῶν ἀθεωτάτων μακάριε, κηρύττων ὥσπερ ἄκακον, τέθυσαι ἀρνίον γηθόμενος, μετὰ τῶν ἀκάκων, παιδίων, καὶ προσήχθης σὺν αὐτοῖς, θῦμα εὐῶδες ὁλόκληρον, Βαβύλα θεσπέσιε.

Ἕτερα, τοῦ Προφήτου. ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐν θυέλλῃ τὸν ἄσαρκον, καὶ ἐν γνόφῳ τὸν ἄϋλον, Μωϋσῆ τεθέασαι, ὡς χωρεῖν δυνατόν. θεοειδής τε γενόμενος, τῇ δόξῃ τῇ κρείττονι, τῷ σαρκίνῳ Ἰσραὴλ, Νομοθέτης κεχείρισαι, ἀλλ' οὐ πέφυκε, νοῦς γεώδης τοῖς θείοις ἐμβατεύειν. ἡ γὰρ χάρις τοῖς ὁρῶσι, τὰ λίαν κρείττονα δίδοται.

Ἱερεὺς ἐννομώτατος, Στρατηγὸς γενναιότατος, τῷ παραπικραίνοντι ἀναδέδειξαι, Μωσῆ μαστίζων τὴν Αἴγυπτον. τῇ ῥάβδῳ δὲ θάλασσαν, διαιρῶν τὴν ἐρυθρὰν, καὶ βυθίζων ἀλάστορα, καὶ ὑψαύχενα, Φαραὼ σὺν τριστάταις· καὶ διάγων, ἐν ἐρήμῳ καὶ ἐκτρέφων, τὸν Ἰσραὴλ τὸν ἀγνώμονα.

Μωϋσῆ τὸ ὑπόδημα, τῶν ποδῶν λῦσον τάχιον. ὁ γὰρ τόπος ἅγιος, ἐν ᾧ ἕστηκας, μήτι νεκρώσεως σύμβολον, ἐν σοὶ περιφέροιτο. ἐν γὰρ βάτῳ καὶ πυρὶ, μυστικῶς σοι ὀπτάνεται, τὰ παράδοξα, τῆς Θεόπαιδος Κόρης, ἐν τῷ Ὄρει, τῷ Χωρὴβ ὁ χρηματίζων, τῷ Μωϋσῇ ἀπεφθέγγετο.

Δόξα, ἦχος, π. β'.

Βάσιμον κρηπίδα ἡ Ἐκκλησία κέκτηται, τοὺς ἱερούς σου ἀγῶνας, Ἱερομάρτυς Βαβύλα. ἣν καὶ φυλάττοις ἀκράδαντον, καὶ ἀνεπιβούλευτον, ἐκ λύκων κραταιῶν, κηρύττουσαν τὰς ἀριστείας σου, καὶ μεγαλυνούσαν, σὺν σοὶ τὰ Νήπια, τὰ ὑπὲρ Χριστοῦ τυθέντα, μετὰ σοῦ Μακάριε.

Καὶ νῦν. θτ. Τριήμερος ἀνέστης.

Κατάνυξιν οὐ κέκτησαι, ψυχὴ ἀμετανόητε. τί βραδύνεις; τοῦ θανάτου ἡ τομὴ, ἐγγίζει καὶ τὸ τέλος, ἐφέστηκεν, ὡς κλέπτης. τῇ Θεοτόκῳ δράμε πρόσπεσον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν Ξύλῳ τὴν ζωὴν ἡμῶν, ὁρῶσα ἡ Πανάμωμος, Θεοτόκος, κρεμαμένην μητρικῶς, ὠδύρετο βοῶσα· Υἱέ μου καὶ Θεέ μου, σῷσον τοὺς πόθῳ ἀνυμνοῦντάς σε.

Εἰς τὸν ϛι. ϛι. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος, π. β'. Βαβύλα.

Ἡμάτι Τυραννοῦ παρεστηκὼς, καὶ ἀγωνιζόμενος ὑπὲρ τῆς εὐσεβείας ἐκραύγαζες· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅμοι ἔδωκεν ὁ Θεός. μεθ' ὧν ἐστεφανώθης ἐν Οὐρανοῖς, Βαβύλα Ἱερομάρτυς, πρεσβεύων ἀπαύστως, τῶν παγίδων τοῦ ἐχθροῦ, ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. θτ. Τριήμερος ἀνέστης.

Παρθένε Παναμώμητε, δυσώπησον ὃν ἔτεκες, Βασιλέα, τοῦ παντὸς καὶ Ποιητὴν, ἐν ὥρᾳ ὅταν κρίνῃ, τὸ γένος τῶν ἀνθρώπων, κατοικτειρῆσαί με τὸν δοῦλόν σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Λαὸν τὸν ἀνομώτατον, ἀδίκως καθηλοῦντάσε, ἐπὶ Ξύλου, ἡ Παρθένος καὶ Ἁγνὴ, καὶ Μήτηρ σου ὁρῶσα, ὡς Συμεὼν προέφη, τὰ σπλάγχνα Σῶτερ διετέτρωτο.

Τρο-

Τροπάριον, Τοῦ Ἱερομάρτυρος. ἦχος δ'. Καὶ τρόπων μέτοχος.

Ἕτερον, τοῦ Προφήτου. ἦχος, β'.

Ῥοῦ Προφήτου σου Μωϋσέως τὴν μνήμην Κύριε ἑορτάζοντες, δι' αὐτοῦ σε δυσωποῦμεν, σῷσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ξιλό. Κανὼν τῆς Ὀκτωήχου εἷς, καὶ τῶν Ἁγίων δύο.

Ὠδὴ, α'. ἦχος, π. β'.

Ὡς ἐν ἠπείρῳ. Θεοφάνους.

Ἣν τῶν οἰκείων αἱμάτων ὡς Μωϋσῆς, ἐρυθραίαν θάλασσαν, ἀκυμάντως διελθὼν, Βαβύλα μακάριε Θεῷ, ἐπινίκιον ᾠδὴν, ἐβόας ᾄσωμεν.

Εὐ τῶν γηΐνων τὸν πόθον τῷ Θεϊκῷ, ὑποτάξας ἔρωτι, κατεφρόνησας τοῦ ζῆν, Βαβύλα μακάριε Χριστοῦ, ἐπειγόμενος ἰδεῖν τὴν ὡραιότητα.

Ἣς ὑπερθέου Τριάδος ὡς ἐραστὴς, τοῖς τρισὶ συνέθανες, ἀγαλλόμενος Παισὶ, Βαβύλα μακάριε Χριστοῦ, προϊέμενος ψυχὴν, τῷ ταύτης ἔρωτι. Θεοτοκίον.

Ὃν ἑαυτῆς δεξαμένη Δημιουργὸν, ὡς αὐτὸς ἠθέλησεν, ἐξ ἀσπόρου σου γαστρὸς, ὑπὲρ νοῦν σαρκούμενον Ἁγνὴ, τῶν κτισμάτων ἀληθῶς ἐδείχθης Δέσποινα.

Ἕτερος Κανὼν τοῦ Προφήτου, οὗ ἡ ἀκροστί. Μωσῆς Προφητῶν πρῶτος αἰνείσθω λόγοις.

Ἐν δὲ τοῖς Θεοτοκίοις. Κλήμεντος.

Ὠδὴ, α'. ἦχος, δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Μωσῆς Προφητῶν αἰνείσθω πρότερος, ὡς ἐνωπίῳ Θεῷ, συνομιλήσας πρῶτος ἐμφανῶς, ἐν προσώπῳ πρὸς πρόσωπον. οὐκ αἰνιγμάτων φάσμασιν, ἀλλ' ὡς ἐν εἴδει σαρκὸς βλέψας αὐτόν.

Ὡς θεῖον δημαγωγὸν καὶ ῥύστην σε, τοῦ συγγενοῦς Ἰσραὴλ, Μωσῆ θεόπτα δέδωκε Θεὸς, τῷ Πατρὶ ὥσπερ ηὔξατο, ἐπαγγελίας χρίσματι, προμυηθέντι σου τὴν γέννησιν.

Σοφίας σε θησαυρὸν ἐφεύραντο, αἱ γενικαὶ ἀρεταὶ, ἐγκεκρυμμένον γνώσει τοῦ Θεοῦ, ὡς ἐν Θήβῃ θεόπτα Μωσῆ. διό σε ἀνεθρέψατο, ἡ Βασιλὶς καὶ θεία πρόνοια.

Ἐμείψω θεοπτικῶς Πανεύφημε, ἐκ βρέφους πᾶσαν θηλὴν· τῷ δὲ γνησίῳ γάλακτι τραφεὶς, παρεδήλου σαφέστατα, τῆς πρὸς Θεὸν ἐγγύτητος, τὸ ὑπεραῖρόν σου ἀξίωμα.

Θεοτοκίον.

Κατέπτη Μωσῆς ἰδὼν παράδοξον, ἐν πρώτοις θέαμα, βάτον καὶ φλόγα, ξένην συμπλοκὴν, τὸν Θεὸν ἐκ Παρθένου Μητρὸς, προζωγραφοῦσαν ἄφθαρτον, ὃν διαβὰς τοὺς χρόνους εἶδε σαρκί.

Ὠδὴ, γ'. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τοῦ πιστοῦ σου Βαβύλα, καὶ στεφανώσας αὐτὸν, τῷ στεφάνῳ τῆς ὁμολογίας σου.

Μαρτύρων γέγονεν ἰσχὺς, Κύριε ὁ Σταυρός σου. στερεώσας τοὺς Παῖδας, σὺν Βαβύλα τῷ κλεινῷ, καὶ καθελὼν δι' αὐτῶν, τὰ τῆς πλάνης ἄθεα φρυάγματα.

Ἰσχὺς ἐξέλιπε Χριστὲ, διαβόλου εἰς τέλος. τοῖς ἀκάκοις παισὶ γὰρ, καὶ τῷ θείῳ Βαβύλᾳ, ἡττᾶται ὁ ἰσχυρὸς, καὶ γελᾶται ὑπ' αὐτῶν παιζόμενος. Θεοτοκίον.

Ἰσχύς μου ὕμνησις Χριστὸς, ὁ ἐκ σοῦ ἀνατείλας, περικείμενος σάρκα, Θεοτόκε δουλικὴν, καὶ ἐκ δουλείας ἡμᾶς, διαβόλου σῴζων ἀγαθότητι.

Ἄλλος. Τόξον δυνατῶν ἠσθένησε.

Ὅλως, τῆς ἀῤῥήτου γνώσεως, ἐπλήσθης Θεόπτα. τὸ γὰρ Πνεῦμα τὸ Πανάγιον, δι' Ἀγγέλου τὴν τῶν ἀρχαίων, ἐμυήσατό σε γνῶσιν τρανῶς.

Φέρων, τηλαυγῶς τὰς Θείας αὐγὰς, ταῖς θεοσημείαις κατέπληττες Αἴγυπτον, μεταβάλλων τὴν τῶν στοιχείων, παραδόξως φύσιν Πάνσοφε.

Ἤγει, τὸ ὡραῖον κάλλος σου, τὴν ἐκ Θείας αἴγλης, λαμπραὶ Μάκαρ ἀστειότητα, καὶ πρὸς θείαν ἀπλείστως πάντας, ἐπεσπάσω ὡραιότητα. Θεοτοκίον.

Ἤσθης, τοῦ φρικτοῦ θεάματος, προσώπῳ πεισθεὶς, τὴν κατανόησιν Πάνσοφε· ἀλλ' ἐσχέθης φωνῇ Κυρίου, τοῦ τεχθέντος ἐκ Παρθένου σαρκί.

Ὁ Εἱρμός. Τόξον δυνατῶν ἠσθένησε.

Κάθισμα, ἦχος, γ'. Θείας Πίστεως.

Ζέων Πίστεως ὁμολογίᾳ, πλάνης ἔσβεσας κακοδοξίαν. στηλιτεύσας τῶν εἰδώλων τὸ ἄθεον, καὶ ὁλοκαύτωμα θεῖον γενόμενος, θαυματουργίαις δροσίζεις τὰ πέρατα. Πάτερ Ὅσιε. Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα

Δόξα, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Προφητῶν ἁπάντων σου, πρῶτον ὡς ὄντα, εὐσεβῶς γινώσκοντες, ἀνευφημοῦμεν οἱ πιστοί. πρῶτος Θεὸν γὰρ ἑώρακας, ὡς δυνατὸν ἦν ἀνθρώπων θεάσασθαι.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μὴν θερμὴν αὐτίληψιν, τῶν ἐν ἀνάγκαις, τὴν ἡμῶν βοήθειαν, καὶ πρὸς Θεὸν καταλλαγὴν, δι' ἧς φθορᾶς ἐλυτρώθημεν, τὴν Θεοτόκον πιστοὶ μακαρίσωμεν.

Σταυροθεοτοκίον Ὅμοιον.

Ἐπὶ Ξύλου βλέπουσα, ἀναρτηθέντα, τὸν Υἱόν σου Πάναγνε, σπλάγχνα Μητρῷα γοερῶς, σπαρασσομένη ἐκραύγαζες· οἴμοι πῶς ἔδυς τὸ φῶς μου τὸ ἄχρονον.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος, πρὸ βημάτων ἐβόας τυραννικῶν, ἀπειλῶν ἀπτόητος, Ἱερομάρτυς Βαβύλα, ἐν Κυρίῳ ἀγαλλόμενος.

Οὐσίαν ἄμωμον, φρικτὴν ἀναίμακτον, τῷ Κυρίῳ προσφέρων, καὶ σεαυτὸν, σφάγιον δι' αἵματος, Ἱερομάρτυς Βαβύλα, ἀκηλίδωτον προσήγαγες.

Ὧν Παίδων Ὅσιε, τὸ νέον φρόνημα, ὡς σοφὸς παιδοτρίβης πνευματικῷ, ἀποτρέφων γάλακτι, Ἱερομάρτυς Βαβύλα, ἀκηλίδωτον προσήγαγες. Θεοτοκίον.

Ναὸν πανάγιον, Θεοῦ γινώσκοντες, σὲ τὴν ἄσπιλον μόνην, καὶ τῶν πιστῶν, πάντων ὑπερέχουσαν, ἱερωτάταις σε φωναῖς, Θεοτόκε μακαρίζομεν.

Ἄλλος. Ἐπαρθέντα σε ἰδοῦσα.

Μὴς ἰσχνότητος τῆς γλώττης καὶ τῆς φωνῆς σου, διαμειφθείσης Θείᾳ, Προνοίᾳ Θεόπτα, φρικτῶν Μυστηρίων Θεοῦ, ἐδείχθης διάκονος, καὶ πληγαῖς ἐπάταξας Αἴγυπτον.

Νομοθέτην παραδόξων καὶ δυσεφίκτων, τοῦ Θεοῦ διδαγμάτων, ὑμνοῦντές σε πίστει, κράζομεν Θεόπτα Μωσῆ, τὴν ἵλεων αἴτησαι, τοῦ Θεοῦ ἡμῖν θείαν δύναμιν.

Πᾶν πρωτότοκον ἐπάταξας τῆς Αἰγύπτου, ὡς ὁ Χριστὸς δαιμόνων ἐνέκρωσε κράτος. τύπος γὰρ τοῦ μέλλοντος, τὰ σοὶ ἐνεργούμενα, ἀληθῶς ὑπῆρχον Ἀοίδιμε.

Θεοτοκίον.

Μὴ ἐγγίσῃς ὧδε Μωσῆς ἀκούσας, Θεοῦ βοῶντος, ἐκ φλογὸς καὶ τῆς βάτου· ἅγιος ὁ τόπος γάρ. εἰκότως προέγραψεν, ἐν σαρκὶ τεχθῆναι Χριστὸν ἐκ Ἁγνῆς.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου.

Μὴν Θείαν χάριν σου Ἰησοῦ, ὁ Ἱερομάρτυς Βαβύλας, ὄντως ἐκ ὕψους ἐδέξατο. ὡς καὶ Παῖδας νέους, πρὸς σὴν ἀγάπησιν, ἀλείφειν καὶ θανάτου πρὸς καταφρόνησιν.

Μὴ Θείᾳ γνώσει σου ἐλλαμφθεὶς, ὁ Ἱερομάρτυς Βαβύλας, πάντας ἐδίδασκε Κύριε, σὲ εἰδέναι μόνον Θεοῦ τὸν ὄντως Υἱὸν, ἐκ ζόφου καὶ τῆς πλάνης ἀνακαλούμενον.

Μὴ Θείᾳ ψήφῳ σου προκριθεὶς, ὁ Ἱερομάρτυς Βαβύλας, τὴν λογικὴν νέμειν Ποίμνην σου, σοὶ προσφέρει Λόγε Θεοῦ, τὸ αἷμα αὐτοῦ, πρὸς τρίβον σωτηρίας, πάντας σοφῶς ὁδηγῶν. Θεοτοκίον.

Ὑπὲρ τῶν δούλων σου τὸν ἐκ σοῦ, Πάναγνε Δεσπότην τοῦ παντὸς, ἐκδυσωποῦσα ἱκέτευε, πάσης ἐναντίας βλάβης λυτρώσασθαι, τοὺς σὲ ὁμολογοῦντας Παρθενομήτορα.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Ἀπίζεις ἐρυθρὰν, καὶ δεικνύεις ἰσχὺν τοῦ Θεοῦ, τῇ ῥάβδῳ σου ὦ Θεόπτα, καὶ χαράττεις ἐν ταύτῃ, Σταυροῦ τὴν θείαν δύναμιν.

Ὦ Τόλμης προσφιλοῦς, ὦ ἁπλότητος ψυχῆς καθαρᾶς, εἰ ἔγνως με παρὰ πάντας, πρὸς Θεὸν ὁ Θεόπτης, φησὶ γνωστός μοι φάνηθι.

Μὴ πέτρᾳ σκεπασθεὶς, οὐκ εἶδες Θεοῦ πρόσωπον, ὡς κρύφιον ὦ Θεόπτα, τὴν δὲ σάρκωσιν ἔγνως, τοῦ Λόγου ὡς ὀπίσθια.

Ὑῶν ὑετὸν, ἀντὶ ὕδατος Μάννα ποτὲ, Μωσῆς ἐστὶν ὁ Θεόπτης, ὁ δοὺς ὀρτυγομήτρας, τροφὴν τῷ Ἰσραὴλ δι' εὐχῆς. Θτ.

Εἰσέδυς αἰσθητῶς, ἐν τῷ γνόφῳ καὶ ἔμαθες, τὰ ἄῤῥητα ὦ Θεόπτα. ὅτι μέλλει ἐκ Παρθένου, Θεὸς σαρκὶ τεχθῆναι Σωτήρ.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Μοῦ βίου τὴν θάλασσαν, τῷ τῆς πλάνης καθορῶν, κυμαινομένην κλύδωνι, Βαβύλας ὁ ἀοίδιμος Ἀθλητὴς, ἐβόα ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Χριστὸν ἐκμιμούμενος, πρὸ τῆς Ποίμνης τὴν ψυχὴν, τὴν ἑαυτοῦ προδέδωκεν, ὁ ἀοίδιμος Μάρτυς καὶ ἀθλητὴς, ζωὴν πρὸς αἰώνιον, ἐκ φθορᾶς τοῦ θανάτου μεθιστάμενος.

Ὧν Παίδων τὸ ἄστατον, ἐπεστήριξε σοφῶς, τοῖς ἑαυτοῦ παθήμασι, Βαβύλας ὁ ἀοί-

ἀοίδιμος Ἀθλητὴς, ζωὴν πρὸς οὐρανίον, ἀπὸ γῆς μεταφέρων ὁ πανεύφημος.

Θεοτοκίον.

Δεσμῶν ἀπολέλυμαι, καταδίκης καὶ ἀρᾶς, εὐλογημένη Πάναγνε, τῷ τοκετῷ σου· μόνη γὰρ ἐπὶ γῆς, Θεὸν ἐσωμάτωσας, καθαρῶν ἐξ αἱμάτων σου Πανάμωμε.

Ἄλλος. Θύσω σοι μετὰ φωνῆς.

Στρατείαν, κεκτημένος Θεοῦ Ἰσραὴλ δυνατὴν, τὰ τῆς κακίας ἑπτὰ μὲν, Χαναναίων Ἔθνη διώλεσας, ἀφανίσας, ἐκ προσώπου Κυρίου τὴν γῆν αὐτῶν.

Ἀῤῥήτως, ὑπελθὼν ἐν τῷ γνόφῳ τῷ Θείῳ Μωσῆ. Θεὸς γὰρ ἦν ὁ καλῶν σε, τὰς γραφείσας πλάκας δακτύλῳ αὐτοῦ, τῶν νομίμων, ὑπεδέξω ὡς μέγας θεράπων αὐτοῦ.

Ἵστησιν, ὑπακούειν Θεὸς τῆς φωνῆς αὐτοῦ, τὸν Μωσῆν τὸν θεόπτην, ἑαυτοῦ ἐνώπιον ἐμφανίσας, ἵνα δείξῃ, φοβερὸν μετὰ δόξης τὸν μύστην αὐτοῦ.

Νόμιμοι, ὡς τῆς χάριτος Παῖδες ὑπάρχοντες, τὴν εὐλογίαν τρυγῶμεν, εὐφημοῦντες Μάκαρ σε, καὶ Ἑβραίους, ὥς περ πάλαι, Ἰακὼβ τὸν Ἡσαῦ νῦν πτερνίζοντες.

Θεοτοκίον.

Νεύματι, Θεϊκῷ σε προγράφει Μωσῆς ὁ κλεινὸς, ὡς κιβωτὸν Θεοτόκε, ταῖς αὐγαῖς τοῦ Πνεύματος πάντοθεν, ὡς χρυσίῳ, κατακεκαλυμμένην εἰς δόξαν Θεοῦ.

Κοντάκιον, ἦχος πλ. Ὡς ἀπαρχάς.

Ὡς εὐσεβείας κήρυκα, καὶ Ἀθλητῶν ἑδραίωμα ἡ Ἐκκλησία δοξάζει σε Ἔνδοξε, λαμπρυνομένη σήμερον. ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, ἐν εἰρήνῃ τελείᾳ, τοὺς μεγαλυνόντας, καὶ ἀνυμνοῦντάς σε, φυλαχθῆναι δυσώπησον, ὦ πολύαθλε.

Ὁ Οἶκος.

Ἦν τοῦ Κόσμου σαφῶς ματαιότητα, ἐννοῶν ὁ τοῦ Κόσμου ἀλλότριος, καὶ τὰ Πάθη Χριστοῦ μιμησάμενος, τὰ τοῦ σώματος πάθη ἐνέκρωσας. καὶ τὸν Σταυρόν σου ἀράμενος, ἠκολούθησας Μάρτυς τῷ Κτίστῃ σου. καὶ συμμένων αὐτῷ νῦν ἱκέτευε, ὑπὲρ τῶν σὲ τιμώντων ἀληθῶς, ὦ πολύαθλε.

Τῷ αὐτῷ Μηνὶ δ'. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Βαβύλα Ἀρχιεπισκόπου Ἀντιοχείας τῆς Μεγάλης, καὶ τῶν σὺν αὐτῷ Ἁγίων τριῶν Νηπίων, οἳ διὰ ξίφους ἐτελειώθησαν.

ξι. Ὁ Χριστὸν αὐτὸν Βαβύλας θείων πάλαι, Χριστῷ προθύμως θύεται διὰ ξίφους. Παῖδας καὶ Βαβύλαν πέφνε ξίφος ἀμφὶ τετάρτην.

Ὃς εἰσελθόντα Νουμεριανὸν τὸν βασιλέα ἐν τῇ καθ' ἑαυτὸν Ἐκκλησίᾳ, ἀπήλασε τῆς Ἐκκλησίας, διὰ τὸ φονεῦσαι τὸν Υἱὸν τοῦ Περσῶν Βασιλέως, ὃν εἶχεν εἰς ὅμηρα. διὸ σιδήροις δεσμεῖται, καὶ πομπεύεται, καὶ τὴν κεφαλὴν σὺν τοῖς τρισὶ παισὶν ἀφαιρεῖται.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Βαβύλας, ὁ ἐν Ἀντιοχείᾳ Διδάσκαλος, σὺν τοῖς ὑπ' αὐτῷ ὀγδοήκοντα τέσσαρσι Παισὶ ξίφει τελειοῦται.

ξι. Μαθήσεώς σοι μισθὸς ἐκ τῶν Παιδίων, Βαβύλα Θεῖε τῆς τομῆς κοινωνία.

Εἰς τὰ Παιδία.

Ὑπὲρ μεγίστου Δεσπότου Θεοῦ Λόγου, Τρέχουσι θερμῶς πρὸς ξίφος τὰ Παιδία.

Μαξιμιανοῦ Βασιλεύοντος ἐν Νικομηδείᾳ, διὰ τὸν κατὰ τῶν Χριστιανῶν διωγμὸν, οἱ Χριστιανοὶ κατεκρύπτοντο. προσελθὼν οὖν τις τῷ Βασιλεῖ λέγει· Βασιλεῦ, ἐν κρυπτῇ καμάρᾳ τινὶ, κάθηται γέρων ὀνόματι Βαβύλας, καὶ διδάσκει τὰ τῶν ἀφρόνων Νήπια, μὴ σέβεσθαι τοὺς Θεοὺς, ἀλλὰ τὸν Ἐσταυρωμένον. καὶ παρευθὺς οἱ ἀποσταλέντες σὺν αὐτῷ στρατιῶται ἤγαγον τὸν Βαβύλαν σὺν τοῖς αὐτοῦ μαθηταῖς ἐνώπιον τοῦ Βασιλέως· καὶ ὁ Βασιλεύς· ἵνα τί, ὦ γέρων φησὶ, τοσαύτῃ κατέχῃ πλάνῃ ἐν βιοθανεῖ ἀνθρώπῳ, παρὰ Ἰουδαίων ἀποκτανθέντι, καὶ οὐ προσκυνεῖς τοῖς Θεοῖς, οἷς πᾶσα ἡ Ὑφήλιος προσκυνεῖ, ἐξαπατᾷς δὲ καὶ τὰ τῶν ἀφρόνων Νήπια μὴ προσκυνεῖν τοῖς Θεοῖς; καὶ ὁ Ἅγιος ἀπεκρίνατο· οἱ τῶν Ἐθνῶν Θεοὶ, ὦ Βασιλεῦ, δαιμόνια εἰσί. Θεὸς δὲ ὁ ἡμέτερος τοὺς Οὐρανοὺς ἐποίησε. σὺ δὲ καὶ οἱ μετὰ σοῦ τυφλοὶ ὄντες, οὐ βλέπετε τὴν ἀλήθειαν. Ταῦτα τὸν Βασιλέα ἐξέμηναν, καὶ τοὺς σὺν αὐτῷ. καὶ ὑπὸ τεσσάρων Στρατιωτῶν τύπτεσθαι αὐτὸν λίθοις κελεύει, κατά τε τῶν παρειῶν, τῶν πλευρῶν, καὶ τῶν κνημίδων. τούτου δὲ τυπτομένου, καὶ ὅλου τοῦ σώματος φοινιχθέντος τῷ ἁγίῳ αὐτοῦ αἵματι, ἀνεβόησεν ὁ Ἅγιος λέγων· εὐχαριστῶ σοι Κύριε, ὅτι γέροντα ὄντα με καὶ ἀσθενῆ, ἐποίησας γενναιότερον Βασιλέως φθαρτοῦ σφριγῶντος καὶ ἰσχυροῦ. τότε κελεύει τοὺς ὤμους αὐτοῦ, καὶ

τοὺς

τὰς ἀγραγάλας, τοῖς λίθοις σωθλάττων, καὶ μὲ τὸ σωθλασθῆναι πάντα τὰ ἄρθρα, ἐνέβαλον κλοιὰς βαρεῖς ἐπὶ τὸν τράχηλον αὐτῶ, καὶ τὰς πόδας τῷ ξύλῳ ἀσφαλισάμενοι, ἀπέθεντο εἰς εἱρκτήν. Εἶθ' ὅπως ἠσυχάσησαν τὰ Νήπια, ὠγδοήκοντα τέσσαρα ὄντα τὸν ἀριθμὸν μὲ τῆ θηλαιῶν, καὶ ἤρξατο κολακεύειν πάντα ὁ Βασιλεύς. ἐκεῖνα δὲ οὐκ ἀπεκρίναντο, ἀλλὰ περιερρέφοντο τυκνῶς καθ' ἑαυτά. καὶ ἰδὼν ὅτι οὐκ ἀποκρίνονται, ἐχώρισε δέκα μάζονα τῇ ἡλικίᾳ, καὶ φησίν· ἴδε ὑμᾶς ὡς φρόνιμοι πείθηπέμοι, καὶ θύσατε τοῖς Θεοῖς, καὶ ἔσεσθε σὺν ἐμοὶ εἰς τῷ Παλατίῳ, πολλῶν ἀγαθῶν ἀπολαύοντες. Τότε Ἀμμώνιος καὶ Δονάτος εἶπον τῷ Βασιλεῖ· ἡμᾶς πιστοὶ ὄντες, δαίμοσι κωφοῖς καὶ ἀλάλοις θῦσαι οὐκ ἀνεχόμεθα. καὶ ἐκέλευσε τύπτεσθαι αὐτά· ἐν δὲ τῷ τύπτεσθαι αὐτὰ, ἔλεγον· ἡμᾶς Χριστιανοί ἐσμεν, καὶ οὐ θύομεν. τότε γραφὰς ὁ Βασιλεὺς πρὸς τὰ ἄλλα νήπια, λέγει· θύσατε καὶ ὑμεῖς, μὴ χάρονα τέκνων πάθητε. καὶ ἀνέβόησαν καὶ αὐτὰ λέγοντα· Χριστιανοί ἐσμεν καὶ ἡμεῖς, οὐ θύομεν, ἀλλ' ἀνάθεμά σοι μὲ τῆ θεῶν σου. τότε τυφθῆναι καὶ πάντα σφοδρῶς προσέταξε, καὶ τῇ φυλακῇ ἐμβληθῆναι, καὶ λιμαγχονηθῆναι. καὶ τῇ ἑξῆς, κρεμασθῆναι προσέταξε τὸν Διδάσκαλον, καὶ νεύροις ὠμοῖς καταξαίνειν τὰς σάρκας αὐτῶ. τὸ καθὸν δὲ τῶν Παίδων ἠρώτα, εἰ ἀρνοῦνται τὸν Χριστὸν, καὶ τὸν Διδάσκαλον αὐτῶν. τῇ δὲ μὴ ἀρνεμένων, ἐκέλευσε σὺν τῷ Διδασκάλῳ πάντας τῷ ξίφει πλαγωθῆναι. προπορεύόμενος δὲ ὁ Ἅγιος εἰς τὸν προκείμενον τόπον μὲ τῆ ὠγδοήκοντα τέσσαρων αὐτῶ Μαθητῶν, ἔψαλλεν· Ἰδὲ ἐγὼ καὶ τὰ παιδία, ἅμοι ἔδωκεν ὁ Θεός. καὶ φθάσαντες εἰς τὸν τόπον τῆς πελειώσεως, πρῶτον μὲν κατὰ τὴν τῶ Βασιλέως πρόσταξιν, ὁ Ἅγιος Βαβύλας ἐτμήθη τὴν κεφαλὴν, εἶθ' ὕπω τὰ νήπια. τινὲς δέ τινες δυσεβῆς νυκτὸς ἐλθόντες, καὶ τὰ λάψανα σὺν ἀκατίῳ ἐμβαλόντες, εἰς τὸ Βυζάντιον διακομίζεσι· καὶ ἐν τῷ βορείῳ μέρα ἔξω ταχέων ἐν τείσι λάρναξι καταθέντες, εἴδα ἐστὶ Μονὴ, Χώρα ἐπονομαζομένη, δόξαν καὶ εὐχαριστίαν τῷ Θεῷ ἀνέπεμψαν.

Ὁ Ἅγιος Θεότιμος, καὶ Θεόδουλος, οἱ ἀπὸ ἀνιμίων πιεσθέντες, τυρὶ τελειοῦνται.

Η. Θεότιμος πέφυκε σὺν Θεοδούλῳ, Τιμὴν σὺν αὐτῷ δολιχὴν δὸς Κυρίῳ.

Ὁ Ἅγιος Προφήτης Μωϋσῆς εἰς εἰρήνη τελειοῦται.

Θ. Οὐκ ἐκ πέτρας νῦν, ἀλ' ἐπιδίων μέρα, Μωσῆ θεωρᾶς, ἀλλ' ὅλον Θεὸν βλέπεις.

Σ γεννᾶται μὲν ἐν Αἰγύπτῳ. ἀνελάβετο δὲ αὐτὸν ἐκ τῶ ὕδατος ἡ τῶ Βασιλέως Θυγάτηρ, καὶ Υἱὸν ἐποίησε, καὶ πάσῃ σοφίᾳ Αἰγυπτίων ἐξεπαίδευσεν. αὐτὸς δὲ τῇ ἡλικίᾳ προβὰς, γενόμενος ἐτῶν τεσσαράκοντα, ἀνεῖλεν ἄνδρα Αἰγύπτιον, Ἑβραῖον πνὰ τιμωρούμενον. διὸ καὶ φοβηθεὶς ἀπέδρα εἰς γῆν Μαδιάμ. κἀκεῖ γυναῖκα γήμας Σεπφόραν τὴν τῶ Ἰοθὼρ Θυγατέρα, ὤφθη αὐτῷ ὁ Θεὸς ἐν τῇ φλογὶ τῆς βάτου. κἀκεῖ πληρώσας ἔτη τεσσαράκοντα, προσάξει Θεῶ κατῆλθεν εἰς Αἴγυπτον πρὸς Φαραὼ, ὅπως ἀποσάλῃ τὸς Ἑβραίους θῦσαι τῷ Θεῷ. μὴ πειθομένου δὲ αὐτῶ, αὐτίκα μαστίζει τὴν Αἴγυπτον διὰ τῆς δεκαπλήγου. ὅθεν Θεῶ ῥοπῇ, παραλαβὼν τὸν λαὸν ἐν ἀργυρίῳ καὶ χρυσίῳ, καὶ διὰ τῆς θαλάσσης διαγαγὼν, καὶ διὰ σημείων παιδεύσας, νόμῳ ἐτάχισε. καὶ ἐπὶ διὰ τῆς αὐτιλογίας τὸν Θεὸν παρώξυνεν, ἀνελθὼν ἐν τῷ ὄρει πελάτα, ἐτῶν ὑπάρχων ἑκατὸν εἴκοσι. προέλαβε δὲ τὴν τῶ Χριστῶ παρουσίαν, ἔτη χίλια πεντακόσια ὠγδοήκοντα πέντε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Ἑρμιόνης, μιᾶς τῶν Θυγατέρων Φιλίππου τῶ Ἀποστόλου.

Η. Χωρᾶς πρὸς αὐτὰς Οὐρανὸς Ἑρμιόνη, Ἕρμαιον ἀρρήκτα τὴν σωτηρίαν.

Φίλιππος ὁ Ἁγιώτατος Ἀπόστολος ὁ τὸν Κανδάκην βαπτίσας, ἔσχε τέσσαρας Θυγατέρας, ἃς ὁ Εὐαγγελιστὴς Λουκᾶς καὶ Προφήτιδας καὶ Παρθένους μαρτυρᾶ. ἐξ ὧν Ἑρμιόνη καὶ Εὐτυχὴς ἦλθον εἰς Ἀσίαν ἐπιζητῆσαι τὸν Θεολόγον. μὴ εὑρῆσαι δὲ αὐτὸν διὰ τὸ μεταπεθῆναι ὡς ὁ Ἐνὼχ καὶ ὁ Ἠλίας, εὗρον Πετρώνιον Μαθητὴν Παύλου τῶ Ἀποστόλου, καὶ διδαχθῆσαι παρ' αὐτῶ, ἐμιμῆντο τὰς τρόπους αὐτῶ. ἡ δὲ Ἑρμιόνη μετῆλθε τὴν Ἀρτεμικὴν τέχνην. διὰ τοῦτο δὲ καὶ προσήρχετο αὐτῇ πλῆθος πολύ,

καὶ πάντας τῇ ἐπικλήσει τοῦ Χριστοῦ ἐθεράπευε. Τοῦ δὲ Βασιλέως Τραϊανοῦ διερχομένου κατὰ Περσῶν, διεβλήθη ἡ Ἁγία ὡς Χριστιανή. καὶ παραστήσας αὐτὴν, ἐπειρᾶτο κολακείαις ἀπατῆσαι ταύτην, καὶ ἀποστῆσαι τοῦ Χριστοῦ. ὡς δ' οὐκ ἐπείθετο, προσέταξεν αὐτὴν κατὰ τοῦ προσώπου ῥαπίζεσθαι ἐπὶ ὥρας ἱκανάς. ἀλλ' ἡ Ἑρμιόνη τὸν Κύριον καθήμενον ἐν τῷ δικαστηρίῳ βλέπουσα, ἐν σχήματι Πετρωνίου προσομιλοῦντα, καὶ ἐνδυναμοῦντα αὐτὴν, ἀντ' οὐδενὸς ἡγεῖτο τὰς μάστιγας. Ἰδὼν δὲ ὁ Βασιλεὺς τὸ σταθηρὸν τοῦ νοὸς αὐτῆς καὶ πάγιον, αἰδεσθεὶς, ἀπέλυσεν αὐτήν. Ἔκτοτε οὖν ἀνοίξασα ἐν Ἀσίᾳ Πανδοχεῖον, ἐψυχαγώγει πάντας καὶ ψυχικῶς, καὶ σωματικῶς. καὶ ἦν ἰδεῖν καθ' ἑκάστην ἐκεῖσε δοξαζόμενον τὸν Κύριον παρὰ παντὸς ἀνθρώπου, μέχρι τῆς ζωῆς Τραϊανοῦ. Ἐκείνου δὲ τὸ ζῆν ἐκμετρήσαντος, καὶ βασιλεύσαντος Ἀδριανοῦ τοῦ Γαμβροῦ αὐτοῦ, καὶ ἀναμαθόντος τὰ περὶ τῆς Ἁγίας, παρέστησεν αὐτὴν διὰ τῶν Στρατιωτῶν, καὶ φησί· λέγε μοι γραΐδιον, πόσων ἐτῶν εἶ, καὶ ποίου γένους ὑπάρχεις; καὶ ἐν ποίᾳ ἐξουσίᾳ διάγεις; ἡ δὲ Ἁγία ἀπεκρίνατο· ὁ Χριστός μου οἶδε πόσων ἐτῶν εἰμι, καὶ ποίου γένους ὑπάρχω. ὁ Βασιλεὺς εἶπεν· ἄραντες τὸ παλλίον ἀπ' αὐτῆς, τύπτετε αὐτὴν ἀφειδῶς λέγοντες· πρὸς ἃ ἐρωτᾷ ὁ Βασιλεὺς, μετὰ σεμνότητος λέγε. τυπτομένης δὲ αὐτῆς σφοδρῶς, ὁ ψαλμὸς ἐπὶ στόματος ἦν. καὶ τῶν δημίων ἀτονησάντων, προσέταξεν ἑτέροις Στρατιώταις, ἐν τοῖς πέλμασι τῶν ποδῶν αὐτῆς, περάνας βαλεῖν. Γενομένου δὲ τούτου, καὶ τῆς Ἁγίας τῷ Θεῷ εὐχαριστούσης, ὁ θυμὸς τοῦ Τυραννου πλέον ἀνῆψε, καὶ κελεύει λέβητα ἐκκαῆναι μετὰ πίσσης, μολύβδου, ἀσφάλτου, καὶ θείου διαπύρου, καὶ ἐν τούτῳ τὴν Ἁγίαν βληθῆναι. ἐκκαυθέντος δὲ τούτου σφοδρῶς, ἡ Ἁγία εἰς τὸν Οὐρανὸν ἀναβλέψασα, καὶ κατασφραγισαμένη, εἰσῆλθεν ἐν αὐτῷ, καὶ εὐθέως ἐσβέσθη τὸ πῦρ, καὶ ὁ μόλυβδος ἐξεχύθη. ἰδὼν δὲ ὁ Βασιλεὺς, λέγει· ἐκκαύσατε τὸν λέβητα, ἕως οὗ τὰ ὀστᾶ αὐτῆς χωνευθῶσιν. ἀνάψαντες δὲ τὸν λέβητα, ἐθεώρουν τὴν Ἁγίαν, ὡς ἐν δρόσῳ ἱσταμένην ἐν αὐτῷ. καὶ λέγει πρὸς τὸν Τύραννον ἡ Ἁγία· ζῇ Κύριος ὁ Θεός μου, ὥσπερ σὺ καθεζόμενος οὐκ αἰσθάνῃ τῆς πυρᾶς τοῦ λέβητος τούτου, οὕτως οὐδὲ ἐγώ. ὁ δὲ θορυβηθεὶς ἐπὶ τούτῳ, ἀνέστη τοῦ Θρόνου αὐτοῦ, καὶ προσάψας τῇ χειρὶ τῷ λέβητι, εὐθέως ἀπεβάλετο τὴν δορὰν αὐτῆς σὺν τοῖς ὄνυξι. Τότε ἡ Ἁγία εἰποῦσα· μέγας ὁ Θεὸς τῶν Χριστιανῶν, ἐξέμηνε τὸν Βασιλέα. καὶ ἐκκαύσας τύγανον ὥστε σπινθηροβολεῖν, ἐκεῖσε τὴν Ἁγίαν γυμνὴν ἐξηκόντισεν. ὁ δὲ σὺν αὐτῇ ὢν Ἄγγελος Κυρίου, διασκορπίσας τὴν κάμινον ἑκατέρωθεν τοῦ τυγανοῦ, πολλοὺς τῶν παρευρεθέντων ἐνέπρησεν· ἐκείνη δὲ ὡς ἐπὶ χλόης ἐν τῷ τυγανῷ ὕμνει δοξάζουσα τὸν Θεόν. Ἰδὼν δὲ ὁ Βασιλεὺς Ἀδριανὸς τὸ παράδοξον θαῦμα, γέγονε σύντρομος, καὶ κελεύει ἐκβληθῆναι αὐτὴν ἔξω τοῦ τυγανοῦ, πτοούμενος μήπως καὶ αὐτὸς ἔργον τοῦ πυρὸς γένηται. ἐκβληθεῖσα δὲ, λέγει πρὸς αὐτόν· Βασιλεῦ, ὁ Κύριός μου ἐν τῷ τυγανῷ εἰς ὕπνον με μετέβαλε. καὶ εἶδον ὅτι προσεκυνοῦν τῷ μεγάλῳ Θεῷ Ἡρακλεῖ. ὁ δὲ περιχαρὴς γενόμενος, προσέταξεν εἰσελθεῖν αὐτὴν ἐν τῷ ναῷ. τότε ἡ Ἁγία προσευξαμένη καθ' ἑαυτὴν τῷ φιλανθρώπῳ Θεῷ ἡμῶν, εὐθέως βροντὴ γέγονεν ἐξ Οὐρανοῦ, καὶ πεσόντα εἰς γῆν τὰ ἐν τῷ ναῷ εἴδωλα, συνετρίβησαν, καὶ γεγόνασιν ὡσεὶ χνοῦς. καὶ ἐξελθοῦσα λέγει τῷ Βασιλεῖ· εἴσελθε, καὶ δὸς τοῖς σοῖς Θεοῖς χεῖρα βοηθείας, ἐπειδὴ πεπτώκασι, καὶ ἀναστῆναι οὐ δύνανται. καὶ εἰσελθὼν ὁ Βασιλεὺς, ἰδὼν τὴν τῶν εἰδώλων συντριβὴν, προσέταξεν ἔξω τῆς Πόλεως ξίφει τὴν τιμίαν αὐτῆς κεφαλὴν ἀποτμηθῆναι. καὶ λαβόντες ὅ, τε Θεόδουλος, καὶ Τιμόθεος, ἐξῆλθον τῆς Πόλεως. καὶ πρὸ τοῦ προσεύξασθαι ταύτην, ὁρμήσαντες κατὰ προπέτειαν διαπράξασθαί τι, ἀπεξηράνθησαν αἱ χεῖρες αὐτῶν. προσπεσόντες δὲ τῇ Ἁγίᾳ, καὶ πιστεύσαντες ὁλοψύχως εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὑγιεῖς ἐγένοντο, καὶ ᾐτήσαντο τὴν ἁγίαν προσεύξασθαι περὶ αὐτῶν, καὶ τὰς ψυχὰς αὐτῶν ἀποδοῦναι τῷ Κυρίῳ ἐνώπιον αὐτῆς. καὶ τούτου γενομένου, ἐκοιμήθησαν. καὶ αὐτὴ ἐκοιμήθη ἐν εἰρήνῃ παρὰ τὸν αὐτὸν τόπον. ἐλθόντες δὲ πιστοί τινες εὐσεβεῖς, καὶ λαβόντες τὰ τούτων λείψανα, κατέθεντο ἐν τῇ Πόλει Ἐφέσῳ, ἐν ἐπισήμῳ τόπῳ, εἰς δόξαν Πατρὸς, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος.

Τῇ

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Κεντυρίωνος, Ὠκεανοῦ, Θεοδώρου, Ἀμμιανοῦ, καὶ Ἰουλιανοῦ ὁρμωμένων ἐκ Κώμης Κανδαύλης.

ξ. Ὁ Κεντυρίων πῦρ πόθου θείου πνέων, Ψυχὴν προθύμως εἰς τὸ πῦρ ἀποπνέει.

Τριττοῖς Ἀθληταῖς ἡ πυρὰ κλίμαξ ξένη, Δι' ἧς ἀνῆλθον Οὐρανοῦ πρὸς τὸ πλάτος.

Οὗτοι διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, μετὰ πολλὰς πρότερον βασάνους, προστάξει Μαξιμιανοῦ, λουτρῷ ἐκκαυθέντι ἐμβάλλονται, κἀκεῖθεν ὑπὸ Θείου Ἀγγέλου ῥυσθέντες, τοὺς πόδας πελέκει ἀφαιροῦνται, καὶ πυρὶ ἐναποῤῥιφέντες, τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Πετρωνίου, Χαριτίνης, Ζαρβήλου, Θαθουὴλ, καὶ Βεβαίας.

ξ. Τιμηθέντες ἄμφω Θαθουὴλ καὶ Βεβαία, Ζωὴν βεβαίαν εὗρον αὐτ' ἐψευσμένης.

Βέβηλον ὁ Ζάρβηλος οὐ σέβων σέβας, Ἀνδρῶν βεβήλων χερσὶ βάλλεται λίθοις.

Οὗτοι ὑπῆρχον ἐπὶ Ἀδριανοῦ Βασιλέως. ὧν ὁ Θαθουὴλ τῆς δαιμονικῆς ἀπάτης ἦν Ἱερεύς. ἀγρευθεὶς δὲ ὑπότινος Ἐπισκόπου, προῆλθε τῇ Πίστει. διὸ ὑπὸ Αὐγάρου Τοπάρχου ῥαβδίζεται, τὰς ὄψεις καίεται, τὰς χεῖρας εἰς τοὐπίσω δεσμευθεὶς κατὰ τῆς γαστρὸς τύπτεται, τῆς χειρὸς ἐξαρτηθεὶς, κρεμᾶται, καὶ ξέεται, τῷ πυρὶ ὑποκαιόμενος. εἶτα ἐν ὀργανῷ τεκτονικῷ βληθεὶς, πρίεται ἀπὸ τῆς κεφαλῆς, καὶ τελειοῦται μαχαίρᾳ, σὺν Βεβαίᾳ τῇ ἀδελφῇ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων τριχιλίων ἑξακοσίων εἰκοσιοκτὼ Μαρτύρων.

Οἵτινες εὑρέθησαν κρυπτόμενοι ἐν ὄρεσι καὶ σπηλαίοις τῆς Νικομηδίας· οὓς ὁ Μαξιμιανὸς μυρίαις ὑποβαλὼν αἰκίαις, θανάτῳ παρέδωκε.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Τοῦ Οὐρανίαι Ταξιαρχίαι σήμερον, νικηφόρους ὁρῶσαι Νέους κατὰ τῆς πλάνης, τὸν θεσπέσιόν τε Βαβύλαν, ἐβόων συγχαίρουσαι Χριστῷ· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ Τοῦ Δεσπότου φωσφόρος κατελάμπρυνε, χάρις τοὺς συνελθόντας πιστοὺς, προτρέπουσα χαίροντας βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὦ Τυραννῷ μὲν ἠπόρει ἡ ἐπίνοια, βοηθεῖν τοῖς μὴ οὖσι θεοῖς· τῇ Παναγίᾳ ὁ θεσπέσιος δὲ Βαβύλας, προτρέπει Τριάδι τοῦ βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἀμπροτάταις ἀστραπαῖς σου καταλάμπρυνον, τὴν ζοφεραὶ καρδίαν μου, ἡ κυήσασα ἐπὶ γῆς τὸν Ἥλιον Χριστὸν, Παρθένε ᾗ ψάλλομεν ἀεί· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ἄλλος. Ἐν τῇ καμίνῳ.

Ἐν θεοπτίαις τῶν ἀποῤῥήτων, θεῖος γραφεὺς γεγονὼς, πᾶσαν τὴν σοφὴν ἰδέαν τὴν τῆς σκηνῆς, διὰ λόγων τεχνευσάμενος, τῷ ἀρχιτέκτονι, Βεσελεὴλ παρέθου τὴν πρᾶξιν Μωσῆ.

Ἱερατεύειν, θρασυστομήσας πάλαι Κορὲ κατὰ σοῦ, ὤφθη, κατελθὼν εἰς ᾅδου παγκλήρως ζῶν, τοῦ Θεοῦ σοι τὸ αἰδέσιμον, Μωσῆ φυλάττοντος, Βασιλείας καὶ Ἱερατείας ὁμοῦ.

Εὐστρατηγῶν σοι, τῷ Ἰουδαίων Ἔθνει πάλαι Μωσῆ, ὤφθη Μιχαὴλ ὁ Ἄρχων τῶν Οὐρανῶν, καὶ τοῦ σώματός σου θεῖος φρουρός. τὸν γὰρ ἀρχέκακον, ἀνθεστηκότα αὐτὸς κατήχυνε.

Θεοτοκίον.

Οὐ Ἀαρών σε ἡ θεία ῥάβδος προεδήλωσε, πᾶσι Θεοτόκε λύσιν ἁμαρτιῶν. ἱλασμὸς βροτοῖς γὰρ γέγονας, καὶ ἀπολύτρωσις, τῆς φρικτῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀπειλῆς.

Ὠδὴ η'. Θεὸν Πατέρα δημιουργόν.

Ἡ Μνήμη σήμερον ἀδελφοὶ, τοῦ Ἱερέως καὶ Μάρτυρος Βαβύλα, τοὺς ἐν φλογὶ Νεανίας ᾄδειν προτρέπεται· εὐλογεῖτε τὸν Κύριον τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Οἱ Νέοι σήμερον φοιτηταὶ, τοῦ Ἱερέως καὶ Μάρτυρος Βαβύλα, σὺν τῷ Πρεσβύτῃ στεφθέντες, ᾄδειν προτρέπονται· εὐλογεῖτε τὸν Κύριον τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ χρίσμα τὸ ἱερατικὸν, τοῦ Ἱερέως καὶ Μάρτυρος Βαβύλα, ἐν τῇ τοῦ αἵματος χρίσει, πλέον δοξάζεται. διὰ τοῦτο τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Θεὸν ἐκύησας ἐν σαρκὶ, τὸν κατέχοντα χειρὶ τὰ πάντα, καὶ ἐν ἀγκάλαις Παρθένε

τοῦτον ἐβάσασας· ὃν ὑμνοῦσιν ὡς Κύριον τὰ ἔργα, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Χεῖρας ἐκπετάσας Δανιήλ.

Θεράπων εἰκότως τοῦ Θεοῦ, ὡς πρᾶος ἤκουσας, καὶ ἔργοις γέγονας. διὸ ἐγνώσθη σοι Κύριος, ὑπὲρ πάντας τοὺς Προφήτας Μωσῆ, καὶ ἐνοικήσας σοι πιστῶς, ψάλλειν ἐδίδαξεν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὡς μύστης Θεοῦ καὶ λειτουργὸς, καὶ Βασιλεὺς Ἰσραὴλ, Μωσῆ θεόπτα δειχθεὶς, Χριστὸν ἐκήρυξας ἔρχεσθαι, ἐν σαρκὶ προδιαγράψας αὐτοῦ, τὴν πρὸς ἀνθρώπους φοβερὰν καὶ Θείαν ἔλευσιν· οὗ καὶ τύπος ἔμψυχος, ὤφθης σαφῶς, καὶ Προφήτης πιστός.

Λόγῳ προφητείας τὸν λαὸν, καὶ νόμῳ διαταγῆς, καθοδηγήσας πιστῶς, σημείων τέρασιν ἴθυνας, καὶ θαυμάτων ἐπιδείξεσιν, ὑπὸ Θεοῦ προχειρισθεὶς, Ἄρχων Θεόπτα. διὸ προσετέθης, πρὸς τοὺς Πατέρας τοὺς σοὺς, μετὰ δόξης πολλῆς.

Ὄρει ἐπιβὰς ὡς Οὐρανῷ, Θεοῦ προσάξαντος, κατεῖδες πνεύματι, τὴν τῶν πραέων γῆν Πάνσοφε· αἰσθητῶς δὲ κατενόησας, ἐπαγγελίας τὴν τρυφήν· καὶ μεταστάντος ἐκ γῆς, ἐπεκρύβη, οἰκονομίᾳ Θεοῦ καὶ τὸ σκηνός σου. Θεοτοκίον.

Οὐδεὶς προακήκοε πρὸ σοῦ, θεόπτης ἔνδοξε, Μωσῆ θεράπον Χριστοῦ. διότι ἅπαντα ἔβλεψας, τῆς Παρθένου τὰ ἰνδάλματα, προδιαγράφοντα αὐτῆς τὴν Θείαν Γέννησιν. ἐν φλογὶ γὰρ βάτου, κατεῖδες μορφὴν τὴν ἀόρατον.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν.

Θεὸς ἀνθρώποις ὁδὸν ὑπέδειξε, διὰ Σταυροῦ πρὸς ὕψος Οὐρανῶν εὐεπίβατον. διὰ τοῦτο θάνατος ἡττᾶται βροτοῖς. Παῖδες γὰρ νεανίαι τοῦτον οὐκ ἔπτηξαν, σὺν τῷ θαυμασίῳ Βαβύλᾳ· οὓς μακαρίσωμεν.

Εὐρὼν τῶν πόνων σου τὴν ἀνάμειψιν, παρὰ Χριστοῦ θαυμάτων, παροχὴν καὶ αἰώνιον, κληρουχίαν Βαβύλα θεσπέσιε, μέλπεις σὺν τοῖς Ἀγγέλοις· Ἅγιος, Ἅγιος, Ἅγιος, Τριὰς ἡ παντουργὸς καὶ παντοδύναμος.

Παθῶν ἰάματα ἀρυσώμεθα, τῇ εὐκλεεῖ σκηνῇ τῶν Ἀθλοφόρων προστρέχοντες. ἐν αὐτῇ γὰρ πάρεισιν Ἀγγέλων χοροὶ, πνεύματά τε δικαίων, πάντων ἡ Δέσποινα, σὺν τῷ θαυμασίῳ Βαβύλᾳ ἰάσεις νέμοντες. Θεοτοκίον.

Ὠδὴν προσάγω σοι Κόρη Δέσποινα, ἐκ ῥυπαρῶν χειλέων μου ὁ τάλας δεόμενος· τοῦ βορβόρου ῥῦσαί με τῶν ἔργων μου. ἅπαντας δὲ τοὺς πίστει νῦν εὐφημοῦντάς σε, τῆς ἐκ δεξιῶν τοῦ σοῦ Υἱοῦ δόξης ἀξίωσον.

Ἄλλος. Λίθος ἀχειρότμητος.

Γέγονας αὐτόπτης Θεόπτα, καὶ μετὰ θάνατον Κυρίου, οὐ δι' ἀμυδρῶν αἰνιγμάτων, Χριστὸν ἀθρήσας ὡς ἐν τῇ πέτρᾳ τὸ πρίν· ἀλλ' ἀνθρωπίνῳ σώματι, φῶς ἀπαστράπτοντα Θεότητος.

Ὄρος τὸ Θαβὼρ ἐδοξάσθη, ὑπὲρ τὸ Σίναιον πλουσίως. ἔνθα Μωϋσῆς ἐκ Νεκάδων, καὶ ὁ Θεσβίτης ἐν χώρᾳ ζώντων Χριστὸν, σὺν Ἀποστόλοις ἔβλεπον, μεταμορφούμενον ὡς ὄντως Θεόν.

Σῶσον συμπαθεῖ σου πρεσβείᾳ, καὶ προσευχῶν τῇ παρουσίᾳ, ὡς τὸν Ἰσραὴλ ἐκ κινδύνων, Μωσῆ Θεόπτα καὶ χαλεπῶν καὶ δεινῶν, Χριστιανῶν τὸ πλήρωμα, ἐκ πάσης βλάβης τῶν ὑμνούντων σε. Θεοτοκίον.

Στάμνον σε χρυσῆν τε καὶ πλάκα, καὶ Θείαν Τράπεζαν Παρθένε, πρότερον Μωσῆς διαγράψας, τρανῶς ἐδήλου Θεὸν τεχθῆναι ἐκ σοῦ. ὅν περ ἰδόντες σώματι, πιστῶς τὸν ὕμνον ἐκπληροῦμέν σου.

Ἐξαποστειλ. Ὁ Οὐρανῶν τοῖς ἄστροις.

Ὀντὴς ὁμοῦ καὶ θῦμα, θύων Χριστῷ ἀναιμάκτως, καὶ σοῖς ἐν αἵμασι τυθεὶς, σὺν τοῖς τελείοις Νηπίοις· μεθ' ὧν σε ἀνευφημοῦμεν, Βαβύλα Ἱερομάρτυς. Θτ. Ὅμοιον.

Λοὺς μὴ τὴν σὴν Εἰκόνα, Παρθένε ἀσπαζομένους, καὶ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, ἐκ πίστεως εἰλικρινοῦς, κατάβαλε ὡς ἀθέους, καὶ τῇ γεέννῃ παράδος. Σταυροθτ. Ὅμοιον.

Ἡ Ἄνυμφός σου Χριστέ μου, Μήτηρ ἐν τῷ Σταυρῷ σε, ὡς ἐθεάσατο θρηνοῖς, ἐκόπτετο ἐκβοῶσα· οἴμοι γλυκύτατον φέγγος, πῶς ἔδυς οὐξ ὀφθαλμῶν μου;

Εἰς τὴν Λειτουργίαν. Προκείμενον, ἦχος δ'. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ. Ἐξ. Προωρώμην τὸν Κύριον. Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους. Ἀδελφοὶ, οἱ Ἅγιοι πάντες. Ζήτει τῶν Ἁγίων πάντων. Ἀλληλούϊα, ἦχος δ'. Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος. πᾶς ὅς τις ὁμολογήσει με ἔμπροσθεν. Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι. καὶ τὰ ἑξῆς.

Μηνὶ

Μιῶι τῷ αὐτῷ Ε΄.

Τῶ Ἁγίω Προφήτω Ζαχαρίω, τῶ Πατρὸς τῶ Προδρόμω. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἰσῶμεν ϛ΄. ς΄. καὶ ψάλλομεν ϛ΄. προσόμοια, ἦχος δ΄. Ἔδωκας σημείωσιν.

ΧΡίσμα περικείμενος, σολιῶ τε θείαν ἀοίδιμε, Ζαχαρία ὡς Ἄγγελος, Θεῷ ἱεράτευσας, μεσιτεύων Πλάσῃ, καὶ πλάσματι μάκαρ, καὶ τὰς δηλώσεις ἐναργῶς, τῶ Θείω Πνεύματος εἰσδεχόμενος. διό σε μακαρίζομεν, καὶ τιμῶ ἁγίαν σε σήμερον, ἐκτελοῦντες πανήγυριν, τὸν Σωτῆρα δοξάζομεν.

ΠΑιδίον ἑώρακας, ἀποτεχθὲν τῆς Νεανίδος, Ζαχαρία Θεόπνευστε, Πατρὸς τὸν σωτῆρα ἄρχον. καὶ τῷ σῷ προδήλως, προλέγεις Παιδίῳ· Προφήτης ἔσῃ ἀληθῶς, τότε τοῖς τείβεσι ἑτοιμαζόμενος. μεθ' ὃ σε μακαρίζομεν, καὶ τιμῶ σε πιστῶ σε πανήγυριν, ἱερῶς ἑορτάζομεν, θεοφόρε πανόλβιε.

ΝΑὸς ζῶν καὶ ἔμψυχος, τῶ Θείω Πνεύματος πέφυκας. καὶ Ναῶ μέσον Ἔνδοξε, Θεῷ συγγινόμενος, καθαρᾷ καρδίᾳ, ἀδίκως ἐσφάγης, μαρτυρικῶς ἀποπληρῶν, τὸν θεῖον δρόμον σε ἀξιάγασε. διὸ πρὸς τὸν Οὐράνιον, Ναὸν ἀϋλῆλθες ἐν αἵματι, τῷ ἰδίῳ αὐτόμενος, ἐλασμὸν τοῖς πιστοῖς σε.

Δόξα, ἦχος πλ. Ἰωάννου Μοναχοῦ.

ΓΕρωσιμὴς νομικῆς, ἐνδεδυμένος ὄντως σολιῶ, κτ' τιμῶ τάξιν Ἀαρὼν ἐλατέργησας. καὶ παρεσῶ ἐν τῷ Ναῷ, Ἀγγελικῶ μορφῶ ἐμφανῶς ἐθεάσω παμμακάριστε. διό σε τιμῶ πίστασιν ἅπαντες μέλποντες, χρεωσικῶς Ζαχαρία, ἄσμασιν δόξομεν, σὲ τὸν μετὰ τὸ γῆρας ἐκβλαστήσαντα, Ἰωάννην τὸν εὔδοξον. πρέσβευε ὑπὲρ ἡμῶν τὸν ἐλεήμονα Θεόν, σωθῆναι ἡμᾶς.

Καὶ νῦν. Θτ. Κύριε, ἐκέκραξα.

ΚΥριε, σὺ τῆς σὲ Τεκούσης πρεσβείαις, περιφρούρησον τιμῶ ποίμνιόν σε, ὧν περ Αἵματί σε τιμίῳ, ὡς οἰκτίρμων ἐξηγόρασας. καὶ ἐπηρείας ἐχθρῶν, ἀπήμαντον σωτήρησον· ὅπως ὑμνοῦντες δοξολογοῦμεν, τιμῶ θείαν σε συγκατάβασιν.

Σταυροθεοτοκίον. Ὅμοιον.

ΚΥριε, ὅτε σε ὁ Ἥλιος εἶδεν, ἐπὶ τοῦ Ξύλου κρεμάμενον, Ἥλιε τῆς δικαιοσύνης, τὰς αἰχμὰς ἐναπέκρυψε, καὶ ἡ Σελήνη τὸ φῶς, εἰς σκότος μετεβάλλετο· ἡ δὲ Παναμώμος σε Μήτηρ τὰ σπλάγχνα διεπέτρωτο.

Εἰς τὸν ϛ΄. ϛ΄. τῆς Ὀκτωήχου.

Εἰ δὲ βούλει, ἀπὸ τὰ παρόντα προσόμοια τῶ Ἁγίω, ἦχος πλ. Ὦ τοῦ παραδόξου.

ΩΤῶ παραδόξω θαύματος, ὁ παρεσῶς τῷ Θεῷ, ἐν ὑψίστοις Ἀρχάγγελος, λειτουργῷ Θεόφρονι, Ζαχαρίᾳ τὴν σύλληψιν, τὴν τῶ Προδρόμω διαγγελίζεται, παρ' ἡλικίαν ἐκ τῆς γερώσεως. ὧ τῆς ἀφράστου σου, προμηθείας Δέσποτα· δι' ἧς χεῖρας, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

ϛ΄. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ.

ΩΤῶ παραδόξω θαύματος, τῆς παλαιᾶς τιμῶ σιγὴν, καὶ τῆς νέας τὴν ἔκφανσιν, Ζαχαρίᾳ κώφωσις, προφητεύσασα σαφέστατα· τὴν γὰρ τοῦ νόμου σιγήσας πλήρωσιν, τὸ φῶς ὑπέδειξε τὸ τῆς χάριτος. ὧ τῆς προνοίας σου, τοῦ σοφοῦ φιλανθρώπου· δι' ἧς ἡμᾶς πάντας περιφρούρησον, ὡς παντοδυνάμους.

ϛ΄. Καὶ σὺ, παιδίον, Προφήτης Ὑψίστου.

ΩΤῶ παραδόξω θαύματος, ἐν Ἱερεῦσι πιστὸς, καὶ ἐν Μάρτυσιν ἄριστος, καὶ Προφήταις εὔδοξος, προμηνύων τὰ μέλλοντα, ὁ Ζαχαρίας Δέσποτα δείκνυται, τριπλῶ σεφαύῳ κατακοσμούμενος. ὧ τῆς πλουσίων σε, δωρεῶν φιλανθρώπου· δι' ὧν χεῖρας, πάντας καταξίωσον, τῆς Βασιλείας σου.

Δόξα, ἦχος β΄. Ἀνατολίου.

ΩΣ καθαρὸς Ἱερεὺς εἰς τὰ Ἅγια τοῦ Ἁγίων εἰσέδυς, καὶ τιμῶ σολιῶ τιμῶ Ἱερατῶ ἐνδυσάμενος, ἀμέμπτως τῷ Θεῷ ἐλατέργησας, ὡς Ἀαρὼν νομοθετῶν, καὶ ὡς Μωσῆς ποδηγῶν τὰς φυλὰς τοῦ Ἰσραήλ, ἐν τῇ τοῦ κωδώνων ἀκουφνεῖ συμβολῇ. διὸ καὶ πεφόνδσαι. ἀλλὰ τὸ αἷμά σε τὸ δίκαιον, ἡμῖν σωτήριον βάπτισμα γέγονε· καὶ ὡς μύρον εὐῶδες πᾶς ἀκοὰς ἀνοίγα πρὸς προοιμιὸν τῆς αἰωνίου ζωῆς. Ζαχαρία τελεσόλβιε, τῶ Βαπτιστῆ Ἰωάννου ὁ γενέτης, καὶ τῆς Ἐλισάβετ ὁ σπόδνος, ἐκτενῶς πρέσβευε ὑπὲρ τοῦ ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θτ. Ὅτε, ἐκ τοῦ Ξύλου.

ΟΝπως, ὑπερῆραν ἀληθῶς, τοῦ ἀνομιῶν μου τὸ πλῆθος τὴν κεφαλήν μου Ἀγνὴ, καὶ αἱ ἀνομίαι μου ὑπερεπλήθυναν, καὶ φορτία δυσβάστακτα, καὶ ἄμετρα Κόρη, κέκτημαι ὁ δεί-

δείλαιος, καὶ ἀδιόρθωτος. σὺ οὖν τῇ θερμῇ σου πρεσβείᾳ, πρόφθασον καὶ σῷσόν με μόνη, τῶν ἁμαρτανόντων ἡ διόρθωσις.

Σταυροθεοτοκίον. Ὅμοιον.

Πόνους, ὑπομείνασα πολλοὺς, ἐν τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Σταυρώσει ἄχραντε, ἔστενες δακρύουσα καὶ ἀλαλάζουσα· οἴμοι τέκνον γλυκύτατον, ἀδίκως πῶς πάσχεις, θέλων πάντας ῥύσασθαι, τοὺς ἐξ Ἀδὰμ γηγενεῖς; ὅθεν Παναγία Παρθένε, σὲ παρακαλοῦμεν ἐν πίστει, ἵλεων ἡμῖν τοῦτον ἀτιέργασαι.

Τροπάριον, ἦχος δ.

Ἱερωσύνης στολισμὸν, περιβαλόμενος σοφὲ, κατὰ τὸν νόμον τοῦ Θεοῦ, ὁλοκαυτώματα δεκτὰ, ἱεροπρεπῶς προσενήνοχας Ζαχαρία. καὶ γέγονας φωστὴρ, καὶ θεατὴς μυστικῶν, τὰ σύμβολα ἐν σοὶ, τὰ τῆς χάριτος, φέρων ἐκδήλως πάνσοφε, καὶ ξίφει ἀναιρεθεὶς ἐν τῷ Ναῷ τοῦ Θεοῦ. Χριστοῦ Προφῆτα, σὺν τῷ Προδρόμῳ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ἀλλό. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου εἰς ς'.

Οὗ ἡ ἀκροστιχίς.

Τὸν προδρόμοιο τοκῆα κροτῶ σοφὸν Ἀρχιερῆα.

Ποίημα Θεοφάνους. Ὠδὴ, α'. ἦχος πλ.

Ὑγρὰν διοδεύσας.

Μὴν μνήμην Προφῆτα σοῦ εὐφημῶν, τοῦ Πνεύματος χάριν, ἱκετεύω μοι συνεργεῖν, τῇ σῇ μεσιτείᾳ ἀνακράζων· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ὁ Βίος σου ἄμεμπτος εὑρεθεὶς, τῆς Ἱερωσύνης, ἐκοσμήθη καταστολῇ, καὶ τῆς προφητείας φωτοφόροις, μαρμαρυγαῖς Θεορρῆμον μακάριε.

Νομίμῳ ταινίᾳ, τὴν κεφαλὴν, κατηγλαϊσμένος, Ζαχαρία ἀναδειχθεὶς, ὡς Ἱεροφάντωρ ἀνεβόας· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν. Θεοτοκίον.

Ποδήρη χιτῶνα ὡς Ἀαρὼν, περιβεβλημένος, τὴν ἐκ ῥίζης τοῦ Ἰεσσαὶ, βλαστήσασαν Κόρην ὑπεδείξω, τὸν Λυτρωτὴν ἐν κοιλίᾳ βαστάζουσαν.

Ὠδὴ, γ'. Σὺ εἶ τὸ στερέωμα.

Ὅτε τὸ θυμίαμα, τὸ τῆς συνθέσεως ἔφερες, Ἀρχιερεῦ, τότε τοῦ Προδρόμου, ἐκομίσω τὴν Γέννησιν.

Μῦρον ἁγιάσματος, ἱερατεύειν σε ἔχρισεν, ὡς Ἀαρών. ὅθεν ὀπτασίας, τοῦ Ἀγγέλου ἠξίωσαι.

Ὄρθρον προμηνύοντα, τῇ Οἰκουμένῃ σε Ἥλιον, τὸν νοητὸν, Σῶτερ Ζαχαρίας, Ἰωάννην ἐκτέτοκεν. Θεοτοκίον.

Ἔθυνον τὸν βίον μου, Θεογεννήτρια Πάναγνε, καὶ τὴν ζωὴν, ἡ τοῦ Ζαχαρίου τὴν οἰκίαν φαιδρύνασα.

κα. ἦχος πλ. Τὸ προσταχθέν.

Ἱερουργήσας τῷ Θεῷ κατὰ τὸν νόμον· καὶ προφητεύσας τὸν Χριστὸν ἐκ τῆς Παρθένου, Ζαχαρία σαρκούμενον ἐκ Πνεύματος Ἁγίου. ἐφάνης τῇ Οἰκουμένῃ στύλος φωτός. ἐξ ὕψους δικαιοσύνης Ἀνατολὴν, πάντα Κόσμον ἐκλάμπουσαν· καὶ εἰς ὁδὸν εἰρήνης εὐθύνουσαν, τοὺς πόδας ἡμῶν, ἔφης. τὸν σῴζοντα τὸ γένος ἡμῶν.

Δόξα. Ὅμοιον.

Μοῦ Βαραχίου τὸν Υἱὸν νῦν μακαρίσωμεν, ὅτι τὸν νόμον ψαλμικῶς προεμελέτησε, Ζαχαρίας ὁ δίκαιος νυκτός τε καὶ ἡμέρας· λατρεύων τῷ ἐν ὑψίστοις πάντων Θεῷ, ὡς ἔφη ὁ ἐν Προφήταις μέγας Δαβίδ. ὃς καὶ τέλος δι' αἵματος, σφαγεὶς ἐτύθη ὡς Ἀμνὸς, δεκτὸς εἰς ὁλοκάρπωσιν, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Θεοχαρίτωτε Ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι, καὶ σὺν τοῖς Προφήταις, καὶ πᾶσι τοῖς Ἁγίοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὦ τοῦ Υἱοῦ σου καὶ Θεοῦ Σταυρῷ Παρθένε, περιφρουρούμενοι ἀεὶ τὰς τῶν δαιμόνων, προσβολὰς ἐκτρεπόμεθα, καὶ τὰς μεθοδείας. κυρίως σε Θεοτόκον καὶ ἀληθῶς, ὑμνοῦντες καὶ πόθῳ πᾶσαι αἱ γενεαὶ, μακαρίζομεν ἄχραντε, ὡς προεφητεύσας. διὸ, πταισμάτων ἡμῖν ἄφεσιν, ταῖς πρεσβείαις σου δώρησαι.

Ὠδὴ, δ'. Εἰσακήκοα Κύριε.

Ὁ Προφήτης σου Δέσποτα, τύποις νομικοῖς, πιστῶς ἐλειτούργει σοι, καὶ τῆς χάριτος ἠξίωται, κατιδεῖν ἐν γνώσει τὴν ἀλήθειαν.

Τῷ

Ὦ φωτὶ φῶς προσέλαβες, τῷ ἀμαυροτέρῳ σὺ τὸ τρανώτερον. παμμακάριστε τῷ νόμῳ γὰρ, ἡ χάρις ὄντως προσετέθη σοι.

Ὁ Θεῷ παριστάμενος, θεῖος Γαβριὴλ εὐαγγελιζόμενος, ἀνεφώνει σοι Μακάριε, τὴν φωνὴν τοῦ Λόγου καὶ τὸν Πρόδρομον. θτ.

Κλθαρὸν ἐνδιαίτημα, ὁ Δημιουργὸς Παρθένε τῆς Κτίσεως, εὑρηκώς σε κατεσκήνωσεν, ὁ τῆς Ἐλισάβετ λύσας στείρωσιν.

Ὠδὴ, ε'. Ὀρθρίζοντες.

Ἡ Κίδαρις ἐτέθη τῇ κάρᾳ σου, ὦ Προφῆτα, ἐν σφραγῖδι ἔχουσα, τύπον τῆς χάριτος ἔνδοξε.

Ἀγάλλεται ἡ Κτίσις τῷ τόκῳ σου, Ἀρχιερεῦ. σὺ γὰρ ἀνεβλάστησας, τῆς μετανοίας τὸν Κήρυκα.

Κοσμίως σου τὸν βίον διήνυσας. τὰς ἐντολὰς, πάσας τοῦ Κυρίου γὰρ, σὺν Ἐλισάβετ ἐτέλεσας. Θεοτοκίον.

Ῥυθμίζεται πρὸς ὕμνον ἡ γλῶσσά σου, Θεοῤῥῆμον. τὴν γὰρ Ἀπειρόγαμον, κυοφοροῦσαν ἑώρακας.

Ὠδὴ, ς'. Χιτῶνά μοι παράσχου.

Ὁ Νόμου λατρεύων τῇ σκιᾷ, ὤφθη καὶ τῆς χάριτος, Κῆρυξ Σωτὴρ ἡμῶν. ἠξιώθη γὰρ ἰδεῖν σου τὴν Σάρκωσιν.

Ὧν κρίσεων λογείων κοσμηθεὶς, Λόγον τὸν ἀΐδιον, σάρκα φορέσαντα, Ζαχαρία, Ἱερεῦ ὑποδέδειξαι.

Ὡ Ῥάθης ἔνδον χωρῶν τοῦ Ναοῦ, Θεῷ συγγινόμενος, Μύστα θεόπνευστε, Ἱερεὺς καὶ Λειτουργὸς ἀξιάγαστος. Θεοτοκίον.

Σωτῆρα Θεομῆτορ ἐν γαστρὶ, Παρθένε βαστάζουσα, Λόγον τὸν ἄναρχον, ἐγνωρίσθης Ἐλισάβετ τῇ προφήτιδι.

Κοντάκιον, ἦχ. γ'. Ἡ Παρθένος σήμερον.

Ὁ Προφήτης σήμερον, καὶ Ἱερεὺς τοῦ Ὑψίστου, Ζαχαρίας προὔθηκεν, ὁ τοῦ Προδρόμου γενέτης, τράπεζαν τῆς προφητείας, πιστοὺς ἐκτρέφων, πόμα δὲ δικαιοσύνης πᾶσι κεράσας. διὰ τοῦτο τελειοῦται, ὡς Θεῖος Μύστης Θεοῦ τῆς χάριτος. Ὁ Οἶκος.

Ἦν τοῦ νόμου σιγὴν, ὁ Ἱεράρχης δέδεκται, δι' Ἀγγέλου φωνῆς, τὸν Ἄγγελον δεχόμενος. Χριστοῦ παρουσίας Προφήτην καὶ Μύστην, σὺν Ἐλισάβετ στείρᾳ καὶ σώφρονι. οὗ γεννηθέντος, ἀνεκαινίσθη χάρις, καὶ λύτρωσις, καὶ καταλλαγὴ ἡμῶν παγκόσμιος. κηρύττει γὰρ τὸν Ἀμνὸν καὶ Πλάστην, καὶ τῆς φύσεως νεουργὸν, τὸν ἐκ τῆς στείρας τὸν καρπὸν χορηγοῦντα· Υἱὸν δὲ φανέντα τῆς Παρθένου, ὡς Θεῖος Μύστης Θεοῦ τῆς χάριτος.

Τῷ αὐτῷ Μηνὶ ε'. Ἡ σφαγὴ Ζαχαρίου τοῦ Προφήτου, τοῦ Πατρὸς τοῦ Προδρόμου.

ξι. Θεῖον δι' Ἀμνὸν τοῦ Θεοῦ Ζαχαρίας, Ὥσπερ τις ἀμνὸς σφάττεται Ναοῦ μέσον. Πέμπτῃ Ζαχαρίαν δαπέδῳ σφάξαν παρὰ Ναοῦ.

Οὗτος παῤῥησίᾳ κηρύττων τὴν Θεοτόκον Μητέρα ὁμοῦ καὶ Παρθένον, καὶ τῆς ἀφωρισμένης ταῖς Παρθένοις στάσεως μὴ ἐξιέναι κελεύων. καὶ διὰ τὸ μὴ εὑρίσκεσθαι τὸν Υἱὸν αὐτοῦ Ἰωάννην ἐν τῷ καιρῷ τῆς βρεφοκτονίας, ὡς κρυπτόμενον ἐν σπηλαίῳ, πέραν τοῦ Ἰορδάνου, διὰ τῆς Μητρὸς αὐτοῦ. προστάξει τοῦ Ἡρώδου, ἀναιρεῖται μέσον τοῦ Θυσιαστηρίου παρὰ τῶν Ἰουδαίων.

Τῇ αὐτῇ ἡμέρᾳ. Ὁ Ἅγιος Ἀβδαῖος ῥάβδοις ἀκανθώδεσι τυφθεὶς τελειοῦται.

ξι. Ῥάβδων ἀκάνθας Μάρτυς Ἀβδαῖος φέρει, Στεφθέντα τιμῶν ταῖς ἀκάνθαις Δεσπότην. Ἡ Ἁγία Μάρτυς Ῥαῒς ξίφει τελειοῦται.

ξι. Ποθοῦσα κάλλος ἡ Ῥαῒς Θεοῦ βλέπειν, Σαρκὸς τὸ κάλλος ἐκδίδωσι τῷ ξίφει.

Ὁ Ἅγιος Σάρβιλος ὑπὸ δημίων λιθοβοληθεὶς τελειοῦται.

ξι. Ὁ Σάρβιλος βέβηλον οὐ σέβων σέβας, Ἀνδρῶν βεβήλων χερσὶ βάλλεται λίθοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Οὐρβανοῦ, Θεοδώρου, Μεδίμνου, καὶ τῶν σὺν αὐτοῖς ὀγδοήκοντα Ἱερέων καὶ Λευιτῶν.

Οἵτινες ὑπὸ τοῦ κακόφρονος Οὐάλεντος τῆς Ἐκκλησίας ἐξωσθέντες, καὶ μυρία δεινὰ ὑπομείναντες, τελευταῖον πλοίῳ ἐμβληθέντες, καὶ κατὰ τὸν Ἀστακηνὸν τόπον τοῦ κόλπου γενόμενοι, πυρποληθέντος τοῦ πλοίου ὑπὸ τοῦ Ἐπάρχου, ἐτελειώθησαν ἐν αὐτῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Πέτρου τοῦ ἐν τῷ Ἀθύρᾳ. καὶ μνήμη τοῦ Ἁγίου Μάρτυρος Αὐδιοῦ Ἐπισκόπου, ὃς ἦν ἐπὶ Ἰνσδιγέρδου Βασιλέως Περσῶν.

Οὗτος ὁ Ἁγιώτατος Αὐδιοῦ, ὑπὸ τοῦ Ἀρχιμάγου Περσῶν κρατηθεὶς, καὶ ἀναγκασθεὶς θῦσαι τῷ Ἡλίῳ καὶ τῷ Πυρὶ, καὶ μὴ πεισθεὶς, τύπτεται καθ' ὅλου τοῦ σώματος μετὰ ῥάβδων ῥοΐνων. καὶ ἐπὶ πολὺ μαστιγωθεὶς βαστα-

βαϛαζόμενος ὑπὸ τῶν δημίων, ἐτέθη ἐν τῇ οἰκίᾳ αὐτοῦ ὡσεὶ νεκρὸς, καὶ μετὰ μικρὸν παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ.

Ὠδὴ ζ. Παῖδες Ἑβραίων.

Ὅτε φωνὴ ἡ τοῦ βοῶντος, προελήλυθεν ἐκ ϛείρας Ζαχαρίου, τῆς σῆς γλώσσης δεσμὰ, διέλυσε κραυγάζειν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Φίλος ἐτέχθη τοῦ Νυμφίου, ἐκ ϛειρώσεως τὸν τόκον τῆς Παρθένου, προμηνύων σαφῶς, ὁ Πρόδρομος τοῖς πίϛει, εὐλογητὸς εἶ κράζουσιν, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὅλος ἐγένου Ζαχαρία, θεῖον ὄργανον τοῦ Πνεύματος τρισμάκαρ. καὶ Προφήτην τὸ σὸν, προέλεγες Παιδίον. εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Νόμου τὸ πλήρομάσε Κόρη, τὸ κεφάλαιον τῆς ὅλης προφητείας, Ζαχαρίας ὁρῶν, ἐγνώρισε κραυγάζων· εὐλογημένος Παύαγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ η. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Ἀληθείας ἐδείχθης Ὑποφήτης. τοῦ Χριϛοῦ γὰρ τὰς τρίβους Ἰωάννης, προπορευθεὶς ἡτοίμασεν ὁ Πρόδρομος, μάκαρ Ἱεράρχα. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἐντορεύων εὐλόγεις τὸν Δεσπότην, σωτηρίαν ἡμῖν τὸν δεδωκότα. τὸν ἐκ Δαβὶδ σαρκὶ ἀνατείλαντα, Κύριον τῆς δόξης. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Χαρισμάτων μεγάλων ἠξιώθης, Θεοφάντορ τὸν Πρόδρομον γεννήσας, τῶν Προφητῶν ἁπάντων ὑπερκείμενον· Κύριον ὑμνοῦντα, καὶ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Ἱεράρχης ὁμοῦ καὶ θεοκήρυξ, Ζαχαρίας μητέρα καὶ Παρθένον, τὸν Κύριον βαϛάζουσαν τῆς Κτίσεως, χαίρων προσεκύνει. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ. Κυρίως Θεοτόκον.

Ἐπλήσθης ἐπιπνοίας, τῆς τοῦ Παρακλήτου, καὶ εὐλογεῖν ἐπεχείρεις τὸν Κύριον, Ἱερομύϛα θεόφρον Θεομακάριϛε.

Ἑημάτων τὰς ἐκβάσεις, τῶν τοῦ Ἀρχαγγέλου, ἑωρακὼς Θεοῤῥῆμον πανεύφημε, πρὸς εὐλογίαν τὴν γλῶτταν εὐθὺς ἐκίνησας.

Ἠλέησεν ὁ πλάϛης, τοὺς ἀπολλυμένους, καὶ Ἀβραὰμ διαθήκης ἐμνήσθη σαφῶς. ὡς προφητεύων ἐφθέγξω, πλησθεὶς τοῦ Πνεύματος.

Ἀθλήσεως ϛεφάνοις, καὶ Ἱερωσύνης, καὶ φωτισμοῦ προφητείας κεκόσμησαι, ὦ Ζαχαρία καὶ δόξης, μετέχες κρείττονος. θτ.

Φωτὸς οὖσα δοχεῖον, φώτισον Παρθένε, τὴν σκοτισθεῖσαν ψυχήν μου τοῖς πάθεσι. καὶ ἐξωτέρου με σκότους, ῥῦσαι πρεσβείαις σου.

Ἐξαποϛειλ. Γυναῖκες ἀκουτίσθητε.

Ἀμέμπτως ἱεράτευσας, Θεῷ τῷ Παντοκράτορι, τῇ νομικῇ διατάξει, ὦ Ζαχαρία Προφῆτα. διὸ καὶ θυμιῶντί σοι, Ἄγγελος λέγων φαίνεται· τέξεις Χριϛοῦ τὸν Πρόδρομον, μεσίτην ὄντα τοῦ Νόμου, καὶ χάριτος τῆς ἐνθέου. Θεοτοκίον. Ὅμοιον.

Παρῆλθον Μητροπάρθενε, τὰ σκιωδῶς τελούμενα, τῷ πάλαι Νόμῳ καὶ τύπῳ. τὸν γὰρ τοῦ Νόμου δοτῆρα, Θεὸν ἀσπόρως ἔτεκες, βροτῶν εἰς ἀπολύτρωσιν. διὸ κἀμὲ τροπούμενον, τῆς ἁμαρτίας τῷ νόμῳ, ϛήριξον Νόμῳ τῷ Θείῳ.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρούμενον ὡς ἔβλεψας, τὸν σὸν Υἱὸν Πανάμωμε, διεδονήθης τὰ σπλάγχνα, καὶ δακρυῤῥόους βαλοῦσα, φωνὰς Υἱέ μου ἔλεγες· τί σοι ἐχθροὶ ἀπέδωκαν, ἀνθ' ὧν νῦν εὐηργέτηνται; δοξολογῶ σου τὴν Θείαν, καὶ ἀνυπέρβλητον Χάριν.

Εἰς τὴν Λειτουργίαν. Προκείμ. ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ. ϛι. Εἰσάκουσον ὁ Θεός. Ὁ Ἀπόϛολος. Πρὸς Ἑβραίους. Ἀδελφοὶ, τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός. Ἀλληλούϊα, ἦχος πλ. α. Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Οὐαὶ ὑμῖν γραμματεῖς. Ζήτει τῇ δ. τῆς ιά. Ἑβδομάδος τοῦ Ματθαίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Καὶ τὰ λοιπά.

Μηνὶ τῷ αὐτῷ ϛ.

Ἡ ἀνάμνησις τοῦ γεγονότος Θαύματος ἐν Κολασσαῖς, ἤτοι ἐν Χώναις παρὰ τοῦ Ἀρχαγγέλου Μιχαήλ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱϛῶμεν ϛι. ϛ. καὶ ψάλλομεν ϛι. ἦχος δ.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡρισηλίου Θεότητος, παραϛάτης φαιδρότατος, Μιχαὴλ δεικνύμενος, Ἀρχιϛράτηγε· μετὰ τῶν ἄνω Δυνάμεων, κραυγάζεις

γη-

γηθόμενος. Ἅγιος εἶ ὁ Πατὴρ, Ἅγιος ὁ συναύαρχος, Λόγος Ἅγιος, καὶ τὸ Ἅγιον Πνεῦμα μία δόξα, Βασιλεία μία φύσις, μία Θεότης καὶ δύναμις.

Καὶ τὸ εἶδός σου πύρινον, καὶ τὸ κάλλος θαυμάσιον, Μιχαὴλ πρωτάγγελε. τῇ αὐλῷ γὰρ, φύσει διέρχῃ τὰ πέρατα, πληρῶν τὰ προστάγματα, τοῦ τῶν ὅλων Ποιητοῦ, δυνατὸς ἐν ἰσχύϊ σου, γνωριζόμενος, καὶ πηγὴν ἰαμάτων τὸν Ναόν σου, ἐργαζόμενος τῇ κλήσει, τῇ σῇ ἁγίᾳ τιμώμενον.

Ὁ Ποιῶν τοὺς Ἀγγέλους σου, ὥς περ γέγραπται Πνεύματα, καὶ τοὺς λειτουργοῦντάς σοι, φλόγα πύρινον, μέσον Ταγμάτων πρωτεύοντα, ἀνέδειξας Κύριε, σοῦ τῶν Ἀρχαγγελικῶν, Μιχαὴλ Ἀρχιστράτηγον, σοῦ ταῖς νεύσεσι, καθυπείκοντα Λόγε, καὶ τὸν ὕμνον, τὸν τρισάγιον ἐν φόβῳ, ἀναφωνοῦντα τῇ δόξῃ σου.

Δόξα, ἦχος πλ. β'. Βυζαντίου.

Εὐγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Ἀγγέλων Ταξιαρχίαι. ὁ Πρωτοστάτης γὰρ ὑμῶν, καὶ ἡμέτερος προστάτης, ὁ μέγας Ἀρχιστράτηγος, τὴν σήμερον ἡμέραν, ἐν τῷ σεπτῷ αὐτοῦ Τεμένει, παραδόξως ἐποπτανόμενος ἁγιάζει. ὅθεν κατὰ χρέως ἀνυμνοῦντες αὐτὸν, βοήσωμεν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, μέγιστε Μιχαὴλ Ἀρχάγγελε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Εὐγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Παρθένων χοροστασίαι. ἡ προστασία γὰρ ἡμῶν, καὶ μεσίτρια καὶ σκέπη, καὶ μέγα καταφύγιον, τὴν σήμερον ἡμέραν, ἐν τῇ σεπτῇ αὐτῆς, καὶ θείᾳ προμηθείᾳ, τοὺς θλιβομένους παραμυθεῖται. ὅθεν καταχρέως ἀνυμνοῦντες αὐτὴν, βοήσωμεν· σκέπασον ἡμᾶς ἐν τῇ θείᾳ προστασίᾳ σου, ἄχραντε Θεοτόκε Δέσποινα.

Εἰς τὸν ξι. ξι. ἦχος α'.

Πρὸς, Τῶν Οὐρανίων Ταγμάτων.

Μῶν Οὐρανίων Ταγμάτων, ὡς προεξάρχοντα, καὶ τῶν ἐν γῇ ἀνθρώπων, ἰσχυρόν σε προστάτην, φύλακα καὶ ῥύστην ὑμνοῦμεν πιστῶς. Μιχαὴλ Ἀρχιστράτηγε, καθικετεύοντες πάσης φθοροποιοῦ ἀλγηδόνος ἡμᾶς ῥύσασθαι. ξι. Ὁποιῶν τοὺς Ἀγγέλους αὐτοῦ.

Ὁ Ταξιάρχης τῶν ἄνω, Θείων Δυνάμεων, σήμερον συγκαλεῖται, τῶν βροτῶν τὰς χορείας, μίαν σὺν Ἀγγέλοις φαιδρὰν Ἑορτὴν, συγκροτῆσαι συνάξεως, αὐτῶν τῆς θείας καὶ μόνως ὕμνον Θεῷ, ἀναμέλψαι τὸν Τρισάγιον. ξι. Εὐλόγει ἡ ψυχήμου τὸν Κύριον.

Ὑπὸ τὴν σκέπην τῶν Θείων, ἡμᾶς πτερύγων σου, προσπεφευγότας, πίστει, Μιχαὴλ θεῖε Νόε, φύλαττε καὶ σκέπε ἐν βίῳ παντὶ, καὶ ἐν ὥρᾳ Ἀρχάγγελε, τῇ τοῦ θανάτου σὺ πάρεσο βοηθὸς, ἡμῖν πᾶσιν εὐμενέστατος.

Δόξα, καὶ νῦν. ἦχος πλ.

Ἰωάννου Μοναχοῦ.

Ὡς Ταξιάρχης καὶ πρόμαχος, καὶ τῶν Ἀγγέλων Ἀρχηγὸς Ἀρχιστράτηγε, πάσης ἀνάγκης καὶ θλίψεως, νόσων καὶ δεινῶν ἁμαρτημάτων ἐλευθέρωσον, τοὺς εἰλικρινῶς ἀνυμνοῦντας, καὶ αἰτουμένους σε ἔνδοξε· ἐναργῶς ὡς ἄϋλος τὸν ἄϋλον καθορῶν, καὶ τῷ ἀπροσίτῳ φωτὶ τῆς τοῦ Δεσπότου δόξης καταλαμπόμενος. αὐτὸς γὰρ φιλανθρώπως, σάρκα δι' ἡμᾶς ἐκ Παρθένου προσείληφε, σῶσαι βουληθεὶς τὸ ἀνθρώπινον.

Τροπάριον, ἦχος δ'.

Μῶν Οὐρανίων στρατιῶν Ἀρχιστράτηγε, δυσωποῦμέν σε ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς σαῖς δεήσεσι τειχίσῃς ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς αὐλοῦ σου δόξης, φρουρῶν ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς Ταξιάρχης τῶν ἄνω Δυνάμεων.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. ξιλό. κατὰ ἦχ. β'.

Εὐσπλαγχνίας.

Ἀσωμάτων πανάγιοι χοροὶ, δυσωπεῖτε Θεὸν τὸν ἀγαθὸν καὶ Δεσπότην, φείσασθαι ἡμῶν ἐν ὥρᾳ κρίσεως, ῥύσασθαι ἡμᾶς πικρᾶς κολάσεως, δαιμόνων κακώσεως, καὶ παθῶν, ἀμαυρώσεως, καὶ πάσης ἀπειλῆς, προστρέχοντας πόθῳ τῇ σκέπῃ ὑμῶν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. θτ. Ὅμοιον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ, συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε. βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον εἰς ἀεὶ τὴν δυναστείαν σου. εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ Γαβριὴλ, ὁ τῶν Ἀσωμάτων Ἀρχιστράτηγος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Καθορῶσα νεκρούμενον Χριστὸν, θρηνωδοῦσα ἐβόα ἡ ἀμνὰς καὶ Παρθένος· ὦ μιαι-

μιαιφονίας τόλμημα. κρύψον σȣ τὸ κάλλος νῦν ὁ ἥλιος. ὁ Κτίσας γὰρ ἅπαντα, νεκρȣ̃ται βȣλήματι, καὶ ὁρᾶται ὡς κριτὸς, ὁ τῶν Ἀσωμάτων μόνος Κύριος.

Εἰς τὴν β'. ᾐλό. ἀδά. ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΟΙ τῷ Ναῷ σȣ τῷ σεπτῷ παρεδρεύοντες, καὶ ἐν αὐτῷ σε εὐσεβῶς μεγαλυύοντες, ὡς τῶν ἀΰλων Τάξεων πρωτεύοντα, πίστει δυσωπȣ̃μέν σε Ἀρχιστράτηγε Θεῖε· πάσης ἐξελȣ̃ ἡμᾶς, τῆς ἐχθρῶν τυραννίδος, καὶ τῆς μελλȣ́σης ῥῦσαι ἀπειλῆς, καὶ τῆς γεέννης ταῖς σαῖς παρακλήσεσι.

Δόξα. ἦχος ὁ αὐτός. Ταχὺ προκατάλαβε.

Ἀ Ὕλοις ἐν στόμασι, Τριὰς Ὑπέρθεε, ἀπαύστως ὑμνȣ̃σί σε τῶν Ἀσωμάτων χοροὶ, καὶ φόβῳ παρίστανται, ἅγιος ἐκβοῶντες· Τρισυπόστατε Φύσις, οἴκτειρον τῶν χειρῶν σȣ, τῶν οἰκείων τὸ πλάσμα, αὐτῶν ταῖς ἱκεσίαις μόνε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ Μόνη κυήσασα τὸν Ποιητὴν τȣ̃ παντὸς, ἡ μόνη κοσμήσασα τὴν ἀνθρωπότητα, τῷ Τόκῳ σȣ Ἄχραντε, ῥῦσαί με τῶν παγίδων, τȣ̃ δολίȣ Βελίαρ, στῆσόν με ἐπὶ πέτραν, τῶν Χριστȣ̃ θελημάτων, αὐτὸν ἐκδυσωπȣ̃σα ἐκτενῶς ὃν ἐσωμάτωσας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἄνυμφος Μήτηρ σȣ, ὡς ἐθεάσατο, Σταυρῷ σε ὑψȣ́μενον, ὀδυρομένη πικρῶς, τοιαῦτα ἐφθέγγετο· τί τὸ καινὸν καὶ ξένον, καὶ παράδοξον θαῦμα; πῶς σὲ ἄνομος δῆμος, τῷ Σταυρῷ προσπηγνύει, τὸν μόνον Ζωοδότην, φῶς μȣ γλυκύτατον;

Εἰς τὴν γ'. ᾐλό. ἀδά. ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΩΝ Ἀσωμάτων λειτȣργῶν Ἀρχιστράτηγε, ὁ κατ' ἐνώπιον Θεȣ̃ παριστάμενος, καὶ ταῖς ἐκεῖθεν λάμψεσι λαμπόμενος, φαίδρυνον ἁγίασον, τȣ̀ς πιστῶς σε ὑμνȣ̃ντας, πάσης ἀπολύτρωσαι, τȣ̃ ἐχθρȣ̃ τυραννίδος, καὶ εἰρηναίαν αἴτησαι ζωὴν, τοῖς Βασιλεῦσι, καὶ πᾶσι τοῖς πέρασι.

Καὶ νῦν. θτ'. Ὅμοιον.

ΩΗ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες, ἐκ βάθȣς ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθȣς πταισμάτων. μὴ ἀποστρέψῃς σȣ̀ς δȣ́λȣς κενȣ́ς. σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐ Ν τῷ Σταυρῷ τȣ̃ σȣ̃ Υἱȣ̃ παρεστῶσα, θεοχαρίτωτε ἁγνὴ Θεοτόκε, σὺν ὀδυρμῷ στενάγμασι καὶ θρήνοις πρὸς αὐτὸν, ἔλεγες δακρύȣσα· πῶς ἡλȣ̃σαι τῷ Ξύλῳ, Πάθη πῶς ὑφίστασαι, ὑπ' ἀνδρῶν παρανόμων; ῥύσασθαι θέλων Κόσμον ἐκ φθορᾶς· τὴν σὴν δοξάζω Σωτὴρ συγκατάβασιν.

Εἰς τὸν Ὄρθρον, Κανόνες, τῆς Θεοτόκȣ, ἢ τῆς Ὀκτωήχȣ, εἰς ϛ'. καὶ τȣ̃ Ἀρχιστρατήγȣ. δύο εἰς ἡ. Κανὼν τȣ̃ Ἀρχιστρατήγȣ.

Οὗ ἡ ἀκροστιχίς.

Τὸν πρῶτον ὑμνῶ τῶν Ἀσωμάτων Νόων.

Ἰωσήφ. Ὠδὴ α'. ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μȣ.

ΜΑῖς θείαις λαμπρότησι, καταστραπτόμενος πάντοτε, τὸν νȣ̃ν μȣ καταύγασον, τȣ̃ ἀνυμνῆσαί σε, Ἀρχιστράτηγε, τῶν ἄνω Στρατευμάτων, ἁπάντων κραταίωμα, τῶν προστρεχόντων σοι.

Ὁ Νȣ̃ς ὁ προάναρχος, ὑπερκοσμίȣ Ταξίαρχον, ἀνέδειξε Τάξεως, σὲ παναοίδιμε, Ἀρχιστράτηγε, καὶ φῶς τῶν ἐν τῷ σκότει, καὶ θεῖον ἀγλάϊσμα, τῆς Ἐκκλησίας αὐτȣ̃.

ΝΌων προηγȣ́μενος, τῶν Οὐρανίων ἐν Πνεύματι, τοῖς κάτω πανάριστε, Μιχαὴλ δέδοσαι, περιτείχισμα, καὶ κράτος καὶ ῥομφαία. ἐχθρȣ̀ς κατασφάττȣσα, καὶ ἀφανίζȣσα.

Θεοτοκίον.

ΠΑρθένε Πανάμωμε, ἡ τῶν Ἀγγέλων εὐπρέπεια, ἀνθρώπων βοήθεια, σύ μοι βοήθησον, θαλαττεύοντι, καὶ ζάλῃ ἁμαρτίας, ἀεὶ περιπίπτοντι, καὶ κινδυνεύοντι.

Ἕτερος Κανὼν, ἦχος ὁ αὐτός.

Ποίημα Ἰωσήφ. Ὁ Εἱρμός.

ΩΩ ὁδηγήσαντι πάλαι, τὸν Ἰσραὴλ φεύγοντα, ἐκ τῆς δȣλείας Φαραὼ, καὶ ἐν θαλάσσῃ σώσαντα, καὶ ἐν ἐρήμῳ θρέψαντα, ᾄσωμεν τῷ Λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασται.

ΜῸν ἀρχηγὸν τῶν Ἀγγέλων, τὸν φωταυγῆ Ἥλιον, καταυγάζοντα τὴν γῆν, ταῖς τῶν θαυμάτων λαμπρότησι, καὶ τὴν ἀχλὺν ἀπελαύνοντα, πάντοτε τῶν πειρασμῶν, χαρμονικῶς ὑμνολογήσωμεν.

Ὁ

Ὁ Τοὺς Ἀγγέλους ποιήσας, φλόγα πυρὸς Κύριε, ἀποπληροῦντας δυνατῶς, τὸ σὸν πανάγιον θέλημα, μέσον αὐτῶν διαλάμποντα, ἔδειξας ὥσπερ ἀστέρα, Μιχαὴλ τὸν Ἀρχιστράτηγον.

Ὑ Μνολογήσωμεν πάντες, τὸν ἀγαθὸν Κύριον, τὸν δωρησάμενον ἡμῖν, τεῖχος ἐχθροῖς ἀπροσμάχητον, καὶ ἀπερίτρεπτον ἔρεισμα πάντοτε, κινδυνῶν σώζοντα ἡμᾶς, τὸν Ἱερὸν Μιχαήλ.

Ἐ Πιστασίαις σου θείαις, ἀποτελεῖς πάντοτε, τὸν Θεῖον Οἶκόν σου σαφῶς, ἁμαρτωλῶν ἱλαστήριον, ἀδικουμένων προσφύγιον, νόσων τε φυγαδευτήριον πασῶν, Θεοῦ πρωτάγγελε.

Θ Ραῦσον υἱοὺς τοὺς τῆς Ἄγαρ, διηνεκῶς Ἔνδοξε, ἐγειρομένους καθ' ἡμῶν, καὶ τῆς αὐτῶν ἡμᾶς λύτρωσαι, καὶ προσδοκίας καὶ θλίψεως, ὅπως σε ὡς ἀγαθὸν ἡμῶν ἀεὶ, προστάτην σέβωμεν. Θεοτοκίον.

Ἀ Κατανόητον θαῦμα, πῶς τοῖς βροτοῖς ἡνῶται, ὁ ἀκατάληπτος Θεός. ἐκ σοῦ σαρκὶ καθ' ὑπόστασιν, ἀποτεχθεὶς Ἀπειρόγαμε, σώζων με τὸν ὑπαχθέντα τῇ φθορᾷ, κλοπῇ τοῦ ὄφεως.

Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Ῥ Ὤμῃ τῇ Θείᾳ, Στρατηγὲ τῶν Ἀγγέλων πανεύφημε, περιέρχῃ πᾶσαν γῆν, δεινῶν ἡμᾶς ἐξαιρούμενος, τοὺς προσκαλουμένους σου, τὸ θεῖον ὄνομα.

Ὡ Σ θεῖος Κῆρυξ, ὡς προστάτης πιστῶν ἀκαταίσχυντος, πλανωμένων ὁδηγὸς, καὶ παιδευτὴς ἐχρημάτισας, Θεοῦ Ἀρχιστράτηγε, Θεοειδέστατε.

Ῥ Οῦ θείου φέγγους, καθαρώτερον ἔσοπτρον πέφηνας, τὰς ἐμφάσεις τοῦ σεπτοῦ, λαμπρῶς δεχόμενος Πνεύματος, Μιχαὴλ Πρωτάγγελε, ἀξιοθαύμαστε. Θεοτοκίον.

Ὁ Τοὺς αὐλοὺς, συστησάμενος Νόας βουλήματι, τῇ ἐνύλῳ σου γαστρὶ, οἰκεῖ βουλήσει Πανάμωμε, σαρκὶ καθορώμενος, ὁ ἀθεώρητος. Εἱρμὸς ἄλλος.

Ὁ Στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, στερέωσόν με Κύριε, ἵνα ὑμνῶ σε εἰλικρινῶς καὶ ποιῶ τὸ θέλημά σου. ὅτι οὐκ ἔστιν Ἅγιος, ὡς σὺ ὁ Θεὸς ἡμῶν.

Π Αρεστηκὼς τῷ Θρόνῳ τῆς Τριάδος, μεθέξει τε θεούμενος, καὶ φωτιζόμενος ἀστραπαῖς, ταῖς ἐκεῖθεν πεμπομέναις, τοὺς ὑμνητάς σου φώτισον, Θεοῦ Ἀρχιστράτηγε.

Ὁ Ἰησοῦς ὡς εἶδέ σε ῥομφαίαν, ἐν τῇ χειρὶ κατέχοντα, τῇ φοβερᾷ σου καταπλαγεὶς, θεωρίᾳ ἀνεβόα· τί νῦν προστάσσεις Κύριε, ποιεῖν τῷ οἰκέτῃ σου;

Ῥ Οῦ Ἰουδαίων ἔθνους Ἄρχων πάλαι, ὑπὸ Θεοῦ καθέστηκας. Χριστιανῶν δὲ νῦν βοηθὸς, Ἀρχιστράτηγε καὶ ῥύστης, τῶν ἀναγκῶν ῥυόμενος, αὐτοὺς καὶ τῶν θλίψεων.

Μ Εγαλωσύνην δῶμεν τῷ Κυρίῳ, τῷ δόντι ἡμῖν πρόμαχον, καὶ ἐν ταῖς θλίψεσι βοηθὸν, Ἀρχιστράτηγον τὸν μέγαν· δι' οὗ βαρβάρων πάντοτε, ἀθέων λυτρούμεθα.

Ἀ Παγωγῇ βιαίᾳ τοὺς εἰς ἔθνη, ἀλλόφυλα τυγχάνοντας, καὶ δουλωθέντας ἐλεεινῶς, ἐπανάγαγε ἐν τάχει, ἐκδυσωπῶν τὸν Ὕψιστον, Θεὸν Ἀρχιστράτηγε.

Θεοτοκίον.

Ὁ Δανιὴλ σε ὄρος γράφει μέγα, ὁ Ἀββακοὺμ δὲ Ἄχραντε, ὄρος κατάσκιον ἀρεταῖς, καὶ Δαβὶδ τετυρωμένον. ἐξ οὗ ὁ Θεὸς σεσάρκωται, τὸν Κόσμον λυτρούμενος.

Καθίσματα, ἦχος πλ. Τὴν Σοφίαν.

Ὁ Υ Ὑρανίων Ταγμάτων δημαγωγὸς, λειτουργός τε τῆς δόξης τῆς Θεϊκῆς, ἀξίως γενόμενος, τῇ προστάξει τοῦ Κτίστου σου, χριστιανῶν ὑπάρχεις, μεσίτης σωτήριος. τῇ αὐλῷ σου δόξῃ, τοὺς βροτοὺς ἐποπτεύων. ὅθεν καταχρέως, εὐφημοῦμέν σε πάντες, τὴν θείαν σου σήμερον, ἀνυμνοῦντες πανήγυριν, Μιχαὴλ Ἀρχιστράτηγε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὰ θεῖά σου Θαύματα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. θι. Ὅμοιον.

Ῥ Ἣν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον κατέχοντα, καὶ ἐν ἀγκάλαις φέρεις, τὸν φέροντα ἅπαντα, τὸν τροφοδότην πάντων, καὶ Κτίστην τῆς Κτίσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει κραυγάζω σοι, τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλῳ παρίστασθαι, πρὸ προσώπου τοῦ πλάστου μου. Δέσποινα Παρθένε ἁγνὴ, τὴν σὴν βοήθειαν, τότε μοι δώρησαι, καὶ γὰρ δύνασαι ὅσα θέλεις Πανύμνητε.

Σταυ-

Σπιρωθεοτοκίον. Ὄμοιον.

Ὁ Θεὸν καὶ Δεσπότην καὶ Λυτρωτὴν, ἡ Ἁμνὰς θεωρῆσα ἐν τῷ Σπυρῷ, ἀδίκως κρεμάμενον, θρηνῳδοῦσα ἐβόα σοι· ὁ μὲν Κόσμος ἀφραίνεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ ἀπλάγχνα μου φλέγονται, ὁρῶσᾶς σε τὴν νέκρωσιν· ὧν περ ὑπομένεις διὰ σπλάγχνα ἔλεος, Θεὲ ὑπεράγαθε, αὐξίπαχε Κύριε, τῶν ἐλέους ἡ ἄβυσσος, ἀνάστηθι ἐκ τῶν νεκρῶν, καὶ λύτρωσαι τὴν ποίμνην σου, ἐκ πάσης περιστάσεως.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Νοῦς ὁ πρῶτος ὑποστήσας, Θεὸς Νοὸς βουλήματι, ἀρχηγὸν ἐν μέσῳ, τῶν Μιχαὴλ ἀπαργάσατο, ἐν πανοπλίᾳ μεθέξει, φωτιζόμενον, καὶ νοήσεσι, θεαρχικαῖς ἀγαπώμενον.

Μνον Ἅγιον σὺν Θρόνοις, καὶ Ἀρχαῖς καὶ Δυνάμεσι, καὶ ταῖς Ἐξουσίαις, καὶ ταῖς Ἱεραῖς Κυριότησιν, ἀναφωνῶ τῇ Τριάδι, πανσοίμιε, Μιχαὴλ διασῴζων, ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Ἐγκαλιώμεθα τὸν πάντων, Ποιητὴν τε καὶ Κύριον, τὸν δι' ἀπλαγχνίαν, δόντα περιφύλαγμα μέγιστον, καὶ ἀδιάπτωτον τεῖχος, καὶ χαράκωμα, Μιχαὴλ ἡμῖν, τὸν φωταυγῆ Ἀρχιστράτηγον.

Θεραῖς τῷ σῷ Παρθένε, τοκετῷ τὸ παράδοξον, ἐμυήθη πάλαι, ὁ Ἱεροφάντωρ ἐν Πνεύματι, ὄρος κατάσκιον βλέπων, σὲ τρανώσατα· ἐξ οὗ Ἅγιος ἦλθε, Θεὸς σωματούμενος.

Εἱρμὸς ἄλλος.

Κήκουσε ὁ Προφήτης, τὴν ἐλδόσιν σου Κύριε, καὶ ἐφοβήθη, κατενόησε τὰ ἔργα σου, καὶ ἐξέστη. δόξα τῇ δυνάμει σου Κύριε.

Ἐνισχύρισαι ὡς περ πάλαι, λαὸν πολιτῶν κατέρρωσας, θεία προσάξει. τοὺς γὰρ Ἄνω σπουδαίους πολεμοῦντας, καὶ καταπεμβαίνοντας, λαῷ τῷ πιστῷ, Μιχαὴλ Ἀρχιστράτηγε.

Σφοβερόν σου τὸ εἶδος, ὡς θαυμαστὸν καὶ τὸ κάλλος, Μιχαὴλ ὄντως, ὡς ὑπέρλαμπρος ἡ δόξα σου, ἣν δεικνύεις πᾶσι τοῖς ποθοῦσί σε, πελῶν ἐνεργῶν ἄπειρα θαύματα.

Ἐμπολεμῶν τὰ ἄνω, ἐπισπωμένους ἐκάστοτε, φερμπῶς τοῖς κάτω, συμφορῶν πολλῶν καὶ θλίψεων, καὶ κινδύνων παύσας ἐξαιρούμενος, Θεοῦ Λειτουργὲ, τοὺς προσκαλουμένους σε.

Ἄνε ὁ τόπος ὁ Θεῖος, ἴδε τὸ καταφύγιον τῶν θλιβομένων, ἴδε οἶκος ὁ πανάγιος, ὃν ὁ μέγας ὄντως Ἀρχιστράτηγος, λιμένα πολλῶν, σωζομένων δέδεικται.

Τύλος πυρὸς καθωράθης, Ἀρχίππῳ τῷ Θεόφρονι, ὅτε ἄπειρος, δῆμος ἄνομος κατέσβεσε, καπεκλύσαι ὕδατι τὸ πέμνος τὸ σὸν, ἀρχηγὲ τῶν ἄνω Δυνάμεων.

Γαβριὴλ σοὶ τὸ χαῖρε, ἐκ τῶν ὑψίστων Παύαγνε κομίζων ἦλθε. σὺν αὐτῷ ἂν ἐκβοῶμεν· χαῖρε πύλη, μόνος ὢν διώδευσε, Χριστὸς ὁ Θεὸς, σώζων τὸ ἀνθρώπινον.

Ὠδὴ ε'. Ἀ σεβᾶς ἀκ ὄψονται.

Φθης προηγούμενος, τῶ πάλαι Ἰσραὴλ, προσαγαγὼν τὸ ἔθνος Ἰακὼβ, τοῖς βροτοῖς παχύτητα, ἀφθαρσίας σώματος, Μιχαὴλ ἀσώματε, τῶν Ἀγγέλων Ἀρχιστράτηγε.

Λῖς αὐλοῖς λάμψεσι, θεούμενος φαιδρῶς, ἐν μεθέξει Θεαρχικῇ, καὶ ἡμῖν τὴν ἔλλαμψιν, τὴν φωτοδόσιαν, χορηγᾶς Πρωτάγγελε, παραδόξως θαυμαζόμενος.

Ῥωσθῆ χάριτι, ὁ Θεὸς σε Ναός. ἐν αὐτῷ γὰρ ἐπισπείρων, ἰαμάτων πέλαγος, τοῦτον ἀνέδειξας, Μιχαὴλ πρωτάγγελε, καὶ παθῶν ἀλεξιτήριον.

Θεοτοκίον.

Θερῶν Ἀγγέλων σε, ἀνέδειξε Θεὸς, ἀνωτέραν καθυποδύς, τὴν σὴν μήτραν Ἄχραντε, τὴν παναμώμητον· ὃν δυσώπει παύτοτε, οἰκτειρῆσαι τοὺς ὑμνοῦντάς σε.

Εἱρμὸς ἄλλος.

Νατελόμαι Κύριε, τὸ φῶς τῶν προσταγμάτων σου. ὅπ πρὸς σὲ Χριστὲ, τὸ πνεῦμά μου ὀρθρίζει, καὶ κραυγάζει· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ πρὸς σὲ καταφεύγω, τῆς ἀρίστης Βασιλεῦ.

Ρογνόντες τὰ θαυμάσια, ἃ ἔμελλες Πρωτάγγελε, ἐπιτελεῖν ἐν τῷ Τεμένει σου, οἱ Κήρυκες τοῦ Λόγου, πᾶσι προκατήγγειλαν. ὧν ἡμεῖς τὴν ἔκβασιν, καθορῶμεν ἐναργῆ.

Ἡ θεία σου ἀσπηνία σε, Ἀρχάγγελε αὐίσησιν, οἶκον δίκτυον τῷ ὕδατι, τῷ βρύοντι, τὴν χάριν, ἀσβέστως τὴν ἴασιν, τῆς παιδὸς ὁ πάλαι σου, βλασφημιῶν τὰς δωρεάς.

Ῥοσέλθετε ἀρύσασθε, χάριν ὁμοῦ καὶ ἔλεος. τῶν ἰαμάτων ἡ ἀσύγκριτος, πηγὴ πρόκαται πᾶσιν. ὧν ὁ Ἀρχιστράτηγος, Θείαις ἐπινεύσεσιν, ἐφανέρωσεν ἡμῖν.

Τυ-

Τφλοῖς τὸ βλέπειν δίδοται, καὶ τοῖς κωφοῖς ἡ ἀκοή. χωλοῖς δὲ πᾶσιν εὐδρομία, ἀλάλοις δὲ φωνία, ἐν τῷ θείῳ οἴκῳ σου, Μιχαὴλ πρωτάγγελε, παροχεῦ τῶν ἀγαθῶν.

Ἀρβάρων θραῦσον φρύαγμα, ζητούντων σε τὸ ποίμνιον, ἐξαφανίσαι Ἀρχιστράτηγε. τοὺς δέγε συλληφθέντας, ὑπ' αὐτῶν ἀπάρθυσαι, αἰχμαλώτους παντοτε, δόξημέν σε σωὶ ἡμῖν. Θεοτοκίον.

Τγελικῶν δυνάμεων, Παρθενοτόκε ὑπερέχουσα, καὶ τετοκυῖα τὸν ἀπαύστων, Θεὸν καὶ βασιλέα, σωὶ αὐτοῖς ἱκέτευε, Παναγία Δέσποινα, διασώζεσθαι ἡμᾶς.

Ὠδὴ ς'. Ἐβόησε, προτυπῶν.

Γάλλεται, ἐπὶ πιστῶν ἡ πληθὺς δόξημοῦσά σε, καὶ δοξάζει, τὸν παναγίου Λόγον συνάψαντα, τοῖς βροτοῖς Ἀγγέλοις, Μιχαὴλ τῇ αὐτοῦ ἀγαθότητι.

Τραπέδα, Ἰσραὴλ διεσώσω φανόμενος. καὶ τοὺς θλίβοντας, προσαγὰς χορηγῶν Ἀρχιστράτηγε, τοὺς ἐχθροὺς καθέλες, καὶ ἀς τέλος αὐτοὺς ἐξηφάνισας.

Σὲ δὲ σε, Ἰησοῦς τοῦ Ναυῆ προσεκύνησεν, ἐρωτήσας, τὸ σεπτόν σου καὶ ἅγιον ὄνομα, Ἀρχηγὲ Ἀγγέλων, ἐλαβέν καὶ φόβῳ κρατύμενος. Θεοτοκίον.

Μακάριος, λαὸς ὁ ἀεὶ μακαρίζων σε. μακαρία, ἡ Θεὸν τὸν μακάριον τέξασα. τοὺς βροτοὺς δι' οἴκτου, ἀπορρήτῳ σώσει θεώσαντα. Εἱρμὸς ἄλλος.

Ἀλη με λογισμῶν καταλαβοῦσα, εἰς βυθὸν κατήγαγεν ἀμέτρων παραπτωμάτων. ἀλλὰ σὺ Κυβερνῆτα ἀγαθέ, προφθάσας διάσωσον, ὡς τὸν Προφήτην καὶ σῶσόν με.

Οὓς πάλαι βελῆθος ἀφανίσαι, ποταμίοις ῥάβδωσι τὸ ὕδωρ τῆς ἀλογίας, ὃ παρέχες Ἀρχάγγελε πιστοῖς, ἀπέδειξας ἀπράκτους, ἐπισαπὰ φεμιώσασα.

Ἀλαι μὲν Μωϋσῆς ἔπληξε πέτραν, καὶ ἐρρύη ὕδατα. νυῦ δέ σε ῥίζαντος πέτραν, κατεπόθησαν ῥᾴθρα ποταμῶν, εἰς ἔμμαρτυρῦντα, τὸ θαῦμα Θεῖε Ἀρχάγγελε.

Ἰ πάλαι τῇ μανίᾳ τῶν εἰδώλων, ζόφον περιπαμένοι κακοπιστίας, τῷ θείῳ προσερχόμενοι οἴκῳ σου, τὸ φῶς τῆς γνώσεως, ἀχαὶς σοῦ περιφανῶς ἐκομίζοντο.

Ὁ ἔδος, καὶ ἡ φύσις σου πυρίνη, πιστοὺς μὲν φωτίζουσα· φλογίζουσα δὲ ἀπίστους, Ἀρχιστράτηγε Θεῶν Λειτουργῶν, προσάτα τῶν πίστει, ἀλικτεῦσι δόξημύνων σε.

Ἦν θεῶν τὸ δεσπότε δόπλαγχνίας, ἐν πᾶσι μιμούμενος, ὀρέγας ταπεινοῖς χεῖρα, καὶ ἰάσω συντεθλιμμένα ψυχῶν, καὶ παύσας τὰς ὀδυνας, ἐπὶ προσερχόμενον σοι Ἄγιε. Θεοτοκίον.

Ὅμον σε προεώρα ὁ Προφήτης, ἐν ᾧ Ἄγγελος γέγραπται, δακτύλῳ Πατρὸς Παρθενε· ὃν ἱκέτευε βίβλῳ τῆς ζωῆς, ἡμᾶς καταγραφῆναι, τοὺς δόσεβῶς σε δοξάζοντας. Κοντάκιον, ἦχος β'.

Ἀρχιστράτηγε Θεοῦ, λειτουργὲ Θείας δόξης, τῶν ἀνθρώπων ὁδηγὲ, καὶ ἀρχηγὲ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρέσβευε, καὶ τὸ μέγα ἔλεος, ὡς ἐπὶ Ἀσωμάτων Ἀρχιστράτηγος. Ὁ Οἶκος.

Φῆς φιλανθρώπε ἐν Γραφαῖς σου, πλὴθη χαίρειν Ἀγγέλων ἐν Οὐρανῷ, ἐπ' ἀνθρώπῳ εἰ μετανοοῦντι ἀθανάτε. ὅθεν ἡμᾶς οἱ ἐν ἀνομίαις, ἀναμάρτητε μόνε καρδιογνῶστα, σὲ δυσωπῶν καθ' ἑκάστην πολεμούμενος εὔσπλαγχνον, οἰκτῖραι, καὶ καταπέμψαι ἀναξίοις καταύξειν δέσποτα, παρέχων ἡμῖν συγχώρησιν. ὑπὲρ πάντων ἡμῶν γὰρ πρέσβευε σοι, ὁ ἐπὶ Ἀσωμάτων Ἀρχιστράτηγος.

Τῷ αὐτῷ Μηνὶ ς'. Ἡ ἀνάμνησις τοῦ γενομένου παραδόξου θαύματος ἐν Κολασσαῖς τῆς Φρυγίας, παρὰ τοῦ Ἀρχιστρατήγου Μιχαήλ.

Ὠφθης Μιχαὴλ Νῶε σῷ ναῷ νέος, χώρη ποταμῶν τὸν κατακλυσμὸν λύων. Ῥᾶν Μιχαὴλ ποταμῶν χώσασε Νόῳ ἀγὸς Ἕκτη.

Θόνῳ τηκόμενοι ἐπὶ τοῖς παραδόξως γενομένοις ἐν τῷ Ναῷ τοῦ Ἀρχιστρατήγου Μιχαὴλ ἄνδρες ἑλλιπίζοντες, τὸν παραῤῥέοντα ἐγγύθεν ποταμὸν ἐβαλόσαντο κτίσαι τοῦ Ναοῦ ῥεῦμα. ὥσε καὶ τὸν λαὸν κατακλύσαι, καὶ τὸν προσκυνοῦντα ἐν αὐτῷ ἄνδρα τίμιον, τὸν Ἄρχιππον ἀπολέσαι. φανὰς δὲ καὶ μόνον ὁ Θεῖος Ἀρχιστράτηγος, καὶ θαῤῥεῖν ἐγκελευσάμενος τῷ Ἀρχίππῳ, πλήσας ῥάβδῳ τὴν πέτραν. καὶ πάροδον ἐν αὐτῇ ποιήσας τοῦ ποταμοῦ, ἐξ ἐκείνου μέχρι καὶ τοῦ νῦν παροδεύων ὁρᾶται χωνεύμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τῶν Ἁγίων Μαρτύρων Εὐδοξίου, Ζωΐλου, Ῥωμύλου, καὶ Μακαρίου.

Οὗτοι μήθησαν Εὐδόξιος, Ῥωμύλος, Ζήνων, καὶ Μακάριος, μακαριστοὶ τὸ τέλος.

Οὗτος ὁ Ἅγιος Ῥωμύλος, ἐπὶ Τραϊανοῦ τῷ κεφαλῷ ἀφῃρέθη, χιλίας ἐπὶ μυρίοις Χριστιανὰς, χώρας ποιῶν ἔξορίᾳ παραπεμψαμένου, καὶ πικρῷ θανάτῳ ὑποβαλόντος. ἐπὶ δὲ Διοκλητιανοῦ, Εὐδόξιος τὰς ἀναζητοῦντας αὐτὸν στρατιώτας ξεναγωγήσας, ὁμολογεῖ αὐτὸς εἶναι Εὐδόξιος. τῶν δὲ φόνον συμβαλόντων, ὅτος γυναικὸς, τέκνων οἰκείων, οἴκου, καὶ τῶν λοιπῶν ἐπιλαθόμενος, παρίσταται τῷ Ἡγεμόνι Μελιτινῆς. καὶ πρῶτον μὲν τῷ ζώνῃ, ἥτις ἦν παράσημον τῆς τοῦ Κόμητος ἀρχῆς ἐξ αὐτοῦ ἀφελὼν, τῷ προσώπῳ τοῦ Ἄρχοντος ἐπιῤῥίπτει. καὶ σὺν αὐτῷ ὁ πλείστος ὄχλος τοῦ καταλόγου παντὸς, τέσσαρες ἐπὶ τοῖς ἑκατὸν καὶ χίλιοι ὄντες, τὸ αὐτὸ διεπράξαντο ἅπαντες ἐκ τεσσάρων ὁ Θεῖος Εὐδόξιος, τύπτεται πὰς πλευράς, καὶ ξέεται, καὶ τότε τὸν διὰ ξίφους θάνατον δέχεται. καὶ ἐπεὶ κατέλαβε τὸν τόπον τῆς πλειώσεως, τῷ σύζυγον μεταστραφεὶς ἐκεῖθεν ὁρᾷ. καὶ ὧν ἐνετείλατο αὐτῇ πρότερον ἀναμνήσας, καὶ πέρας ἀγαθὸν πᾶσιν ἐπιθεῖναι ἐπισκήψας, πελέταιαν ἐντολὴν δέδωκεν αὐτῇ, μὴ ἐπιδακρύσαι τῇ αὐτοῦ ἐκδημίᾳ. ἀλλ' ἐν τῷ χωρίῳ ἄμνημον πάφον αὐτῷ σχεδιάσαι, καὶ ἐπιχῶσαι ἐν τότῳ τὸ σῶμα αὐτοῦ, καὶ τιμῆσαι μᾶλλον τὴν ἡμέραν ἐκείνην λαμπροφορείᾳ, καὶ τῇ ἄλλῃ φαιδρότητι. Εὐθὺς δὲ χεῖρας ὁ Μάρτυς καὶ ὄμματα πρὸς Οὐρανὸν ἀναχὼν, τὴν Ἱερὰν κεφαλὴν ἀποτέμνεται, μετὰ τοῦ φιλτάτου αὐτοῦ Ζωΐλου, ᾧ κλαίοντι διὰ τὸν τοῦ Μάρτυρος χωρισμὸν, προεῖπον ὁ Μάρτυς μὴ χωρισθῆναι αὐτοῦ, ἀλλ' ὁμοῦ πελεκισθῆναι. ὃ καὶ γέγονεν, ἀποτμηθέντος ξίφει καὶ αὐτοῦ τὴν κεφαλὴν μετὰ τῶν λοιπῶν σὺν τῷ Ἁγίῳ Εὐδοξίῳ Ἁγίων Μαρτύρων. Ἐπεὶ δὲ ἡμερῶν παρελθουσῶν, ὀναρ ἐπισὰς τῇ συζύγῳ, ὁ Μάρτυς Εὐδόξιος, ἐπισκέπτει αὐτῇ, ἅπαν τῷ Μακαρίῳ ἀπιέναι πρὸς τὸ πραιτώριον. ἐν ᾧ δὴ ἀπελθὼν, καὶ μὴ παθεῖν θοῦσαι τοῖς εἰδώλοις, τὴν μακαρίαν καὶ αὐτὸς ἀποτέμνεται κεφαλήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἑκατὸν τεσσαρες καὶ χίλιοι στρατιῶται, καὶ ἡ ἁγία Καλοδότη ξίφει πελεκῶνται.

Δεκὰς δεκαπλῆ καὶ χιλιὰς Μαρτύρων, καὶ τετρὰς ἁπλῆ, σωτελευτῶσι ξίφει. Καλοδότη τιμηθεῖσα τὴν κάραν ξίφει, καλῶν δοτῆρι σοὶ παρίσταται Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μέδιμνος πλοίῳ ἐμβληθεὶς, καὶ τὸ πλοῖον ἐν τῇ θαλάσσῃ καταποντισθέντος, τελειοῦται.

Ὕδωρ διελθὼν ψαλμικῶς καὶ πῦρ ἅμα, ἔστη Μέδιμνος εἰς ἀναψυχὴν φθαρτόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Φαῦστος ὁ πρεσβύτερος, Μακάριος, Ἀνδρέας, καὶ ὁ Μοναχὸς Βίβος, Κυριακὸς, Διονύσιος, Ἀνδρόνικος καὶ αἱ Ἅγιαι Ἀνδροπελαγία, καὶ Θέκλα καὶ Θεόκτιστος ὁ Ναύκληρος, καὶ ἕτερος Κυριακὸς ὁ Δημότης, ξίφει τελειοῦνται.

Τῷ γῷ ὁ φῶς ἐκλιπὼν διὰ ξίφους, πρὸς φαῦσιν ἦρθη τῆς ἄνω κατοικίας.

Ξίφει θανόντες Μακάριος, Ἀνδρέας, ἔθεσαν ἄμφω τῷ μαχαιρίῳ τεῖχον.

Τὸν ἀρετῆς στέφανον ἁρπάζει Βίβος, εἰ μὴ στέφανον καὶ τὸν ἐκ ξίφους λάβῃ.

Διονυσίῳ συμφρονήσαντας δύο.

Διονυσίου συγκατέκτανε ξίφος.

Ὡς αὐδερκὴς τις ἦν Ἀνδροπελαγία, πρὸς τῆς κεφαλῆς ἐκπομπὴν, ὡς ἡ Θέκλα.

Θεόκτιστος Ναύκληρος ἐκτμηθεὶς κάρᾳ, ψυχῆς ἐθύετο τὸ σκάφος πρὸς τὸν Πόλον.

Κυριακὸς Δημότης, ἀλλ' ἐκ ξίφους, σωθιασώτης τοῦ χοροῦ τῶν Μαρτύρων.

Οὗτοι οἱ Ἅγιοι ἐν ταῖς ἡμέραις Δεκίου τοῦ βασιλέως διεξληθησαν ὡς Χριστιανοὶ Οὐαλερίῳ τῷ Ἄρχοντι Ἀλεξανδρείας. παραξαντων δὲ τῶν Ἁγίων, καταπλαγεὶς Οὐαλέριος τὸ σέβας αὐτῷ καὶ ἀκατάπληκτον, τὴν διὰ ξίφους τιμωρίαν κατ' αὐτῶν ἀπεφήνατο. καὶ ὅπως τελειωθέντων, τὰ τούτων σώματα ὑπὸ τῶν ἐν Ἀλεξανδρείᾳ φιλοχρίστων ἀνακομισθέντα, ἐναπετέθησαν τῇ Πόλει, εἰς δόξαν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Σωτήριος καὶ τὰ ἐγκαίνια τῆς Ὑπεραγίας Θεοτόκου εἰς τὸ Δάφνιον ἐν τῷ οἴκῳ τῆς Ἁγίας Εἰρήνης.

Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρί.

Ἀποσκοπήσας Δανιὴλ, εἶδε συνεστῶτά σε μάκαρ, καὶ συνετίζοντα αὐτὸν, ἐν Χωβὰρ ἣν ἑώρακας ὅρασιν, Γαβριὴλ ἀστραπόμορφε, Μιχαὴλ τὸν Ταξιάρχην αὐτῷ δηλοῦντα.

Ὁ τῶν Ἀγγέλων ὁδηγοὺς, τοὺς θεοειδεῖς καὶ φωσφόρους, τὸν Μιχαὴλ καὶ Γαβριὴλ, τοὺς ἡμῶν ἀγαθοὺς παρακλήτορας, καὶ προστάτας καὶ φύλακας, εὐφημήσωμεν ἐν πίστει μεγαλοφώνως.

Ὡ Ῥαῖος καὶ πανευπρεπὴς, καὶ θεοειδὴς χρηματίσας, δημαγωγὸς τῶν ὑπὲρ νοῦν, τῶν αὐλῶν ἐν πνεύματι γέγονας, Μιχαὴλ φωταυγέστατε, σὺν αὐτοῖς καὶ ὑπὲρ πάντων ἡμῶν δυσώπει. Θεοτοκίον.

Νοῦ τοῦ μεγάλου ἀληθῶς, Λόγον τὸν ἀΐδιον Κόρη, ἐν σοὶ ἀῤῥήτως καὶ φρικτῶς, κατοικήσαντα βλέπων ἐβόησε, Γαβριὴλ ὁ Ἀρχάγγελος· χαῖρε Θρόνε τοῦ Ὑψίστου εὐλογημένη. Εἱρμὸς ἄλλος.

„ Μὴ εἰκόνι τῇ χρυσῇ, μὴ προσκυνήσαν-
„ τες παῖδες Ἀβραμιαῖοι ἐδοκιμάζοντο,
„ ὥσπερ χρυσὸς ἐν χωνευτηρίῳ, ἐν τῇ καμί-
„ νῳ δὲ πυρὸς, ὡς ἐν θαλάμῳ φωτεινῷ, ἐ-
„ χόρευον βοῶντες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν
„ Πατέρων ἡμῶν.

Συνεστῶτά σε ποτὲ, ὁ Δανιὴλ ὡς κατεῖδε, δειλίᾳ ὅλος ληφθεὶς πεφόβηται, καὶ τοῖς ποσὶ τοῖς σοῖς προσπελάσας, συνετίζεται σαφῶς, Μυστηρίων ἀφανῶν, τὴν δήλωσιν κραυγάζων· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Οὓς Ἐθνῶν ἐπαγωγαῖς, ἀπαγομένους δεσμίους, εἰς τόπους λίαν μακρὰν τυγχάνοντας, σὲ δὲ προστάτην προσκαλουμένους, Ἀρχιστράτηγε Θεοῦ, προσεπανάγει ἐν χαρᾷ, κραυγάζοντας· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὧν Ἀγγέλων οἱ χοροὶ, κατανοοῦντές σε πόθῳ, χοροστασίαις βροτῶν ὑμνούμενον, χαρᾶς πληροῦνται ἀδιαδόχου, καὶ δοξάζουσι Θεὸν, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν, τοὺς κάτω συνάψαντα, τοῖς Οὐρανοῖς μυστικῶς Ἀρχάγγελε Μιχαήλ.

Ποῖος τόπος ἀμοιρεῖ, τῶν σῶν ἀπείρων θαυμάτων; ποία σε Πόλις οὐκ ἔχει πρόμαχον; ποία ψυχὴ καταπονουμένων, οὐ καλεῖ σε βοηθὸν, τὸν Ἀρχιστράτηγον Θεοῦ; χαρμονικῶς βοῶσα· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Πλανωμένων ὁδηγὸς, ἀδικουμένων προστάτης, ὀλιγοψύχων παραμυθία τε, χειμαζομένων ὑπὸ πνευμάτων, γαληνότατος λιμὴν, ἁμαρτωλῶν ἐγγυητὴς, νοσούντων ἐπίσκεψις, ἐσκοτισμένων φωστὴρ, σὺ εἶ Ἀρχάγγελε Θεοῦ. Θεοτοκίον.

Ὃν Σωτῆρα καὶ Θεὸν, καὶ Λυτρωτὴν καὶ Δεσπότην, σαρκὶ τεκοῦσα Πάναγνε Δέσποινα, τοῦτον ἀεὶ ἄχραντε δυσώπει· ὅπως λύσιν τῶν δεινῶν, καὶ πολλῶν ἁμαρτιῶν τὴν ἄφεσιν λάβωμεν, ὑμνολογοῦντες αὐτοῦ, τοὺς ὑπὲρ νοῦν οἰκτιρμούς.

Ὠδὴ η'. Λυτρωτὰ τοῦ παντός.

Νοερῶν ἀσωμάτων Ταξίαρχος, πρεσβευτὴς τῶν ἀνθρώπων σωτήριος, Θεῖος Θεοῦ διάκονος, Μιχαὴλ ἀνεδείχθης, μέλπων ἀπαύστως· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Οἱ φωστῆρες οἱ δύο οἱ πάμφωτοι, Μιχαὴλ Γαβριήλ τε Ἀρχάγγελοι, τριοσοφαοῦς Θεότητος, φρυκτωρίαις τὴν Κτίσιν φωταγωγοῦντες, τῶν δεινῶν τὴν ὁμίχλην διώκετε.

Ὡ Σκαλοὶ κυβερνῆται Ἀρχάγγελοι, πρὸς λιμένα τοῦ Θείου θελήματος, τὴν ψυχικὴν ὁλκάδα μου, διασώσατε ζάλῃ ἁμαρτημάτων, περιπίπτουσαν καὶ κινδυνεύουσαν. Θτ.

Νυμφοστόλος ὁ Θεῖος Ἀρχάγγελος, ἐπίστας προσεφώνει τὸ χαῖρέ σοι, Νύμφη Θεοῦ ἀνύμφευτε, τῶν Ἀγγέλων ἡ δόξα καὶ τῶν ἀνθρώπων, τὸ διάσωσμα καὶ περιτείχισμα. Εἱρμὸς ἄλλος.

Ἦ καὶ πάντα τὰ ἐν αὐτῇ, θάλασσαι καὶ πᾶ-
„ σαι αἱ πηγαὶ, οἱ Οὐρανοὶ τῶν Οὐρανῶν,
„ φῶς καὶ σκότος, ψύχος καὶ καύσων, Υἱοὶ τῶν
„ ἀνθρώπων, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἦν διέρχῃ ὡς ἀστραπὴ, βούλημα τὸ Θεῖον ἐκπληρῶν, περιπολεῖς τοὺς Οὐρανοὺς, προηγούμενος τῶν Ἀγγέλων. τὸ κλέος σου μέγα, ὑπὲρ νοῦν δὲ τὰ ἄπειρα θαύματα, ἅπερ ἐπὶ πᾶσαν, φρικτῶς τελεῖς τὴν Κτίσιν.

Οἱ αὐτόπται τοῦ δι' ἡμᾶς, σώματι φανέντος ἐπὶ γῆς, Φίλιππος ὁ πανευκλεὴς, καὶ ὁ μέγιστος Θεολόγος, ἐμπνεύσεσι Θείαις, τὴν ἀέναον χάριν Πρωτάγγελε, σοῦ τῶν ἰαμάτων, προλέγουσι πανσόφως.

Ῥάβδῳ πάλαι ὁ Μωϋσῆς, ἔτεμε τὴν θάλασσαν, καὶ νῦν ὁ Ἀρχιστράτηγος Θεοῦ, τῇ δυνάμει τῇ ἀοράτῳ, ὡς ῥάβδῳ φωνήσας, τὰ ἀτάκτως φερόμενα ὕδατα, ὥσπερ ἐν χωνίᾳ, τῇ πέτρᾳ παραπέμπει.

Ὡς παμμέγιστος Οὐρανὸς, δείκνυται ὁ οἶκος ὁ σεπτὸς, τοῦ τῶν Ἀγγέλων Ἀρχηγοῦ, ἐν ᾧ θαύμασιν ὥσπερ ἄστροις, φωτίζονται πᾶσαι, τῶν πιστῶν αἱ καρδίαι δοξάζουσαι, τὸν ἀγαθοδότην, Θεὸν εἰς τοὺς αἰῶνας.

Ὥσπερ πάλαι τοῦ Βαλαὰμ, τὴν ἄλογον ἐκώλυσας ὁρμὴν τῇ τοῦ ἀλόγου Στρατηγὲ, τῶν Ἀγγέλων, ἐν λόγῳ φρικώδει στάσει· Υἱοὺς τοὺς τῆς Ἄγαρ κινουμένους, ἀλόγως ἑκάστοτε, καθ' ἡμῶν ἀπράκτους, ἀπόδειξον εὐχαῖς σου. Θεοτοκίον.

Ἦτρ ἐκύησας οὐδαμῶς, φλογίσαν σου Παρθένε τὴν Νηδύν. Λόγον ἐγέννησας Πατρὸς, ἐξαιρούμενον ἀλογίας, τοῖς λόγοις τοῦ πλάνου, ὑπακούσαντας, καὶ παρακούσαντας, τοῦ πεποιηκότος Θεοῦ τοῦ φιλανθρώπου.

Ὠδὴ. θ'. Εὖα μὲν τῷ τῆς παρακοῆς.

Ἰδοὺ ἡ εὐπρέπεια τοῦ σοῦ, Ἀρχάγγελε, Θείου οἴκου διαλάμπουσα, τῇ φωταυγεῖ σου παρουσίᾳ, θαυμάτων ἀστραπὰς ἐπαφίησι, καὶ σκότος νοσημάτων ἑκάστοτε, ἀποδιώκει Θείᾳ χάριτι.

Ὡς ζεῦγος ὡραῖον καὶ τερπνὸν, ὑπάρχοντες, τοῦ Δεσπότου τὰ προστάγματα, τοῖς ἐπὶ γῆς διακονεῖτε Ἀρχάγγελοι, δεινῶν ἐξαιρούμενοι, καὶ πᾶσι φωτισμὸν ἐπιπέμποντες, σωτηριώδη Θείῳ Πνεύματι.

Ἡμέρον συγχαίρουσιν ἡμῖν, Ἀσώματοι, Θεῖοι Νόες ἀνυμνούμενον, βλέποντες τοῦτον ὑπὸ πάντων, τὸν μέγαν καὶ φαιδρὸν Ἀρχιστράτηγον, ἡμῖν τε φωτισμὸν ἐξαιτούμενον, καὶ τῶν πταισμάτων ἀπολύτρωσιν.

Ἡ Θεία δυὰς καὶ φωταυγὴς, Ἀρχάγγελοι, Μιχαὴλ τε πανσεβάσμιε, καὶ Γαβριὴλ δεδοξασμένε, Τριάδι τῇ σεπτῇ παριστάμενοι, πταισμάτων ἐνοχῆς καὶ κολάσεως, αἰωνιζούσης ἡμᾶς ῥύσασθε. Θκῖον.

Φωνῇ τοῦ Ἀγγέλου Γαβριὴλ συνέλαβες, Θεὸν Λόγον Παναμώμητε, λόγῳ τὰς ἄνω Στρατηγίας, ποιήσαντα καὶ λόγον παρέχοντα, ὑμεῖν τὴν ὑπὲρ λόγον καὶ ἔννοιαν, τούτου ἁγίαν συγκατάβασιν.

Εἱρμὸς ἄλλος.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ. καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινοὺς ὁ Θεὸς τοῦ Ἰσραήλ. ἐν οἷς ἐπεσκέψατο ἡμᾶς Ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Ὡς ὤφθης ἀνθρώποις διὰ σπλάγχνα οἰκτιρμῶν, ἐπέστησας Ἀγγέλους τούτοις Λόγε, διαφυλάττων αὐτοὺς ἀπὸ βλάβης πονηρᾶς, μεθ' ὧν Μιχαὴλ τὸν θαυμαστόν. δι' οὗ σε δυσωποῦμεν, πᾶσιν ἡμῖν δώρησαι, ἱλασμὸν πταισμάτων.

Ἰσχύν σε καὶ κράτος ὁ πιστός σε Βασιλεὺς, Πρωτάγγελε καὶ σύμμαχον πρὸς ἔθνη, πολέμια καὶ δεινὰ, κεκτημένος τὴν αὐτῶν, τροποῦται ἀπόνοιαν ἀεὶ, καὶ εὐχαριστηρίους, διὰ σοῦ τῷ Πλαστουργῷ ᾠδὰς ἀναπέμπει.

Ὠδὴν προσφωνεῖ σοι ἅπας πάντοτε πιστὸς, τῷ μέλποντι ἀπαύστως ἐν ὑψίστοις, σὺν μυριάσι πολλαῖς, τὴν τρισάγιον φωνὴν, προσάγαγε πάντας τῷ Θεῷ, ἐκ συμφορῶν καὶ πόνων, ἐκλυτρούμενος ἡμᾶς, ἀρχηγὲ Ἀγγέλων.

Ἐκιρτάτω ἡ Κτίσις ἀνυμνοῦσα μυστικῶς, τὸν μέγαν Ἀρχάγγελον Κυρίου. ὑπάρχει γὰρ ἀνθρώπων πλανωμένων καὶ λιμὴν, πολλῶν συμφοραῖς καὶ πειρασμοῖς, ἀεὶ χειμαζομένων, καὶ νοσούντων ἰατρὸς, καὶ θαυμάτων βρύσις.

Ἡγίασας τοῦτον τὸν σεβάσμιον Ναὸν, καὶ ἔδειξας αὐτὸν πηγὴν θαυμάτων· ἐν ᾧ ἑστῶτες ὁμοῦ ἐκβοῶμέν σοι πιστῶς· Ἀρχάγγελε αἴτησαι ἡμῖν, ἁμαρτημάτων λύσιν, συμφορῶν ἀπαλλαγὴν, καὶ πολλὴν γαλήνην. θ'.

Φανεῖσα Παρθένε, πλατυτέρα Οὐρανῶν, ἐχώρησας Θεὸν ἀνερμηνεύτως, ὃν Ἀσωμάτων χοροὶ, ἀνυμνοῦσι μυστικῶς. αὐτὸν οὖν ἱκέτευε Ἁγνὴ, πάντας ἡμᾶς σωθῆναι, τοὺς σὲ μακαρίζοντας φωναῖς ἀσιγήτοις.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀθροίσθητε καὶ ἴδετε, ἡ ἀνθρωπότης ἅπασα, θεάσασθε ξένον θαῦμα, τὸ τελεσθὲν ἐν ταῖς Χώναις. Μιχαὴλ ὁ Ἀσώματος, ῥάβδῳ τὴν πέτραν ἔρρηξε, καὶ ποταμοὺς ἠκόντισε, κατερχομένους ἀτάκτως, ἐπὶ τὸ ἅγιον ὕδωρ. Θεοτοκίον. Ὅμοιον.

Εἰκόνος ἧς μετέλαβον, θεουργικῶς τῆς κρείττονος, ἐξώσθην οἴμοι ὁ τάλας, δι' ἀκρα-

ἀκρασίας τῆς πάλαι. σὺ δὲ Χριστὲ ὡς εὔσπλαγχνος, ἀῤῥήτως κοινωνήσας μοι, τοῦ χείρονος μετείληφας, καινοποιήσας Σωτήρ με, Παρθενικῶν ἐξ αἱμάτων.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρούμενον ὡς ἔβλεψας, τὸν σὸν Υἱὸν Πανάμωμε, διεδονήθης τὰ σπλάγχνα, καὶ πέμπουσα δακρυῤῥόους, φωνὰς Υἱέ μου ἔλεγες· τί σοι ἐχθροὶ ἀπέδωκαν, ἀνθ' ὧν νῦν εὐηργέτηνται; δοξολογῶ σου τὴν Θείαν, καὶ ἀνυπέρβλητον χάριν.

Εἰς τὸ ξ̄. τῶν Αἴνων τῆς Ὀκτωήχου.

Δόξα, ἦχος π̄. α'.

Ὅπου ἐπισκιάσει ἡ χάρις σου Ἀρχάγγελε, ἐκεῖθεν τοῦ διαβόλου διώκεται ἡ δύναμις. οὐ φέρει γὰρ τῷ φωτί σου προσμένειν, ὁ πεσὼν Ἑωσφόρος. διὸ αἰτοῦμέν σε, τὰ πυρφόρα αὐτοῦ βέλη, τὰ καθ' ἡμῶν κινούμενα ἀπόσβεσον τῇ μεσιτείᾳ σου· λυτρούμενος ἡμᾶς ἐκ τῶν σκανδάλων αὐτοῦ, ἀξιύμνητε Μιχαὴλ Ἀρχάγγελε.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ἡ Κεχαριτωμένη, μεσίτευσον σαῖς δεήσεσι, καὶ αἴτησαι ταῖς ψυχαῖς ἡμῶν πλῆθος οἰκτιρμῶν, καὶ τὸν ἱλασμὸν, τῶν πολλῶν παραπτωμάτων δεόμεθα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἀμνὰς τὸν Ἄρνα, βλέπουσα πρὸς σφαγὴν, καὶ τὰ Πάθη ἐν Σταυρῷ ὑπομένοντα βουλήσει, ἐβόα δακρύουσα· Υἱέ μου παμφίλτατε, ἀνάστηθι ἰσχύϊ σου, καὶ σῷσον τοὺς ἀνυμνοῦντάς σου τὴν Σταύρωσιν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ, καὶ ἀπὸ τοῦ Κανόνος, ᾠδὴ, γ'. καὶ ς'. Προκείμενον, ἦχος δ'. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ. ξ̄. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους. Ἀδελφοὶ, Εἰ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος. Ἀλληλούϊα. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Εὐαγγέλιον κτ̄. Λουκᾶν. Εἶπεν ὁ Κύριος· ὁ ἀκούων ὑμῶν. Κοινωνικόν. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ. Καὶ τὰ ἑξῆς.

Τῷ αὐτῷ Μηνὶ Ζ'.

Προεόρτια τῆς Γεννήσεως τῆς Ὑπεραγίας Θεοτόκου, καὶ τοῦ Ἁγίου Μάρτυρος Σῴζοντος.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ξ̄. ς'. καὶ ψάλλομεν ξ̄. προσόμοια τῆς Θεοτόκου τρία, καὶ τοῦ Ἁγίου τρία, ἦχος α'.

Τῶν Οὐρανίων Ταγμάτων.

Ἡ Ἧς παγκοσμίου τῷ Κόσμῳ, χαρᾶς ἀνέτειλαν, αἱ νοηταὶ ἀκτῖνες, προμηνύουσαι πᾶσι, τὸν Ἥλιον τῆς δόξης, Χριστὸν τὸν Θεὸν, ἐν τῇ Γεννήσει σου Ἄχραντε. σὺ γὰρ μεσίτις ἐδείχθης τῆς ἀληθοῦς εὐφροσύνης τε καὶ χάριτος.

Ἡ Προεόρτιος αὕτη, δόξα σου Ἄχραντε, προκαταγγέλλει πᾶσι, τὰς τῆς σῆς εὐμενείας, λαοῖς εὐεργεσίας. σὺ γὰρ τῆς νῦν, εὐφροσύνης ἡ πρόξενος· καὶ τῆς μελλούσης αἰτία χαρᾶς ἡμῖν, εὐφροσύνη καὶ ἀπόλαυσις.

Ἡ Θεοχώρητος Κόρη, καὶ Θεοτόκος Ἁγνὴ, τῶν Προφητῶν τὸ κλέος, τοῦ Δαβὶδ ἡ Θυγάτηρ, σήμερον γεννᾶται ἐξ Ἰωακεὶμ, καὶ τῆς Ἄννης τῆς σώφρονος. καὶ τοῦ Ἀδὰμ τὴν κατάραν τὴν εἰς ἡμᾶς, ἀνακαλεῖται ἐν τῷ τόκῳ αὐτῆς.

Ἕτερα τοῦ Ἁγίου, ἦχος δ'. Ἔδωκας.

Σθενεῖ δυναμούμενος, τὸ ἀσθενές σου μακάριε, τοῦ ἡμῶν τὴν ἀσθένειαν, θελήσει φορέσαντος, τῶν Μαρτύρων δρόμον, διήνυσας χαίρων, καὶ τὸν ἀνίσχυρον ἐχθρὸν, ὡραιοτάτοις ποσὶ συνέτριψας. διό σοι ἀνεπλέξατο, νικητικὰ διαδήματα, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἐχθροὺς ἐτραυμάτισας, τῷ τραυματίζεσθαι Ἔνδοξε, καὶ εἰς γῆν κατηδάφισας, Σταυρὸν ὁπλισάμενος, καὶ τὴν παντευχίαν, περιβεβλημένος, τὴν ἀδιάῤῥηκτον σαφῶς, καὶ τὴν ἀγάπην ἐνστερνισάμενος, τοῦ σὲ πρὸς τὰ βασίλεια, τὰ νοητὰ μετοικίσαντος, ὡς ἀήττητον Μάρτυρα, ὡς οὐράνιον ἄνθρωπον.

Σωτῆρα καὶ Κύριον, τὸν ὑπὲρ σοῦ τὰ ἑκούσια, ὑποστάντα Παθήματα, σαφῶς ἐκμιμούμενος, Ἀθλοφόρε Σῴζων, σαυτὸν ἑκουσίως, πρὸς αἰκισμοὺς πρὸς ἐκτομὰς, πρὸς ἀνυποίστους βασανοὺς δέδωκας. διό σε ἀντημείψατο, ἐπουρανίοις χαρίσμασι, καὶ πηγὴν ἰαμάτων σε, τοῖς ποθοῦσιν ἀνέδειξε.

Δόξα, καὶ νῦν, ἦχος δ'.

Ἣν πανσεπτόν σου Γέννησιν, Παναγία Παρθένε Ἁγνὴ, τῶν Ἀγγέλων τὰ πλήθη ἐν Οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν. ὅτι Μήτηρ γέγονας,

τȣ̃ Ποιητȣ̃ τȣ̃ ἁπάντων Χριςȣ̃ τȣ̃ Θεȣ̃, αὐτὸν ἱκετεύȣσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τȣ̃ εἰς σὲ μετ' Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε.

Εἰς τὸν ϛι. ϛι. προσόμοια, ἦχος π. δ'.

Ὦ τȣ̃ παραδόξȣ θαύματος.

Ὦ Τȣ̃ παραδόξȣ θαύματος, ὡς ȣ̃ξ ἀγόνȣ Μητρὸς, καὶ ἀκάρπȣ ςειρώσεως, ῥάβδος ἄνθος φέρȣσα, ἀναφύεται σήμερον, ἡ Θεομήτωρ καὶ ἀπειρόγαμος, ἐκ τȣ̃ δικαίων Ἰωακεὶμ καὶ Ἄννης. ὅθεν καὶ χαίρει νυῦ, Προφητȣ̃ τὸ σύςημα, Πατριαρχῶν, πᾶσα ἡ ὁμήγυρις, ἐν τῇ Γεννήσει αὐτῆς.

ϛι. Ἄκȣσον Θύγατερ, καὶ ἴδε.

Σήμερον Δαβὶδ ἀγάλλεται, καὶ Ἰεσσαὶ νῦν σκιρτᾷ, καὶ Λεὺὶ μεγαλυύεται, καὶ χαίρει τῷ πνεύματι, Ἰωακεὶμ ὁ Δίκαιος, καὶ ἀτεκνία τῆς Ἄννης λύεται, τῇ σῇ Γεννήσει Μαρία Ἄχραντε, Θεοχαρίτωτε. καὶ Ἀγγέλων σύςημα σὺν τοῖς βροτοῖς, πάντες μακαρίζομεν, τὴν θείαν μήτραν σȣ.

ϛι. Τὸ πρόσωπόν σȣ λιτανεύσȣσιν.

Χαίροις τȣ̃ βροτȣ̃ τὸ σύςημα, χαῖρε Κυρίȣ Ναὲ, χαῖρε Ὄρος τὸ ἅγιον, χαῖρε Θεία Τράπεζα, χαῖρε Λύχνε ὁλόφωτε· χαῖρε τὸ κλέος τȣ̃ Ὀρθοδόξων σεμνή. χαῖρε Μαρία Μήτηρ Χριςȣ̃ τȣ̃ Θεȣ̃· χαῖρε Πανάμωμε, χαῖρε Θρόνε πύρινε, χαῖρε Σκηνή· χαῖρε Βάτε ἄφλεκτε, χαῖρε ἡ πάντων ἐλπίς.

Δόξα, καὶ νυῦ. ἦχος δ'. Γερμανȣ̃.

Ἡ Παγκόσμιος χαρὰ, ἐκ τȣ̃ Δικαίων ἀνέτειλεν ἡμῖν, ȣ̃ξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἡ πανύμνητος Παρθένος. ἥτις δι' ὑπερβολὴν καθαρότητος, Ναὸς Θεȣ̃ ἔμψυχος γίνεται, καὶ μόνη κατ' ἀλήθειαν Θεοτόκος γνωρίζεται. αὐτῆς ταῖς ἱκεσίαις Χριςὲ ὁ Θεὸς, τῷ Κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον, ἦχος δ'.

Ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ȣ̃ξ ὀσφύος τȣ̃ Δαβὶδ, ἡ Θεόπαις Μαριὰμ, τίκτεται σήμερον ἡμῖν. χαρᾷ γὰρ χαίρει ἡ σύμπασα καὶ καινȣργεῖται. συγχάρητε ὁμȣ̃ ὁ Οὐρανὸς καὶ ἡ γῆ, αἰνέσατε αὐτὴν αἱ πατριαὶ τȣ̃ ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζȣσα· ἡ ςεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ϛιλό.

Εἰς τὴν α'. ϛιλό. κα. ἦχος α'.

Τȣ̃ λίθȣ σφραγισθέντος.

Μεχθεῖσα παραδόξως, ςειρωτικῶν ȣ̃ξ ὠδίνων, Παρθενικῶν ἐκ λαγόνων, ἐκύησας ὑπὲρ φύσιν. ὡραῖος φανεῖσα γὰρ βλαςὸς, ȣ̃ξηύθησας τῷ Κόσμῳ τὴν ζωήν· διὰ τȣ̃το αἱ δυνάμεις τȣ̃ Οὐρανῶν, βοῶσί σοι Θεοτόκε· δόξα τῇ προόδῳ σȣ σεμνὴ, δόξα τῇ κυήσει σȣ, δόξα τῇ παρθενίᾳ σȣ, μόνη Πανάχραντε.

Δόξα, καὶ νυῦ. τὸ αὐτό.

Εἰς τὴν β'. ϛιλό. κα. ἦχος π. α'.

Τὸν συνάναρχον Λόγον.

Μὰ Οὐρανία πάντα νυῦ ἐπαγάλλονται, τῶν ἀνθρώπων τὸ γένος συνεορτάζει αὐτοῖς, καὶ οἱ Προφῆται μυςικῶς συνευφραίνονται. ἣν γὰρ προεῖδον τυπικῶς, ἐν ταῖς ἀρχαίαις Γενεαῖς, Βάτον καὶ Στάμνον καὶ Ῥάβδον, Νεφέλην Πύλην καὶ Θρόνον, καὶ μέγα Ὄρος γεννᾶται σήμερον.

Δόξα, καὶ νυῦ. τὸ αὐτό. Ὁ Κανὼν τῆς Ὀκτωήχȣ, καὶ ὁ Προεόρτιος τῆς Θεοτόκȣ, καὶ τȣ̃ Ἁγίȣ. τῆς Θεοτόκȣ, ȣ̃ ἡ ἀκροϛι.

Γέννησιν ὑμνῶ, τῆς Θεόπαιδος Κόρης.

Ἰωσήφ. Ὠδὴ α'. ἦχος δ'.

Ἀνοίξω τὸ ςόμα μȣ

Ἡ θόμενοι σήμερον, μετ' εὐφροσύνης ὑμνήσωμεν, τὸ Θεῖον Γενέθλιον τῆς Θεομήτορος. καὶ γὰρ τέτοκε, χαρὰν τῇ Οἰκȣμένῃ, λύπην τῆς Προμήτορος ȣ̃ξαφανίσασα.

Ἐκ ςείρας προέρχεται, τῆς ἁμαρτίας ἡ ςείρωσις· ἣν Νόμος προέγραψε, καὶ τὰ κηρύγματα, προεδήλωσαν τῶν θείων Θεηγόρων, ἡ πάναγνος Δέσποινα, καὶ παναμώμητος.

Ναὸς καὶ παλάτιον, τȣ̃ Βασιλέως γεγένησαι, ἐν ᾧ τὴν κατοίκησιν αὐτȣ̃ ποιȣ́μενος, οἰκητήριον τῆς Ἁγίας Τριάδος, πιςȣ̀ς ἀπεργάσεται ὁ Ὑπερȣ́σιος.

Νυμφὼν ὡραιότατος, Θρόνος Θεȣ̃ ὑψηλότατος, ἐδείχθης, Θεόνυμφε, ἐν ᾧ καθίσας σαρκὶ, τȣ̀ς καθημένȣς ἐν σκότει ἀπωλείας, ἐγερεῖ πρὸς γνώσεως φῶς ἀγαθότητι.

Ἕτερος Κανὼν τȣ̃ Ἁγίȣ. Ὠδὴ α'. ἦχος δ'.

Θαλάσσης, τὸ ἐρυθραῖον. Θεοφάνȣς.

Ὠθῆναι, τȣ̀ς τὴν σεπτὴν σȣ σήμερον, μνήμην γεραίροντας, ἀπὸ παντοίων Σώζων πειρασμῶν, καὶ κινδύνων καὶ θλίψεων,

τὸν

τὸν ἀεργέτην Κύριον, νῦν καθικέτιδε παιδόξε.

Τ'Στέρα, πυρσοφαῆ ἀνέδαξε, Χριστὸς, ἐν ὕψασε, τ' Ἐκκλησίας Μάρτυς ἀληθῶς, ταῖς τῶν ἄθλων σε λάμψεσι, τὴν Οἰκουμένην ἅπασαν, καταλαμπρύνοντα πανδόφημε.

Μοξάσας, ὑπομονῇ τοῖς βέλεσι, τὰς τοῦ Κυρίε ἐχθρὰς, καὶ τῆς αὐδρείας ξίφα τὰ αὐτῶν διακόψας στρατεύματα, νικητικὸν διάδημα, Σώζων ἀπάλληφας μακάρια. Ἅγ.

Τ'Σπόρως, τῷ τοῦ Πατρὸς βελήματι, ἐκ Θείε Πνεύματος, τὸν τοῦ Θεοῦ σωσάληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς Ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ Ἀπάτορα.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Ὅτι σῶρα ἔπεκυ, ἡ ἐξ Ἐθνῶν Ἐκκλη-
„ σία, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠθεύησε
„ σωαγωγή. τῷ θαυμαςῷ Θεῷ ἡμῶν βοή-
„ σωμεν· Ἅγιος εἶ Κύριε.

Γῆ ἡ καπίκαρπος, ἐκ γῆς ἀκάρπε γεννᾶται· ἥτις καρπογονήσα τὸν γεωργὸν τῶν ἀγαθῶν, καὶ ζωηφόρον ἄσαχον, τὸν τρέφοντα πάντας, θείῳ Πνεύματι.

Ἡμερον ἐβλάςησε τῆς Παρθενίας ἡ ῥάβδος· ἐξ ἧς αὐθήσει αὖθος, ὁ φυτεργὸς ἡμῶν Θεὸς, τὰ πονηρὰ βλαςήματα, ἀποτέμνων ἄκρα ἀγαθότητι.

Δε τὸ ἀλάξυτον Ὄρος, ἐκ πέτρας ἀγόνε, ἀποτεχθεὶς τὸν λίθον, καρπογονᾶ τὸν νοητὸν· ὃς σωτηριβιὼ ἐργάσεται, τῶν ξοανίων πάντων τὸ ἀλάσορος.

Ὅμως προχαράγματα, σὲ προεθήλωσαν Κύρη, τὸν Νομοδότην σὺ γὰρ, νομίμων δίχα ἐν γαςρὶ, κυοφορεῖς τηρῶντα σε, ὑπὲρ λόγον, ἄφθορον αἰμίαντον.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Γίματων σου αἱ ῥοαὶ, ποταμηδὸν διὰ Χριστὸν ῥύσασαι, πῦρ ἀσεβῶν ἔσβεσαν, Μάρτυς ἀθλοφόρε ἀοίδιμε.

Πέτης καρτερικῶς, τῶν αἰκισμῶν πὶς προσβολὰς ἀῤῥήκτος, πύργος καθάπερ Ἔνδοξε, πλαύτης καθηλῶν τὸ ὀχύρωμα.

Καθῆλες Δαβιτικῶς, ὡς Γολιὰθ τὸν νοητὸν τύραννον, καὶ τὰ αὐτοῦ στρατεύματα, Πίστεως σφενδόνῃ Παναοίδοξε. Ἅγ.

Τ' μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας. ὅθεν σοι τὸ χαῖρε κραυγάζομεν.

Ὠδὴ δ'. Τ' ἀχὺ προκαπάλαβε.

Ὠθὰς διὰ Πίστεως, Σώζων πολυάθλε, σωτῆρος γέγονας, χαμαζομένων λιμῶν, προνοίᾳ Χριστοῦ τοῦ Θεοῦ. βρύεις γὰρ ἰαμάτων, ποταμοὺς τοῖς πόθοις. τὰς ἀῤῥωςημάτων, τὸν φλογμὸν καθ' ἑκάςην. διὸ τὴν θείαν μνήμην σε, πίςα γεραίρομεν.

Δόξα, καὶ νῦν. ἦχ πλ. Τὸ προσαχθόν.

Γαλλιάσθω Οὐρανὸς, γῆ εὐφρανέσθω. ὅτι τοῦ Θεοῦ γὰρ Οὐρανὸς ἐν γῇ ἐπέχθη, ἡ Θεόνυμφος αὕτη ἐξ ἐπαγγελίας. ἡ Στεῖρα βρέφος θηλάζει τὸν Μαχαὴμ, καὶ χαίρει ἐπὶ τῷ τόκῳ Ἰωακεὶμ, ῥάβδος λέγων ἐπέχθημι· ἐξ ἧς τὸ ἄνθος Χριστὸς, ἐβλάςησεν ἐκ ῥίζης Δαβίδ. ὄντως θαῦμα παράδοξον.

Ὠδὴ ε'. Ὁ καθήμενος ἐν δόξῃ.

Περτέρα τῶν Ἀγγέλων, ἐπὶ γῆς Κόρη τίκτεται, ἐν ἁγιωσύνῃ, ὅσα καὶ καθάρσια ἀσύγκριτος. ἥτις τὸν καθαρσιν πάντων Χριστὸν τέξεται, ἁγιότητα, καὶ παντελῆ ἀπολύτρωσιν.

Ακαρία ἡ κοιλία, ἡ τῆς Ἄννης γενήται· τὸν γὰρ ἐν κοιλίᾳ, μέλλουσαν χωρεῖν τὸν μακάριον, καὶ μὴ χωρήσαντον Λόγον, ἀπεγέννησεν, ἀναγεννησιν πᾶσι πιςοῖς παρεχόμενον.

Ν Τὸν ὄζος τῆς κακίας, ἐκμαθεῖν ἀπάρχεται. ἡ γὰρ τῶ Ἡλίῳ, ἔμψυχος Νεφέλη αὐέταλε, σαρωτικὸν ἐκ λαγόνων, ἡ Παναμωμος. ἧς τὸν Γοννησιν, τὸν φωταυγῆ ἐορτάσωμεν.

Σ καπίκαρπος ἐλαία, ἡ ἐκ ῥίζης βλαςήσασα, Γεοσαὶ Παρθένε, Ἄννα σὲ βλαςαύα βλαςαύσαν, τὸν ἐλεήμονα Λόγον, ὃ τὸ ἔλεος, καὶ ἡ ἀλήθεια διὰ παντὸς προπορεύεται.

Ἄλλος. Ἐ παρθενεύσασα ἰδοὺ.

Τρπολούμενος ἀγάπῃ Θεοῦ Παμμάκαρ, τὴν φρυγανώδη ἅπασαν, πλάνην τῶν ἀθέων ἔφλεξας τοῖς λόγοις σε, καὶ χαίρων ἐκραύγαζες· δόξα τῇ δυνάμει σε Κύριε.

Τιότοκτος ὑπάρχων Ναὸς Κυρίε, εἰς τὸν Ναὸν εἰσέδραμες, τῶν ἀθεωτάτων. καὶ τόπων σεβάσματα, γοναίως σωέτριψας, Μάρτυς ἀθλοφόρε πανδόφημε.

Τ'Ατρεῖον ἀναδέδεικται πάσης νόσε, τὸ ἱερόν σε τέμενος, πίςα τοῖς φοιτῶσι, καὶ τὰς ἀρισείας σε, ἐν τούτῳ γεραίρσι, Σώζων Ἀθλοφόρε θαυμάσιε.

Θεοτοκίον.

Ἀ'Πειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ὁ ἐσφραγισμένον νοῦ, Βιβλίον ἀποτίκτεται, ὅπερ ἀναγνώσεται οὐδ' ὅλως, φύσεως Νόμῳ, βροτὸς τηρούμενον, Λόγου εἰς κατοίκησιν καθὼς, Βίβλοι προεδήλωσαν, Θεηγόρων ἐν Πνεύματι.

Ἡ Ἄμπελος σήμερον, ἐτέχθη ἡ σωτήριος, ἥτις τὸν ἀκήρατον ἀνθήσει, Βότρυν τὸν Θεῖον, γλεῦκος προχέοντα, οὗ ὃ πᾶς ὁ πίνων μυστικῶς, θείαν καὶ σωτήριον, εὐφροσύνην καρπώσεται.

Ἐκιρτήσατε Ἄγγελοι, ἀνθρώποις συγχορεύοντες, σήμερον ἐκ Στείρας ἡ Παρθένος, ἀποτεχθεῖσα τὴν λύπην ἔπαυσε. καὶ προοιμιάζεται χαρὰν, τοῖς πανηγυρίζουσι, τὴν αὐτῆς θείαν Γέννησιν.

Θεῖος προδιέγραψε, Προφήτης προδηλότατα, τόμον σε καινὸν ἐν ᾧ δακτύλῳ, Λόγος Πατρῴῳ, Κόρη γραφήσεται, βίβλῳ καταγράφων τῆς ζωῆς, πάντας ἀγαθότητι, τοὺς αὐτῷ πειθαρχήσαντας.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Ἐν Μάρτυς τῷ φωτὶ, τῆς Τριάδος λαμπόμενος, ἐμείωσας ἀθείας, πολυθέου τὸν ζόφον, φωστὴρ ὀφθεὶς ἀείφωτος.

Ἐν ῥόδον εὐανθοῦν, ἐρυθρῷ τῶν αἱμάτων σου, Μακάριε δεδειγμένος, εὐωδίᾳ θαυμάτων τὸν Κόσμον εὐωδίασας.

Ἐν Βότρυς νοητὸς, τῆς ἀμπέλου ὑπάρχων Χριστοῦ, ἀνέβλυσας μαρτυρίου, εὐκατάκνυκτον οἶνον, τοῖς πίστεισε δοξάζουσι.

Ἐ' ὅπλον ἀρραγὲς, κατ' ἐχθρῶν προβαλλόμεθα. σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ς'. Τὴν θείαν ταύτην.

Ἐ'τέχθη σήμερον Γέφυρα, μετάγουσα πρὸς φῶς τὸ ἀνθρώπινον· Κλίμαξ οὐρανίος, Ὄρος Θεοῦ ἐμφανέστατον, ἡ Θεοτόκος Κόρη, ἣν μακαρίσωμεν.

Ὁ Κόχλος Ἄννα προήγαγε, πορφύραν τὴν τὸ ἔριον βάψασαν, τῆς σωματώσεως, τοῦ Βασιλέως εἰς ὕστερον· ἣν ἐπαξίως πάντες ὑμνολογήσωμεν.

Πηγὴ νυνὶ προελήλυθε, ῥανίδος ἐκ μικρᾶς ἡ Πανάμωμος, ἥτις τὴν ἄβυστον, τῆς Σωτηρίας κυήσασα, πολυθείας παύσει ἄπειρα ῥεύματα.

Ἀ'Κάρπου ῥίζης ἐβλάστησας, καὶ πρόῤῥιζον κακίας τὴν ἄκανθαν, τῷ ὑπὲρ φύσιν σου, θείῳ βλαστῷ ἐναπέτεμες, Θεογεννῆτορ Κόρη ἀειμακάριστε.

Ἄλλος. Θύσωσοι, μετὰ φωνῆς.

Θύ'εσθαι, δι' ἀγάπην Θεοῦ προελόμενος, ἄμωμον θῦμα καθάπερ, τῇ αὐτοῦ τραπέζῃ προσυνέξαι. διὰ τοῦτο, εὐσεβῶς σε τιμῶμεν Πανεύφημε.

Ἀ'Βρόχως, διαπλεύσας τῆς πλανῆς τὸ πέλαγος, εἰς τὸν λιμένα τῆς ἄνω, Βασιλείας Μάρτυς ἐγκαθωρμίσθης, αἰωνίου, ἀπολαύων γαλήνης μακάριε.

Ὄ'Νυξι, σιδηροῖς σου τὰ σπλάγχνα κατέξανεν, ἀνηλεῶς ὁ διώκτης· ἀλλ' αὐτὸς εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα, μετὰ δόξης, ἐναπέθου παμμάκαρ ἀοίδιμε. Θεοτοκίον.

Ὦ Θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέχοντα, ἀπειραίδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Κοντάκ. ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἡ Παρθένος σήμερον, καὶ Θεοτόκος Μαρία, ἡ παστὰς ἡ ἄληκτος, τοῦ Οὐρανίου Νυμφίου, τίκτεται ἀπὸ τῆς Στείρας θεοβουλήτως, ὄχημα τοῦ Θείου Λόγου εὐτρεπισθῆναι· εἰς τοῦτο γὰρ καὶ προωρίσθη, ἡ Θεία Πύλη, καὶ Μήτηρ τῆς ὄντως ζωῆς. Ὁ Οἶκος.

Ἡ Στειρευούσῃ καρπὸς ἐδόθη ἡ Θεόπαις Μαρία, ἣν προεῖδον ποτὲ Θεῖοι Προφῆται ἐν Πνεύματι. ταύτην ἡμεῖς σήμερον ὁρῶντες ἐν τοῖς κόλποις τῆς Ἄννης σκιρτῶσαν, σὺν τῷ πιστῷ Ἰωακεὶμ, νοητῶς πρὸς ἑστίασιν συνέλθωμεν, καὶ τοὺς πόῤῥω καλέσωμεν, λέγοντες· τοῦ Κόσμου νοῦ ἡ ἀνάκλησις, οὗ ἀκάρπου γαστρὸς ἀνεβλάστησεν, ἡ Θεία Πύλη, καὶ Μήτηρ τῆς ὄντως ζωῆς.

Τῷ αὐτῷ Μηνὶ Ζ'. Μνήμη τοῦ Ἁγίου Μάρτυρος Σώζοντος.

ξι. Ἀντεῖχε Σώζων σώματος πρὸς αἰκίας, Πρὸς τὸν μόνον σώζοντα τὴν ψυχὴν βλέπων. Ἑβδομάτῃ θανὲ Σώζων τυπτόμενος χρόα λαμπρόν.

Οὗτος

Οὗτος ἐκ Λυκαόνων ὁρμώμενος, καὶ Ποιμὴν προβάτων γεγονὼς, ἐπεὶ τοῦ Ἁγίου Βαπτίσματος ἠξιώθη, εἰσελθὼν ἐν τῷ Ναῷ, ἐν ᾧ ἵστατο ἄγαλμα ἐκ χρυσοῦ καὶ ἀργύρου κατεσκευασμένον, ὑπὸ Μαξίμου τῆς Κιλίκων ἡγεμονεύοντος, τούτου τὴν δεξιὰν χεῖρα διακλάσας, καὶ πωλήσας, τὸ τίμημα παρέσχε τοῖς πένησιν. ὅθεν ὁ τοῦ τόπου Ἡγεμὼν πολλοὺς ἐξ ὑπονοίας τιμωρούμενος, ὁ Ἅγιος ἑαυτὸν κατεμηνύσε. καὶ αὐτίκα τύπτεται σφοδρῶς, καὶ ὑποδήμασι σιδηροῖς ὑποδεθεὶς, ἠναγκάζετο τρέχειν. καὶ αὖθις ἐπὶ τοσοῦτον βάκλοις τύπτεται, ὥστε τὰ ὀστᾶ τοῦ σώματος αὐτοῦ καταθραυσθῆναι, καὶ τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ παραδοῦναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Ἀποστόλων Εὐόδου, καὶ Ὀνησιφόρου.

Ὁ Ἅγιος Ἀπόστολος Εὔοδος, γενόμενος ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ μετὰ Πέτρον Ἐπίσκοπος, ἐν ταῖς Ἐπιστολαῖς τοῦ μακαρίου ἀναφέρεται Παύλου. μεγάλως ἐν τοῖς Ἑβδομήκοντα ἀριστεύσας, καὶ Κήρυξ διαπρύσιος γεγονὼς τοῦ Λόγου. τὸν δὲ Ὀνησίφορον, ὃν ἐν τῇ πρὸς Τιμόθεον Ἐπιστολῇ ὁ Ἀπόστολος παρεισάγει, Κολοφωνίας Ἐπίσκοπον εὕρομεν γεγονότα, δεξιὸν ἐν τοῖς λόγοις καὶ ἀλκιμώτατον μέχρις αἵματος αὐτοῦ, τὴν Πίστιν κρατυνάντα· οὗτος ἐν τῷ χορῷ τῶν Κηρύκων σὺν τῷ Ἀποστόλῳ Εὐόδῳ αὐλίζεται ἐν ταῖς ἐπουρανίαις σκηναῖς.

Ὁ Ἅγιος Στέφανος Πάπας Ῥώμης, ξίφει τελειοῦται.

ξ. Τμηθεὶς Στέφανος θεῖον ἥρπασε στέφος, Πάπας μὲν ὢν πρὶν, νῦν δὲ καὶ Μάρτυς μέγας.

Οὗτος ἦν ἐπὶ Οὐαλλεριανοῦ καὶ Γαληΐνου τῶν Βασιλέων. πολλοὺς δὲ κατηχήσας καὶ βαπτίσας, καὶ πρὸς τὸ μαρτύριον ὑπαλείψας. διὸ καὶ αὐτὸς συλληφθεὶς ὑπὸ τοῦ Ἡγεμόνος, καὶ σφόδρα αἰκισθεὶς, τὴν κεφαλὴν ἀφαιρεῖται.

Ὁ Ἅγιος Εὐψύχιος, ξίφει τελειοῦται.

ξ. Εὔψυχος Εὐψύχιος ἦν πρὸς τὸ ξίφος, Χαίρων ὅτι πλάσαντι τὴν ψυχὴν θύει.

Οὗτος γέννημα καὶ θρέμμα ὑπῆρχε τῆς Καισαρέων πόλεως, τῶν Ῥωμαίων βασιλεύοντος Ἀδριανοῦ τοῦ Πατρὸς αὐτοῦ τὸν βίον ἀπολειπόντος, αὐτὸς βαπτισθεὶς, καὶ πάντα τὰ προσόντα τοῖς πτωχοῖς διανείμας, παρὰ τοῦ Καππαδοκάρχου συλλαμβάνεται, καὶ ξέεται τὰς πλευρὰς, καὶ φρουρεῖται. Ἀγγέλου δὲ ἐπιστασίᾳ ἀναῤῥωσθεὶς, αὖθις ἀναρτᾶται, καὶ ξέεται σφοδρῶς, καὶ τελευταῖον τὴν κεφαλὴν ἀποτέμνεται. λέγεται δὲ αὐτὶ αἵματος, γάλα καὶ ὕδωρ ῥυῆναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Τελεῖται ἡ κοίμησις τοῦ Ὁσίου Λουκᾶ, τοῦ ἐκ τῆς Λυκαόνων Ἐπαρχίας, τρίτου δὲ Ἡγουμένου τῆς Μονῆς τοῦ Σωτῆρος, τῆς ἐπιλεγομένης Βαθέος Ῥύακος.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις ὁ Θεὸς, ἐλέησον, καὶ σῷσον ἡμᾶς.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Τὠακείμτε καὶ Ἄννα μακαρίζονται, ἀποκυήσαντες, τὴν μακαρίαν σαφῶς, Ἁγνὴν Θεομήτορα, τὴν τὸν μακάριον, Λόγον τέξασαν, τὸν μακαρίους ἅπαντας, τοὺς πιστοὺς ἀποτελοῦντα.

Δῶρον τίμιον ἐκτήσαντό σε Πάναγνε, οἱ σοὶ Γεννήτορες, τὴν συλλαβοῦσαν Θεὸν, τὸν καταπλουτίσαντα, δωρεαῖς κρείττοσι, τοὺς κραυγάζοντας· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Οἱ μασθοίσου ὑπὲρ οἶνον ἀγαθώτατοι, Ἄννα Θεόκλητε, ὅτι μασθοῖς ἀγαθοῖς, τὴν τὸν ἀγαθώτατον Λόγον θηλάσασαν, σὺ ἐθήλασας, τὸν χορηγὸν τοῦ γάλακτος, καὶ πνοῆς τροφέα πάσης.

Ἐκίρτα κροῦε τὴν κινήραν σου θεόπνευστε, Δαβὶδ καὶ χόρευε. ἡ κιβωτὸς γὰρ ἰδοὺ, ἦν πάλαι προήγγειλας, ἐκ στειρευούσης γαστρὸς, προελήλυθε, τῷ Βασιλεῖ τῆς Κτίσεως, καὶ Θεῷ τετηρημένη.

Ἄλλος. Ἐν τῇ καμίνῳ.

Ἐν τῇ καμίνῳ τῶν ἀλγεινῶν βασανῶν, Μάρτυς βληθεὶς, δρόσον ἐκ Θεοῦ ἐδέξω ὑπομονῆς, εὐχαρίστως τε ἐκραύγαζες· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Ἐκλαμπροτέραν παντὸς χρυσίου, ἔχων ψυχὴν, θῦσαι χρυσοτεύκτῳ Μάρτυς Θεῷ, καὶ ἀψύχῳ οὐ προήρησαι. σεαυτὸν θυσίαν δὲ, εὐωδεστάτην Θεῷ τέθυκας.

Ποιμὴν ὁ μέγας ποιμένα ὄντως προβάτων σε, Μάρτυς ὡς ἀρνίον ἄμωμον τῇ αὐτοῦ, ἀπλανεῖ Ποίμνῃ συνέταξε, λύκοις ἀνάλωτον, τοῖς νοητοῖς σε δείξας πανεύφημε.

Θεοτοκίον.

Ὁ τοῦ Ὑψίστου ἡγιασμένον Θεῖον σκηνώμα, χαῖρε. διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Κινήσωμεν γλῶτταν ὑμνῳδίας, τὸ Θεῖον Γενέθλιον γεραίροντες, τῆς τὸν ὑπερύμνητον, Λόγον καὶ ὑπέρθεον, σωματωσάσης Πνεύματι, καὶ ἀνακράξωμεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Οἱ θεῖοι σκιρτήσατε Προφῆται, τιμῶντες Παρθένου τὸ Γενέθλιον. αὕτη γὰρ ἐπλήρωσε, πάντα τὰ κηρύγματα, τὸν ὑφ' ὑμῶν δηλούμενον, ἀποκυήσασα, Χριστὸν τὸν τοῦ παντὸς Βασιλέα· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐήξατε τὰ Ὄρη εὐφροσύνην, Ἀπόστολοι Μάρτυρες χορεύσατε· Ὅσιοι καὶ Δίκαιοι, νῦν ἀγαλλιάσθητε, τῷ Γενεθλίῳ σήμερον, τῆς τοῦ Κυρίου Μητρός· τὸν Κύριον ὑμνεῖτε βοῶντες, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἔνθησε τὸ μῆλον τὸ εὐῶδες, τὸ ῥόδον τὸ Θεῖον πεφανέρωται, καὶ κατευωδίασε, σήμερον τὰ πέρατα, καὶ τὸ δυσῶδες ἔπαυσε, τῆς ἁμαρτίας ἡμῶν, ἡ Πάναγνος καὶ Μήτηρ τοῦ Λόγου· ἣν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐτειρεύουσα φύσις τῶν ἀνθρώπων, σεπτῶν χαρισμάτων Θείου Πνεύματος, σήμερον εὐφρανθῆτι, στεῖρα τὴν Θεόπαιδα, ἀποτεχθεῖσαν βλέπουσα, καὶ ἀναβόησον· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Χεῖρας ἐκπετάσας.

Χεῖρα χρυσοτεύκτου ἀφελὼν, Σοφὲ ἱδρύματα, πένησι δέδωκας, τὸν ἀδαπάνητον ἔνδοξε, σεαυτῷ περιποιούμενος, τοῦ μαρτυρίου ἀληθῶς, πλοῦτον ἀοίδιμε· εὐλογεῖτε κράζων, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σαρκὶ τῷ ἀσάρκῳ συμπλακεὶς, τῇ συμμαχίᾳ Χριστοῦ, τοῦτον κατέβαλες. βραβεῖον ὅθεν σοι ἔνδοξε, τῶν θαυμάτων τὴν ἐνέργειαν αὐτὸς παρέχετο. πρὸς ὃν, χαίρων ἐκραύγαζες· εὐλογεῖτε πάντα τὰ ἔργα.

Ἀνοίξας ἐπλήρωσας σαυτοῦ, τὸ στόμα Πνεύματος, Σώζων πανεύφημε. ἐχθρῶν δὲ στόματα ἔπλησας, βλασφημούντων τὸν ποιήσαντα, πάσης αἰσχύνης· καὶ Χριστῷ, χαίρων ἐκραύγαζες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ. σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Ἴδε τοῦ Θεοῦ, ὁ τόπος ὁ ἅγιος προφανῶς δέδεικται. Πόλις ἡ περίδοξος, τοῦ Βασιλέως ἀνῳκοδόμηται. ὁ φωταυγὴς Παράδεισος, φαιδρῶς ἐξηνύθησε· Παραδείσου, πρόξενος ὑπάρχουσα, πρὸς Χριστόν τε ἀνθρώπων οἰκείωσιν.

Ὤφθη ἡ λαμπὰς, λυχνία τε σήμερον ἡ χρυσαυγίζουσα, φῶς τὸ προαιώνιον, ἐν ᾗ οἰκῆσαν, τοὺς ἐν νυκτὶ τῶν δεινῶν, καταφωτίσει παύσειτε, τῆς ἀθείας ἀχλύν. καὶ ἡμέρας, πάντας ἀπεργάσεται, κοινωνοὺς ἀληθῶς διὰ Πίστεως.

Σήμερον ἡ γῆ, χορεύει τὸν νέον γάρ, Οὐρανὸν ἔβλεψε, Θεοῦ τὸν τερπνότατον, ἀποτεχθέντα. ἐν ᾧ οἰκήσας σαρκὶ, τῶν Οὐρανῶν ἐπέκεινα, ἀναβιβάσει βροτούς. καὶ θεώσει πάντας ἀγαθότητι. ὃν ὑμνοῦντες, πιστῶς μεγαλυνόμεν.

Ἡ Περικαλὴς, δυὰς ἀνεβλάστησεν, Ἄννα καὶ Ἰωακεὶμ, Δάμαλιν τὴν ἄσπιλον, ἐξ οὗ ὁ Μόσχος ὁ σιτευτὸς προελθὼν, ὑπὲρ τοῦ Κόσμου τέθυται, αἴρων τὰ πταίσματα, τῶν ἀνθρώπων, τὰς προσαγομένας τε, καταπαύων θυσίας τοῖς δαίμοσι.

Φώτισον ἡμᾶς, τὸ Φῶς ἡ κυήσασα, τοὺς τὴν φωσφόρον σου, Γέννησιν ἐν Πνεύματι, Θεογεννῆτορ πανηγυρίζοντας. καὶ τοῦ φωτὸς τοῦ μέλλοντος, δεῖξον Ἁγνὴ κοινωνούς. καὶ εἰρήνην, βράβευσον καὶ λύτρωσιν, τῶν δεινῶν μητρικαῖς ἱκεσίαις σου.

Ἄλλος. Λίθος ἀχειρότμητος.

Λίθος ἐκλεκτὸς ἀνεδείχθης, Χριστοῦ τοῦ ἀκρογονιαίου, Μάρτυς κυλιόμενος ἐν γῇ, καὶ τὸ τῆς πλάνης λύων ὀχύρωμα. τὰς τῶν πιστῶν καρδίας δὲ, ἑδραιοτέρας ἐργαζόμενος.

Ῥεῖ-

Ἐϊθρόν σε ζωῆς κεκτημένη, ἡ τοῦ Χριστοῦ νῦν Ἐκκλησία, αἵμασιν ὡς νάμασι τοῖς σοῖς, καταρδευθεῖσα Μάρτυς τῶν ἄθλων σου, καὶ τῶν θαυμάτων πάντοτε, τῇ εὐπρεπείᾳ ὡραΐζεται.

Ὑπὲρ ἀμοιβὴν τῶν ἀγώνων, καὶ τῶν θαυμάτων σου θεόφρον, τὴν τῶν Οὐρανῶν Βασιλείαν, ἐν ᾗ τῶν πίστει ἐπιτελούντων σου, τὸ ἱερὸν μνημόσυνον, Σώζων μνημόνευε πανεύφημε.

Θεοτοκίον.

Σειρὰς τῶν ἐμῶν νῦν πταισμάτων, λύσον Παρθένε Θεοτόκε, ἡ τῆς εὐσπλαγχνίας τὴν πηγὴν, τεκοῦσα μόνη Θεοχαρίτωτε. καὶ θυμηδίας ἔμπλησον, ὅπως ἀξίως, μεγαλύνω σε.

Ἑξαποστειλ. Πρὸς τὸ, Γυναῖκες ἀκουτίσθητε.

Ὦ ὅπλῳ τοῦ τιμίου σου, Σταυροῦ θωρακισάμενος, ὁ Ἀθλοφόρος σου Λόγε, τὰς ἐναντίας δυνάμεις, στερρῶς ὑπερενίκησε, καὶ τοὺς τυραννοὺς ᾔχυνε, καὶ ὑπὲρ σοῦ ἐνήθλησε, καὶ σοὶ Χριστέ μου Παντάναξ, συμβασιλεύει ἀπαύστως.

Ἕτερον τῆς Θεοτόκου. Τοῖς Μαθηταῖς.

Ἀγάλλου Κτίσις ἅπασα, τὴν χαρὰν αἰσθομένη, ἐξ Ἄννης τῆς Θεόφρονος, ἥτις λέγεται Χάρις, Ἰωακείμ τε τοῦ Θείου, τίκτεσθαι παρ' ἐλπίδα, Μαρίαν τὴν πανάχραντον, καὶ ἁγνὴν Θεοτόκον. ἧς ὁ καρπὸς, σωτηρία γέγονε τοῖς ἀνθρώποις, Χριστὸς ὁ σαρκωθεὶς Θεὸς, ἐξ αὐτῆς ἀπορρήτως.

Εἰς τὸν ξι. ξι. προσόμοια, ἦχος β'.

Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε οἱ ἐξ Ἀδὰμ, τὴν ἐκ Δαβὶδ φυεῖσαν, καὶ τὸν Χριστὸν τεκοῦσαν, ὑμνήσωμεν Παρθένον, Μαρίαν τὴν πανάχραντον.

ξι. Ἄκουσον Θύγατερ.

Αἶνον τῷ λυτρωτῇ, προσάξωμεν Κυρίῳ, τῷ ἐκ τῆς στείρας δόντι, ἡμῖν τὴν Θεοτόκον, καὶ μόνην Ἀειπάρθενον.

ξι. Τὸ πρόσωπόν σου.

Σήμερον ἡ χαρὰ, πάσης τῆς Οἰκουμένης, στειρωτικῆς ἐκ Μήτρας, γεννᾶται παραδόξως, ἡ Μήτηρ τοῦ Κυρίου μου.

Δόξα, καὶ νῦν. ἦχος β'.

Ἡ Προορισθεῖσα Παντάνασσα Θεοῦ κατοικητήριον, ἐξ ἀκάρπου σήμερον νηδύος προῆκται τῆς Ἄννης ἠγλαϊσμένης, τῆς αἰδίου Οὐσίας τὸ θεῖον τέμενος. δι' ἧς ἰταμὸς ᾅδης καταπεπάτηται, καὶ παγγενῆ Εὔα ἐν ἀσφαλεῖ ζωῇ εἰσοικίζεται. ταύτῃ ἐπαξίως ἐκβοήσωμεν· μακαρία σὺ ἐν γυναιξὶ, καὶ ὁ καρπὸς τῆς κοιλίας σου εὐλογημένος.

Ἰστέον, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας σχολάζουσι τὰ Μεσώρια, καὶ ὁ ἱκετήριος Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Ἀποδείπνοις, ἕως τῆς κβ'. τοῦ αὐτοῦ Μηνός. Ὅτι ἐν αἷς ἡμέραις ψάλλεται ἡ Ἑορτὴ τῆς Θεοτόκου, ἢ τοῦ τιμίου Σταυροῦ, οὐ ψάλλεται οὔτε Μεσώριον, οὔτε Κανὼν ἱκετήριος.

Μηνὶ τῷ αὐτῷ Η'.

Τὸ Γενέσιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

Δεῖ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ παροῦσα Ἑορτὴ ἐν Κυριακῇ, ἀλλὰ δὴ καὶ πᾶσαι τῆς Θεοτόκου αἱ Ἑορταὶ, προηγοῦνται τὰ Ἀναστάσιμα. οὐ μέν τοι λέγεται Εὐαγγέλιον Ἑωθινὸν, ἀλλὰ καὶ Προκείμενον καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς. ὁμοίως καὶ εἰς τὴν Εἴσοδον, καὶ εἰς τὴν Ὑπαπαντὴν, καὶ εἰς τὴν Κοίμησιν, ὡς δὲ καὶ εἰς τὸν Εὐαγγελισμὸν, κἂν οἵᾳ τύχῃ Κυριακῇ τῆς Τεσσαρακοστῆς. Ἄνευ μέν τοι τῆς Κυριακῆς τῶν Βαΐων. τότε γὰρ ἀλλάσσει καὶ τὸ Προκείμενον, καὶ τὸ Εὐαγγέλιον πρὸς τὴν Ἑορτήν.

Τὸ δὲ Προκείμενον ἐστί.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

ξι. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ, ἱστῶμεν ξι. δ'. καὶ ψάλλομεν ξι. προσόμοια, ἦχος α'.

Τῶν Οὐρανίων Ταγμάτων.

Ἰωακεὶμ καὶ ἡ Ἄννα πανηγυρίζουσι, τὴν ἀπαρχὴν τεκόντες, τῆς ἡμῶν σωτηρίας, τὴν μόνην Θεοτόκον. οἷς καὶ ἡμεῖς, συνεορτάζομεν σήμερον, τὴν ἐκ τῆς ῥίζης ἐκείνης τοῦ Ἰεσσαὶ, μακαρίζοντες Παρθένον ἁγνήν.

Ἐξ Ἄννης σήμερον ἄνθος, φυτὸν θεόσδοτον, ἡ Θεοτόκος ἔφυ, σωτηρία ἀνθρώπων. ἐξ ἧς ὁ τῶν ἁπάντων Δημιουργὸς, γεννηθεὶς ὑπὲρ εὔνοιαν, τὴν τοῦ Ἀδὰμ ἐκκαθαίρει ὡς ἀγαθὸς, πᾶσαν λύμην ἀγαθότητι.

Η' Θεο-

Ἡ Θεοχώρητος Κόρη, καὶ Θεοτόκος ἁγνὴ, τῶν Προφητῶν τὸ κλέος, τοῦ Δαβὶδ ἡ Θυγάτηρ, σήμερον γεννᾶται ἐξ Ἰωακεὶμ, καὶ τῆς Ἄννης τῆς σώφρονος, καὶ τοῦ Ἀδὰμ τὴν κατάραν τὴν εἰς ἡμᾶς, ἀνακαλεῖται ἐν τῷ τόκῳ αὐτῆς.

Ἡ Πρώην ἄγονος χώρα, γῆν καρποφόρον γεννᾷ. καὶ ἐξ ἀκάρπου μήτρας, καρπὸν ἅγιον δοῦσα, γάλακτι ἐκτρέφει. θαῦμα φρικτόν· ἡ τροφὸς τῆς ζωῆς ἡμῶν, ἡ τὸν Οὐρανίον ἄρτον ἐν τῇ γαστρὶ, δεξαμένη γαλουχεῖται μαζῷ.

Δόξα, καὶ νῦν. ἦχος β'.

Δεῦτε φιλοπάρθενοι πάντες, καὶ τῆς ἁγνείας ἐρασταὶ, δεῦτε ὑποδέξασθε πόθῳ, τῆς παρθενίας τὸ καύχημα, ἐκ πέτρας βλυστάνουσαν στερεᾶς, τὴν πηγὴν τῆς ζωῆς. καὶ ἐκ τῆς ἀτεκνούσης τὴν βάτον τοῦ αὐλοῦ πυρὸς, τοῦ καθαίροντος, καὶ φωτίζοντος τὰς ψυχὰς ἡμῶν.

Ἀποστ. ζ. ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὄνος Ἰωακεὶμ, καὶ Ἄννης, ἡ Παρθένος, ἐφάνη τοῖς ἀνθρώποις, τῶν δεσμῶν ἀφιεῖσα, τῆς ἁμαρτίας ἅπαντας.

ζ. Ἄκουσον Θύγατερ, καὶ ἴδε.

Ὄρος ὡς ἀληθῶς, κατάσκιον ἐδείχθη, ἡ στείρωσις τῆς Ἄννης, ἐξ οὗ ἡ σωτηρία, πᾶσι πιστοῖς δεδώρηται.

ζ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Ἠΐξασα τὰ δεσμὰ, στειρώσεως τῆς Ἄννης, ἡ πάναγνος Παρθένος, προῆλθε τοῖς ἀνθρώποις, τὴν ἄφεσιν βραβεύουσα.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ὦμεν οἱ Πιστοὶ, δοξάζοντες τὴν Κόρην. ἐτέχθη γὰρ ἐκ στείρας, τὴν στειρωθεῖσαν φύσιν, ἡμῶν ἀνακαινίζουσα.

Τροπάριον, ἦχος δ'.

Ἡ Γέννησίς σου Θεοτόκε Παρθένε, χαρὰν ἐμήνυσε πάσῃ τῇ Οἰκουμένῃ. ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς Δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν. καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν, καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Μετὰ τὸν Προοιμιακὸν, τὸ, Μακάριος ἀνὴρ, τὸ α'. Ἀντίφωνον. εἰδὲ τύχῃ Κυριακῇ, στιχολογοῦμεν καὶ τὸ ἐπίλοιπον. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ζ. ἡ. καὶ ψάλλομεν τὰ παρόντα Ἰδιόμ. Δεύτεροῦντες τὰ δύο, ἦχος π. β'. Σεργίου.

Σήμερον ὁ τοῖς νοεροῖς Θρόνοις, ἐπαναπαυόμενος Θεὸς, Θρόνον ἅγιον ἐπὶ γῆς ἑαυτῷ προητοίμασεν. ὁ στερεώσας ἐν σοφίᾳ τοὺς Οὐρανοὺς, Οὐρανὸν ἔμψυχον, ἐν φιλανθρωπίᾳ κατεσκεύασεν. ἐξ ἀκάρπου γὰρ ῥίζης, φυτὸν ζωηφόρον ἐβλάστησεν ἡμῖν τὴν Μητέρα αὐτοῦ, ὁ τῶν θαυμασίων Θεὸς, καὶ τῶν ἀνελπίστων ἐλπὶς, Κύριε δόξα σοι.

Ὁ αὐτός.

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί. ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφὼν, καὶ ἡ Βίβλος τοῦ Λόγου τῆς ζωῆς ἐκ γαστρὸς προελήλυθε. καὶ ἡ κατὰ Ἀνατολὰς Πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον, τοῦ Ἱερέως τοῦ μεγάλου. μόνη, καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν Οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

Εἰ καὶ Θείῳ βουλήματι, περιφανεῖς στεῖραι Γυναῖκες ἐβλάστησαν, ἀλλὰ πάντων ἡ Μαρία τῶν γεννηθέντων, θεοπρεπῶς ὑπερέλαμψεν. ὅτι καὶ ἐξ ἀγόνου παραδόξως τεχθεῖσα Μητρὸς, ἔτεκεν ἐν σαρκὶ, τὸν ἁπάντων Θεὸν, ὑπὲρ φύσιν ἐξ ἀσπόρου γαστρός. ἡ μόνη Πύλη, τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. ἣν διελθὼν, κεκλεισμένην διεφύλαξε, καὶ πάντα σοφῶς οἰκονομήσας, ὡς εἶδεν αὐτὸς, πᾶσι τοῖς ἀνθρώποις, σωτηρίαν ἀπειργάσατο. Ὁ αὐτός.

Στεφανοῦ Ἁγιοπολίτου.

Σήμερον στειρωτικαὶ πύλαι ἀνοίγονται, καὶ Πύλη παρθενικὴ, θεία προέρχεται. σήμερον καρπογονεῖν ἡ χάρις ἀπάρχεται, ἐμφανίζουσα τῷ Κόσμῳ Θεοῦ Μητέρα· δι' ἧς τὰ ἐπίγεια τοῖς Οὐρανοῖς συνάπτεται, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Σήμερον τῆς παγκοσμίου χαρᾶς τὰ προοίμια. σήμερον ἔπνευσαν αὖραι, σωτηρίας προάγγελοι. ἡ τῆς φύσεως ἡμῶν διαλέλυται στείρωσις. ἡ γὰρ Στεῖρα, Μήτηρ δείκνυται, τῆς παρθενευούσης μετὰ τόκον τοῦ Κτίσαντος. ἐξ ἧς τὸ ἀλλότριον οἰκειοῦται ὁ φύσει Θεὸς, καὶ τοῖς πλανηθεῖσι διὰ σαρκὸς σωτηρίαν ἀπεργάζεται. Χριστὸς ὁ φιλάνθρωπος, καὶ λυτρωτὴς τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐ-

Ο αὐτός.

Ἡμέρον ἡ Στεῖρα Ἄννα, τίκτει Θεόπαιδα, τιμὴ ἐκ πασῶν τῶν γενεῶν προεκλεχθεῖσαν, εἰς κατοίκησιν τῷ Παμβασιλεῖ, καὶ Κτίσῃ Χειρῷ τῷ Θεῷ, εἰς ἐκπλήρωσιν τῆς Θείας Οἰκονομίας· δι' ἧς ἀνεπλάσθημεν οἱ γηγενεῖς, καὶ ἀνεκαινίσθημεν ἐκ τῆς φθορᾶς, πρὸς ζωὴν τὴν ἄληκτον.

Δόξα, καὶ νῦν. ὁ αὐτός. Σεργίου.

Ἡμέρον ὁ τοῖς Νοεροῖς Θρόνοις ἐπαναπαυόμενος Θεὸς, θρόνον ἅγιον ἐπὶ γῆς ἑαυτῷ προητοίμασεν. ὁ σεμνύνας ἐν σοφίᾳ τοὺς Οὐρανοὺς, Οὐρανὸν ἔμψυχον, ἐν φιλανθρωπίᾳ κατεσκεύασεν. Ἐξ ἀκάρπου γὰρ ῥίζης, φυτὸν ζωηφόρον, ἐβλάστησεν ἡμῖν τὴν Μητέρα αὐτοῦ, ὁ τῶν θαυμασίων Θεὸς, καὶ τῶν ἀνελπίστων ἐλπὶς, Κύριε δόξα σοι.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Κεφ. κα'. 10. Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ Ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρράν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ Ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλαίωμα αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν Οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτήν. Ὁ δὲ Κύριος ἐπεστήριχτο ἐπ' αὐτῆς, καὶ εἶπεν· Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ Πατρός σου, καὶ ὁ Θεὸς Ἰσαὰκ, μὴ φοβοῦ. Ἡ γῆ, ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου, ὡς ἡ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν, καὶ Λίβα, καὶ Βορρᾶν, καὶ ἐπὶ Ἀνατολάς. καὶ ἐνδλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, ὅ ἐὰν πορευθῇς. Καὶ ἀποστρέψωσε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ἤδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος· Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ Πύλη τοῦ Οὐρανοῦ.

Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.

Κεφ. μγ'. 27 Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης, καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τῶν σωτηρίων ὑμῶν. καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος, Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς Πύλης τοῦ Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ Ἀνατολάς· καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ Πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς. Ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς· Καὶ ἔσται κεκλεισμένη· διότι ὁ Ἡγούμενος αὐτὸς κάθηται ἐπ' αὐτῆς, τοῦ φαγεῖν ἄρτον. κατὰ τὴν ὁδὸν τοῦ Ἐλὰμ τῆς Πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς Πύλης τῶν Ἁγίων τῆς πρὸς Βορρᾶν κατέναντι τοῦ οἴκου. Καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. θ'. 1. Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρετησε σύλας ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τὰς ἑαυτῆς δούλας συγκαλέσασα μετ' ὑψηλοῦ κηρύγματος, ἐπὶ κρατῆρα λέγουσα· Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. Ἀπολείπετε ἀφροσύνην, καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακοὺς, λήψεται ἑαυτῷ ἀτιμίαν. Ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ. Μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε. Ἔλεγχε σοφὸν, καὶ ἀγαπήσα σε. Δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας, φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις. Τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. Τούτῳ γὰρ τῷ τρόπῳ, πολὺν ζήσας χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Εἰς τὴν Λιτὴν, Γ' διόμελα, ἦχος α'.

Σταφανὰ Ἁγιοπολίτου.

Ἡ Ἀπαρχὴ τῆς ἡμῶν σωτηρίας, λαοὶ, σήμερον γέγονεν. ἰδοὺ γὰρ ἡ προοιμιασα-

σα

σα ἀπὸ γενεῶν ἀρχαίων, Μήτηρ καὶ Παρθένος, καὶ δοχεῖον Θεοῦ, ἐκ στείρας γεννηθῆναι προέρχεται, ἄνθος ἐκ τοῦ Ἰεσσαὶ, καὶ ἐκ τῆς ῥίζης αὐτοῦ ῥάβδος ἐβλάστησεν. εὐφραινέσθω Ἀδὰμ ὁ Προπάτωρ, καὶ Εὔα ἀγαλλιάσθω χαίρουσα. ἰδοὺ γὰρ ἡ οἰκοδομηθεῖσα ἐκ πλευρᾶς τοῦ Ἀδὰμ, τὴν Θυγατέρα καὶ ἀπόγονον, μακαρίζει ἐμφανῶς. ἐτέχθημοι γάρ φησιν λύτρωσις, δι' ἧς ἐκ τῶν δεσμῶν τοῦ ᾅδου ἐλευθερωθήσομαι. ἀγαλλιάσθω ὁ Δαβὶδ κρούων τὴν κινήραν, καὶ εὐλογείτω τὸν Θεόν. ἰδοὺ γὰρ ἡ Παρθένος πρόεισιν ἐκ πέτρας ἀγόνου, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Δεῦτε φιλοπάρθενοι πάντες, καὶ τῆς ἁγνείας ἐρασταὶ, δεῦτε ὑποδέξασθε πόθῳ, τῆς παρθενίας τὸ καύχημα, ἐκ πέτρας βλυστάνουσαν στερεᾶς, τὴν πηγὴν τῆς ζωῆς. καὶ ἐκ τῆς ἀτεκνούσης, τὴν Βάτον τοῦ ἀΰλου πυρὸς, τοῦ καθαίροντος, καὶ φωτίζοντος τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Ἀνατολίου.

Ἵς ὁ ἦχος τῶν ἑορταζόντων γίνεται; Ἰωακεὶμ καὶ Ἄννα πανηγυρίζει μυστικῶς. συγχάρητέ μοι λέγοντες, Ἀδὰμ καὶ Εὔα σήμερον, ὅτι τοῖς πάλαι παραβάσει, κλείσασι Παράδεισον, καρπὸς εὐκλεέστατος ἡμῖν ἐδόθη, ἡ Θεόπαις Μαρία, ἀνοίγουσα τούτοις πᾶσι τὴν εἴσοδον.

Ὁ αὐτός.

Ἡ Προορισθεῖσα Παντάνασσα, Θεοῦ κατοικητήριον, ἐξ ἀκάρπου σήμερον νυδύος προῆκται, τῆς Ἄννης ἠγλαϊσμένης, τῆς ἀϊδίου οὐσίας τὸ θεῖον τέμενος. δι' ἧς ἰταμὸς Ἅδης καταπεπάτηται, καὶ παγγενῆ Εὔα ἐν ἀσφαλεῖ ζωῇ εἰσοικίζεται. ταύτῃ ἐπαξίως ἐκβοήσωμεν. μακαρία σὺ ἐν γυναιξὶ, καὶ ὁ καρπὸς τῆς κοιλίας σου εὐλογημένος.

Δόξα, καὶ νῦν. ἦχος πλ.

Σεργίου Ἁγιοπολίτου.

Ἐν εὐσήμῳ ἡμέρᾳ Ἑορτῆς ἡμῶν, σαλπίσωμεν πνευματικῇ κιθάρᾳ. ἡ γὰρ ἐκ σπέρματος Δαβὶδ σήμερον τίκτεται, ἡ Μήτηρ τῆς ζωῆς, τὸ σκότος λύουσα, τοῦ Ἀδὰμ ἡ ἀνάπλασις, καὶ τῆς Εὔας ἡ ἀνάκλησις, καὶ τῆς ἀφθαρσίας ἡ πηγὴ, τῆς φθορᾶς ἀπαλλαγὴ, δι' ἧς ἡμεῖς ἐθεώθημεν, καὶ τοῦ θανάτου ἐλυτρώθημεν. καὶ βοήσωμεν αὐτῇ σὺν τῷ Γαβριὴλ οἱ Πιστοί· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. διὰ σοῦ χαριζόμενος ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν ξι. ξι. Ἰδιόμ. ἦχος δ'.

Γερμανοῦ Πατριάρχου.

Ἡ Παγκόμιος χαρὰ, ἐκ τῶν δικαίων ἀνέτειλεν ἡμῖν, ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἡ πανύμνητος Παρθένος. ἥτις δι' ὑπερβολὴν ἀγαθότητος, Ναὸς Θεοῦ ἔμψυχος γίνεται, καὶ μόνη κατὰ ἀλήθειαν Θεοτόκος γνωρίζεται. αὐτῆς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, τῷ Κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ξι. Ἄκουσον Θύγατερ, καὶ ἴδε.

Δι' Ἀγγέλου προῤῥήσεως, γόνος πάνσεπτος, ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης τῶν Δικαίων, σήμερον προῆλθες Παρθένε. Οὐρανὸς καὶ Θρόνος Θεοῦ, καὶ δοχεῖον καθαρότητος, τὴν χαρὰν προμηνύουσα παντὶ τῷ Κόσμῳ· τῆς ζωῆς ἡμῶν πρόξενε. κατάρας ἀναίρεσις, εὐλογίας ἡ ἀντίδοσις. διὸ ἐν τῇ Γεννήσει σου Κόρη Θεόκλητε, τὴν εἰρήνην αἴτησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

ξι. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Στεῖρα ἄγονος ἡ Ἄννα, σήμερον χεῖρας κροτείτω φαιδρῶς· λαμπροφορείτω τὰ ἐπίγεια, Βασιλεῖς σκιρτάτωσαν, Ἱερεῖς ἐν εὐλογίαις εὐφραινέσθωσαν, ἑορταζέσθω ὁ σύμπας Κόσμος. ἰδοὺ γὰρ ἡ Βασίλισσα, καὶ ἄμωμος Νύμφη τοῦ Πατρὸς, ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαὶ ἀνεβλάστησεν. οὐκ ἔτι γυναῖκες ἐν λύπαις τέξουσι τέκνα. ἡ χαρὰ γὰρ ἐξηύθησε, καὶ ἡ ζωὴ τῶν ἀνθρώπων ἐν Κόσμῳ πολιτεύεται. οὐκ ἔτι τὰ δῶρα τοῦ Ἰωακεὶμ ἀποστρέφονται. ὁ θρῆνος γὰρ τῆς Ἄννης εἰς χαρὰν προεκρίθη, συγχάρητέ μοι λεγούσης, πᾶς ἐκλεκτὸς Ἰσραήλ. ἰδοὺ γὰρ δέδωκέ μοι Κύριος τὸ ἔμψυχον παλάτιον τῆς Θείας δόξης αὐτοῦ, εἰς κοινὴν εὐφροσύνην καὶ χαρὰν, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. ἦχος πλ.

Σεργίου Ἁγιοπολίτου.

Δεῦτε ἅπαντες Πιστοὶ, πρὸς τὴν Παρθένον δραμώμεν. ἰδοὺ γὰρ γεννᾶται ἡ πρὸ γαστρὸς προορισθεῖσα τοῦ Θεοῦ ἡμῶν Μήτηρ· τὸ τῆς παρθενίας κειμήλιον, ἡ τοῦ Ἀαρὼν βλαστήσασα ῥάβδος, ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαί. τῶν Προφητῶν τὸ κήρυγμα, καὶ

τῶν

τῶν Δικαίων, Ἰωακεὶμ καὶ Ἄννης τὸ βλάστημα. γεννᾶται τοίνυν, καὶ ὁ Κόσμος σὺν αὐτῇ ἀνακαινίζεται· τίκτεται, καὶ ἡ Ἐκκλησία τὴν ἑαυτῆς εὐπρέπειαν καταστολίζεται. ὁ Ναὸς ὁ Ἅγιος, τὸ τῆς Θεότητος δοχεῖον, τὸ Παρθενικὸν ὄργανον, ὁ Βασιλικὸς θάλαμος· ἐν ᾧ τὸ παράδοξον τῆς ἀπορρήτου ἑνώσεως, τῶν συνελθουσῶν ἐπὶ Χριστοῦ φύσεων, ἐτελεσιουργήθη Μυστήριον. ὃ προσκυνοῦντες ἀνυμνοῦμεν, τὴν τῆς Παρθένου πανάμωμον Γέννησιν.

Ἀπολυτίκιον, ἦχος δ'.

Ἡ Γέννησίς σου Θεοτόκε, χαραὶ ἐμήνυσε πάσῃ τῇ Οἰκουμένῃ. ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης Χριστὸς ὁ Θεὸς ἡμῶν. καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν. καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. ἐξαπ. κατ. ἦχ. δ'.

Κατεπλάγη Ἰωσήφ.

Ἀ Ναβόησον Δαβὶδ, τί ὤμοσέ σοι ὁ Θεὸς, ἅμοι ὤμοσε φησὶ, καὶ ἐκπεπλήρωκεν ἰδοὺ, ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον. οὗ ἧς ὁ πλαστουργὸς, Χριστὸς ὁ Νέος Ἀδὰμ, ἐτέχθη Βασιλεὺς ἐπὶ τοῦ θρόνου μου· καὶ βασιλεύει σήμερον, ὁ ἔχων τὴν Βασιλείαν ἀσάλευτον. ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Μετὰ τὴν β'. ἐξαπ. κατ. Ὅμοιον.

Ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ οὗ ὀσφύος τοῦ Δαβὶδ, ἡ Θεόπαις Μαριὰμ, τίκτεται σήμερον ἡμῖν. καὶ νεουργεῖται ἡ σύμπασα, καὶ θεουργεῖται. συγχάρητε ὁμοῦ, ὁ Οὐρανὸς καὶ ἡ Γῆ. αἰνέσατε αὐτὴν, αἱ πατριαὶ τῶν Ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Ἕτερον κατ. μετὰ τὸν Πολυέλεον, ἦχος π. δ'.

Τὸ προσαχθέν.

Ἀ Γαλλιάσθω Οὐρανὸς, γῆ εὐφραινέσθω. ὁ τοῦ Θεοῦ γὰρ Οὐρανὸς, ἐν γῇ ἐτέχθη, ἡ Θείνυμφος αὕτη οὗ ἐπαγγελίας. ἡ Στεῖρα, βρέφος θηλάζει τὴν Μαριὰμ, καὶ χαίρει ἐπὶ τῷ τόκῳ Ἰωακεὶμ, ῥάβδος λέγων ἐτέχθη μοι· ἐξ ἧς τὸ ἄνθος Χριστὸς, ἐβλάστησεν ἐκ ῥίζης Δαβὶδ. ὄντως θαῦμα παράδοξον.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Οἱ Ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τοῦ πετάρτου ἤχου. Προκείμενον, ἦχος δ'.

Μνησθήσομαι τοῦ ὀνόματός σου.

ζι. Ἐξηρεύξατο ἡ καρδία μου.

Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Λουκᾶν. Ἀναστᾶσα Μαριάμ. ὁ Ν'. Δόξα. Ταῖς τῆς Θεοτόκου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα ζι. εἰς ἦχον π. β'. Ἐλέησόν με ὁ Θεός.

Καὶ εὐθὺς τὸ παρὸν Ἰδιόμ. ἦχος π. β'.

Ἄ Υ τη ἡ ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί. ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ Νυμφὼν, καὶ ἡ Βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε. καὶ ἡ κατὰ Ἀνατολὰς Πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον τοῦ Ἱερέως τοῦ μεγάλου. μόνη, καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν Οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Οἱ Κανόνες, τοῦ Κυρίου Ἰωάννου μετὰ τῶν Εἱρμῶν εἰς ἡ. καὶ τοῦ Κυρίου Ἀνδρέου τὰ Τροπάρια, εἰς ς'. Ὁ Κανὼν τοῦ Κυρίου Ἰωάννου.

Ὠδὴ α'. ἦχος β'. Ὁ Εἱρμός.

Δ Εὖτε λαοὶ, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

Δ Εὖτε πιστοὶ, Πνεύματι Θείῳ γηθόμενοι, τὴν ἐξ ἀκάρπου σήμερον ἐπιδημήσασαν, εἰς βροτῶν σωτηρίαν, Ἀειπάρθενον Κόρην, ὕμνοις τιμήσωμεν.

Χ Αῖρε σεμνὴ, Μήτηρ καὶ δούλη Χριστοῦ τοῦ Θεοῦ, ἡ τῆς ἀρχαίας πρόξενος, μακαριότητος. τῶν ἀνθρώπων, τῷ γένει, σὲ πάντες ἐπαξίως ὕμνοις δοξάζομεν.

Ἡ Τῆς ζωῆς, τίκτεται σήμερον Γέφυρα. δι' ἧς βροτοὶ ἀνάκλησιν, τῆς καταπτώσεως, τῆς τοῦ ᾅδου εὑρόντες, Χριστὸν τὸν ζωοδότην, ὕμνοις δοξάζουσιν.

Ἕτερος Κανὼν τοῦ Κυρίου Ἀνδρέου.

Ὠδὴ α'. ἦχος π. δ'. Ὁ Εἱρμός.

Ὦ συντρίψαντι πολέμους, ἐν βραχίονι αὐτοῦ, καὶ διαβιβάσαντι, τὸν Ἰσραὴλ ἐν ἐρυθρᾷ θαλάσσῃ, ᾄσωμεν αὐτῷ, ὡς λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασται.

Χ Ορευέτω πᾶσα Κτίσις, εὐφραινέσθω καὶ Δαβὶδ, ὅτι ἐκ φυλῆς αὐτοῦ, καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ, προῆλθε ῥάβδος, ἄνθος φέρουσα τὸν Κύριον, καὶ λυτρωτὴν τοῦ παντός.

Ἡ Ἁγία τῶν Ἁγίων, ἐν Ἁγίῳ Ἱερῷ, βρέφος ἀνατίθεται, ἀνατραφῆναι ἐκ χειρὸς Ἀγγέλου. πάντες οὖν πιστῶς συνεορτάσωμεν, ἐν τῇ Γεννήσει αὐτῆς.

Ἑ Τεῖρα ἄγονος ἡ Ἄννα, ἀλλ' οὐκ ἄτεκνος Θεῷ. ἤδη γὰρ προώριστο, ἐκ γενεῶν Ἁγνῆς, Παρθένου Μήτηρ. ὅθεν ὁ τῆς Κτίσεως ἐβλάστησε Κτίστης, ἐν δούλου μορφῇ.

Ἐ Ἐ τὴν ἄσπιλον Ἀμνάδα, τὴν τὸ ἔριον Χριστῷ, μόνην ἐκ κοιλίας σου, προσαγαγοῦσαν, τὴν ἡμῶν οὐσίαν, πάντες ἐκ τῆς Ἄννης τικτομένην σε, ὕμνοις γεραίρομεν.

Δόξα.

Τρία ἄναρχα δοξάζω, τρία ἅγια ὑμνῶ, τρία συναΐδια, ἐν οὐσιότητι μιᾷ κηρύττω. εἷς γὰρ ἐν Πατρὶ Υἱῷ καὶ Πνεύματι, δοξολογεῖται Θεός. Καὶ νῦν. Θεοτοκίον.

Μίς ἑώρακε Παιδίον, ὃ οὐκ ἔσπειρε Πατὴρ, γάλακτι τρεφόμενον; ἢ πῶ τεθέαται Παρθένος Μήτηρ; ὄντως ὑπὲρ ἔννοιαν ἀμφότερα, Θεογεννῆτορ ἁγνή.

Καταβασία.

„ Ἑ Ταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἤνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Ἑ Τερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ Ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφυτεύσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Ἀ Μέμπτως τῷ Θεῷ πολιτευσάμενοι, τὴν πάντων ἐκύησαν Σωτηρίαν, οἱ Θεόφρονες Γεννήτορες, τῆς τὸν Κτίστην τεκούσης, καὶ Θεὸν ἡμῶν.

Ὁ Πᾶσι τὴν ζωὴν πηγάζων Κύριος, ἐκ στείρας προήγαγε τὴν Παρθένον. ἣν εἰσδῦναι κατηξίωσε, μετὰ τόκον φυλάξας ἀδιάφθορον.

Ἡ Ἧς Ἄννης τὸν καρπὸν Μαρίαν σήμερον, τὴν βότρυν κυήσασαν ζωηφόρον, ὡς Θετόκον ἀνυμνήσωμεν, προστασίαν τε πάντων, καὶ βοήθειαν. Εἱρμὸς ἄλλος.

„ Ἐ Στερεώθη ἡ καρδία μου ἐν Κυρίῳ· ὑψώθη κέρας μου ἐν Θεῷ μου. ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου.

Ἐ Υλογημένη ἡ κοιλία σου σώφρον Ἄννα. καρπὸν γὰρ ἤνθησε παρθενίας, τὴν ἀσπόρως τὸν Τροφέα τῆς Κτίσεως, τεκοῦσαν καὶ Λυτρωτὴν Ἰησοῦν.

Ἐ Ἐμακαρίζει Ἀειπάρθενε πᾶσα Κτίσις, οὗς Ἄννης σήμερον γεννηθεῖσαν, τὴν ἐκ ῥίζης Ἰεσσαὶ ῥάβδον ἄχραντον, τὸ ἄνθος Χριστὸν βλαστήσασαν.

Ἐ Ἐ ἀνωτέραν πάσης Κτίσεως Θεοτόκε, δεικνύων ἄχραντε ὁ Υἱός σου, τὴν οὗς Ἄννης μεγαλύνει σου Γέννησιν, καὶ πάντας εὐφραίνει σήμερον.

Ἀ Νατραφεῖσα εἰς τὰ Ἅγια τῶν Ἁγίων, Παρθένε Ἄχραντε Θεοτόκε, ἀνωτέρα ἀνεδείχθης τῆς Κτίσεως, τὸν Κτίστην σαρκὶ κυήσασα. Δόξα.

Ἐ Ἐ προσκυνοῦμεν Πάτερ ἄναρχε τῇ οὐσίᾳ, ὑμνοῦμεν ἄχρονον τὸν Υἱόν σου, καὶ τὸ Πνεῦμα συναΐδιον σέβομεν, ὡς ἕνα τὰ τρία φύσει Θεόν. Θεοτοκίον.

Ὃν Φωτοδότην, καὶ ἀρχίζων τῶν ἀνθρώπων, τεκοῦσα Ἄχραντε Θεοτόκε, ἀνεδείχθης θησαυρὸς τῆς ζωῆς ἡμῶν, καὶ πύλη τοῦ ἀπροσίτου φωτός.

Καταβασία.

Ῥ Ἄβδος εἰς τύπον, τοῦ Μυστηρίου παραλαμβάνεται. τῷ βλαστῷ καὶ προκρίνει τὸν Ἱερέα, τῇ στειρευούσῃ δὲ πρώην Ἐκκλησίᾳ, νῦν ἐξήνθησε, ξύλον Σταυροῦ εἰς κράτος καὶ στερέωμα.

Ἡ Ὑπακοὴ, ἦχος β'.

Πύλην ἀδιόδευτον ὁ Προφήτης, μόνῳ τῷ Θεῷ ἡμῶν τηρουμένην, τὴν Ἁγίαν Παρθένον ἐκάλεσε. δι' αὐτῆς διῆλθεν ὁ Κύριος, οὗς αὐτῆς προῆλθεν ὁ Ὕψιστος, καὶ πάλιν ἐσφραγισμένην κατέλιπε, λυτρούμενος ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Εἰ βούλει, εἰπὲ τὸ κα. καὶ Ἀνάγνωσιν ἀπὸ τῶν Ἐγκωμίων τοῦ Δαμασκηνοῦ, ἢ τοῦ Κυρίου Ἀνδρέου, ἢ τοῦ Μεταφραστοῦ.

κα. ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἡ Παρθένος Μαριὰμ, καὶ Θεοτόκος ἀληθῶς, ὡς νεφέλη τοῦ φωτὸς, σήμερον ἔλαμψεν ἡμῖν, καὶ ἐκ Δικαίων προέρχεται εἰς δόξαν ἡμῶν. οὐκ ἔτι ὁ Ἀδὰμ κατακέκριται. ἡ Εὔα τῶν δεσμῶν ἠλευθέρωται. καὶ διὰ τοῦτο κράζομεν, βοῶντες ἐν παῤῥησίᾳ τῇ μόνῃ Ἁγνῇ, χαρὰν μηνύει, ἡ Γέννησίς σου, πάσῃ τῇ Οἰκουμένῃ.

Δόξα,

Δόξα, καὶ νῦν. τὸ αὐτό. Ὠδὴ δ'. Ὁ Εἱρμός.

Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας, καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

Ἀνυμνοῦμέν σε Κύριε, τὸν τοῖς πιστοῖς σωτήριον λιμένα, παραχόντα πᾶσι τὴν σὲ Κυήσασαν.

Σὲ Θεόνυμφε καύχημα, πᾶσι Χριστὸς ἀνέδειξε καὶ κράτος, τοῖς ὑμνοῦσι πίστει σοῦ τὸ μυστήριον.

Ἀπειρόγαμε Δέσποινα, ταῖς σαῖς λιταῖς λυτρούμενοι πταισμάτων, εὐγνωμόνως πάντες σὲ μακαρίζομεν. Εἱρμὸς ἄλλος.

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου καὶ ἐφοβήθην. ὅτι ἀῤῥήτῳ βουλῇ, Θεὸς ὢν ἀΐδιος ἐκ τῆς Παρθένου, προῆλθες σαρκωθείς. δόξα τῇ δόξῃ σου Χριστὲ, δόξα τῇ δυνάμει σου.

Τὴν πάνσεπτον Γέννησιν τῆς Θεοτόκου, ψαλμοῖς καὶ ὕμνοις, δοξολογοῦντες πιστοὶ, τὸν Θεὸν ἄψευστον, τὸν τῷ Δαβὶδ προομόσαντα καρπὸν, ἐκ τῆς ὀσφύος παραχεῖν, πίστει προσκυνήσωμεν.

Διήνοιξας Κύριε τὴν μήτραν Σάῤῥας, καρπὸν ἐν γήρᾳ τὸν Ἰσαὰκ παραχών. ὁ αὐτὸς καὶ σήμερον, τῇ εὐσεβεῖ Ἄννῃ δέδωκας Σωτὴρ, ἐκ μήτρας γόνιμον καρπὸν, ἄσπιλον Μητέρα τὴν σήν.

Ἐπήκουσας Κύριε τῆς προσευχῆς μου, λεγέτω Ἄννα, ἐπαγγελίας καρπὸν, παραχών μοι σήμερον, τὴν ἐκ πασῶν γενεῶν καὶ γυναικῶν προορισθεῖσαν, εἰς ἁγνὴν ἄχραντον Μητέρα σου.

Εὐγχαίρει σοι σήμερον Θεόφρον Ἄννα, ἡ Οἰκουμένη. τοῦ Λυτρωτοῦ γὰρ αὐτῆς, τὴν Μητέρα ἤνθησας, τὴν ἐκ τῆς ῥίζης βλαστήσασαν Δαβὶδ, δυνάμεως ῥάβδον ἡμῖν, φέρουσαν τὸ ἄνθος Χριστόν. Δόξα.

Δοξάζωσε Ἄναρχε Τριὰς, ἀμέριστε τῇ οὐσίᾳ, Χερουβικῶς ἐκβοῶν, τῇ πηλίνῃ γλώσσῃ μου· Ἅγιος Ἅγιος Ἅγιος, ὁ ὢν, καὶ διαμένων εἰς ἀεὶ, εἷς Θεὸς ἀΐδιος. Καὶ νῦν θ'.

Πεπλήρωνται Ἄχραντε, τῶν Θεηγόρων αἱ Προφητεῖαι, τῶν πιστῶς καλούντων σε, Σκηνὴν καὶ Πύλην καὶ Ὄρος νοητὸν, Βάτον καὶ Ῥάβδον Ἀαρὼν, φυεῖσαν ἐκ ῥίζης Δαβίδ. Καταβασία.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

Ὠδὴ, ε'. Ὁ Εἱρμός.

Ὁ Σκιόγραφον ἀχλὺν, αἰνιγμάτων σκεδάσας, καὶ τῶν Πιστῶν ἐκβάσει τῆς ἀληθείας, διὰ τῆς Θεόπαιδος, καταυγάσας τὰς καρδίας· καὶ ἡμᾶς τῷ φωτί σου Χριστὲ καθοδήγησον.

Ἀνυμνήσωμεν λαοὶ, τὴν τῶν πάντων αἰτίαν, τοῦ καθ' ἡμᾶς γενέσθαι τὸν αἴτιον. ἧς τὸν τύπον ἔχαιρον, ἀξιούμενοι Προφῆται, ἐναργῆ σωτηρίαν ἐκ ταύτης καρπούμενοι.

Ἣς ἀνίκμου ὁ βλαστὸς, ῥάβδου τοῦ Ἱερέως, τῷ Ἰσραὴλ ἐδήλωσε πρόκρισιν· καὶ νῦν τὴν λαμπρότητα, τῶν φυσάντων παραδόξως, δᾳδουχεῖ ἐκ στείρας πανένδοξον κύημα. Εἱρμὸς ἄλλος.

Κύριε ὁ Θεὸς εἰρήνην δὸς ἡμῖν. Κύριε ὁ Θεὸς ἡμῶν κτῆσαι ἡμᾶς. Κύριε ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν. τὸ ὄνομά σου ὀνομάζομεν.

Ἄχραντός σου ἡ Γέννησις, Παρθένε ἄχραντε, ἄφραστος καὶ ἡ Σύλληψις, καὶ ἡ ὠδὶς, ἄῤῥητος ὁ τόκος σου, Νύμφη ἀνύμφευτε. Θεὸς γὰρ ἦν, ὅλως φορέσασ ἐμέ.

Σήμερον εὐφραινέσθωσαν, Ἀγγέλων τάγματα, ᾄσμασι χορευέτωσαν οἱ ἐξ Ἀδάμ. ἐτέχθη γὰρ ῥάβδος, τὸ ἄνθος βλαστάνουσα, Χριστὸν τὸν μόνον λυτρωτὴν τοῦ Ἀδάμ.

Σήμερον Εὔα λέλυται τῆς καταδίκης. λέλυται καὶ ὁ Ἀδὰμ, τῆς ἀρχαίας ἀρᾶς, ἐπὶ τῇ Γεννήσει τῇ σῇ βοᾷ Ἄχραντε. ἐν σοὶ γὰρ φθορᾶς ἐλυτρώθημεν.

Δόξα σοι τῷ δοξάσαντι τὴν Στεῖραν σήμερον. ἔτεκε γὰρ τὴν ῥάβδον τὴν ἀειθαλῆ, ἐξ ἐπαγγελίας· ἐξ ἧς ἀνεβλάστησε, Χριστὸς τὸ ἄνθος τῆς ζωῆς ἡμῶν. Δόξα.

Ἄναρχον προσκυνοῦμέν σε Τριὰς ἀμέριστε, ἄκτιστον συναΐδιον καὶ συμφυῆ, ἐν μιᾷ οὐσίᾳ. τρισὶν ὑποστάσεσιν, ὑπερφυῶς κηρυττομένην ἀεί. Καὶ νῦν. Θεοτοκίον.

Ἔγονεν ἡ κοιλία σου Ἁγία Τράπεζα, ἔμεινεν ἡ ἁγνεία σου ὥσπερ τὸ πρὶν, ἀσινὴς Παρθένε. Χριστὸς γὰρ ὁ Ἥλιος, ὡς ἐκ παστοῦ Νυμφίος ὤφθη ἐκ σοῦ. Καταβασία.

Ὢ Τρισμακάριστον Ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς, ὁ Βασιλεὺς καὶ Κύριος, δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθεὶς Θεῷ τῷ προσπαγέντι σαρκὶ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

ΠΡὸς Κύριον ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε· σύμε ἀνάγαγε, ἐκ πυθμένος Ἅιδου δέομαι· ἵνα ὡς Λυτρωτῇ ἐν φωνῇ αἰνέσεως, ἀληθείας τε πνεύματι θύσω σοι.

ΠΡὸς Κύριον ἐν θλίψει στειρώσεως, ἐβόησαν τῆς Θεομήτορος, οἱ Θεόφρονες Γεννήτορες. καὶ ταύτην γενεαῖς γενεῶν ἐκύησαν, εἰς κοινὴν σωτηρίαν, καὶ καύχημα.

Ἐδέξαντο οὐρανίον δῶρον ἀξιόθεον, τῆς Θεομήτορος οἱ θεόφρονες Γεννήτορες, αὐτῶν τῶν Χερουβὶμ ὑπέρτερον ὄχημα, τὴν τοῦ Λόγου, καὶ Κτίστου λοχεύτριαν.

Εἱρμὸς ἄλλος.

„ Ὡς ὕδατα Θαλάσσης φιλάνθρωπε, τὰ
„ κύματα τοῦ βίου χειμάζει με. ἀλλ' ὥ-
„ σπερ τὸν Ἰωνᾶν ἐκ τοῦ κήτους, ἀνάγαγε ἐκ
„ φθορᾶς τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.

Ὑμνοῦμεν τὴν Ἁγίαν σου Γέννησιν, τιμῶμεν καὶ τὴν ἄσπορον Σύλληψιν, σοῦ Νύμφη Θεόνυμφε καὶ Παρθένε. σκιρτῶσι δὲ σὺν ἡμῖν Ἀγγέλων τάξεις, καὶ τῶν Ἁγίων ψυχαί.

Ἁγίαν τῶν Ἁγίων ὑπάρχουσαν, οἱ σώφρονες Πατέρες σου Ἄχραντε, ἀνέθεντό σε ἐν οἴκῳ Κυρίου, ἀνατραφῆναι σεμνῶς, καὶ εἰς Μητέρα ἑτοιμασθῆναι αὐτῷ.

Αἱ στεῖραι καὶ μητέρες χορεύσατε, θαρσεῖτε καὶ σκιρτήσατε ἄγονοι. ἡ ἄτεκνος γὰρ στεῖρα, τὴν Θεοτόκον βλαστάνει· ἥτις λύσει τῶν ὠδίνων τὴν Εὔαν, καὶ τῆς ἀρᾶς τὸν Ἀδάμ.

Ἀκούω τοῦ Δαβὶδ μελῳδοῦντός σοι· ἀχθήσονται Παρθένοι ὀπίσω σου, ἀχθήσονται εἰς ναὸν Βασιλέως· καὶ σὺν αὐτῷ σε κἀγὼ, Θυγατέρα τοῦ Βασιλέως ὑμνῶ. Δόξα.

Ἐν σοὶ τὸ τῆς Τριάδος μυστήριον, ὑμνεῖται καὶ δοξάζεται Ἄχραντε. Πατὴρ γὰρ ηὐδόκησε, καὶ ὁ Λόγος ἐσκήνωσεν ἐν ἡμῖν, καὶ Θεῖον Πνεῦμα σοὶ ἐπεσκίασε. Καὶ νῦν. θτ.

Χρυσοῦν θυμιατήριον γέγονας. τὸ πῦρ γὰρ ἐν γαστρί σου ἐσκήνωσεν. ὁ Λόγος ἐκ Πνεύματος τοῦ Ἁγίου· καὶ ἐν ἀνθρώπου μορφῇ ἐν σοὶ ὡράθη, Θεογεννῆτορ Ἁγνή.

Καταβασία.

„ Ποτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας
„ Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτή-
„ ριος Πάθος προδιετύπου σαφῶς. ὅθεν τριήμε-
„ ρος ἐκδὺς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζω-
γράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ Ἐγέρσει, τὸν Κόσμον φωτίσαντος.

Κοντάκιον, ἦχος δ'.

Ὠακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ Ἁγίᾳ Γεννήσει σου. αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι· ἡ Στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Ὁ Οἶκος.

Ἡ Προσευχὴ ὁμοῦ, καὶ στεναγμὸς, τῆς στειρώσεως, καὶ ἀτεκνώσεως Ἰωακεὶμ τε καὶ Ἄννης εὐπρόσδεκτος, καὶ εἰς ὦτα Κυρίου ἐλήλυθε, καὶ ἐβλάστησαν καρπὸν ζωηφόρον τῷ Κόσμῳ. ὁ μὲν γὰρ προσευχὴν ἐν τῷ Ὄρει ἐτέλει, ἡ δὲ ἐν Παραδείσῳ ὄνειδος φέρει. ἀλλὰ μετὰ χειρᾶς, ἡ Στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ η'. Τὸ Γεννέσιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.

ᾗ. Πάσας ἀληθῶς, Ἄννα, νικᾷς μητέρας, Μήτηρ ἕως ἂν σὴ γέννηται Θυγάτηρ.

Ἐξάγαγε πρὸς φῶς Θεομήτορα ὀγδόῃ Ἄννα.

ΗΣ ὁ Πατὴρ Ἰωακεὶμ, ἐκ βασιλικῆς φυλῆς εἷλκε τὸ γένος. οὗτος εἰ καὶ διπλᾷ τὰ δῶρα αὐτοῦ τῷ Θεῷ προσέφερεν, ὡς φιλόθεος καὶ πλούσιος, ἀλλὰ τὴν ἀπαιδίαν ὠνειδίζετο. ἐπὶ τούτῳ δηχθεὶς τὴν καρδίαν, αὐτὸς μὲν ἐν τῷ Ὄρει, ἡ δὲ τούτου συνεύνος Ἄννα, ἐν τῷ Παραδείσῳ δάκρυσι τὸν Θεὸν ἱκέτευον. Ὃς καὶ παρέσχεν αὐτοῖς καρπὸν κοιλίας ἅγιον, τὴν Ὑπεραγίαν Θεοτόκον. Ἵνα δὲ καὶ τῆς Ἄννης οὐξ ἑκατέρων τῶν μερῶν ἴδωμεν τὰ γνωρίσματα, τὸ ἀκριβὲς διηγήσομαι. Εἰκοστὸς τρίτος ἀπὸ γένους Δαβὶδ καὶ Σολομῶντος εὑρίσκεται ὁ Ματθαῦ, ὃς ἔγημε Μαρίαν ἐκ τῆς Ἰούδα φυλῆς, καὶ ἐγέννησεν Ἰακὼβ τὸν πατέρα Ἰωσὴφ τοῦ τέκτονος, καὶ θυγατέρας τρεῖς, Μαρίαν, Σωβῆ, καὶ Ἄνναν. καὶ ἡ μὲν Μαρία γεννᾷ Σαλώμην τὴν μαῖαν. ἡ δὲ Σωβῆ γεννᾷ τὴν Ἐλισάβετ. ἡ δὲ Ἄννα γεννᾷ τὴν Θεοτόκον· ὡς εἶναι τὴν Θεοτόκον, ἐγγόνην Ματθαῦ καὶ Μαρίας τῆς γυναικὸς αὐτοῦ. τὴν δὲ Ἐλισάβετ καὶ τὴν Σαλώμην, ἀνεψιὰς μὲν τῆς Ἄννης, οὐξαδέλφας δὲ τῆς Θεοτόκου.

Τῇ

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι αὐτάδελφοι Ῥῆφος, καὶ Ῥαφιανὸς ξίφει τελειοῦνται.

ξ. Κλίνων ἑαυτὸν Ῥαφιανὸς τῷ ξίφει, Μείωσε φησὶ Ῥῆμφε, μὴ μέλῃς, ἔπτα.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Σεβῆρος ξίφει τελειοῦται.

ξ. Ἕτοιμός εἰμι πρὸς τὸ πᾶν οἱσθαν πάθος, Σεβῆρος ἔπτε, καὶ τί πρός με τὸ ξίφος;

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἀρτεμίδωρος πυρὶ τελειοῦται.

ξ. Ἀρτεμίδωρος ὡς καθήλλεται θσέα, Καὶ τῷ πυρὸς φλέγοντος ἔργῳ δακνύα.

Διήγησις παύυ ὠφελιμος.

Τρεῖς τις μετ' ὀλαβῆς Διακόνου ἀγάπην τῷ Κυρίῳ φίλου εἰς ἀλλήλες κτησάμενοι, διὰ δαιμονικῆς σκαιότητος εἰς ἔχθραν περιτραπέντες, ἐπὶ πολὺ ἔμειναν ἀδιάλλακτοι. ἐπεὶ δὲ ἐπ' αὐτῷ τῷ μίσει τελευτῆσαι τὸν Ἱερέα συνέβη, ὁ Διάκονος ἤχαλεν, ὅτι μὴ ζῶντι τῷ Ἱερεῖ, τιὼ ἔχθραν κατέλυσε. καί τινι τῶν διακεχειρωνομημένων συμβὰν κοινωσάμενος, τῶτον πρός τινα τῆς ἐρήμου Μοναχὴν γενέσθαι παρεγγυᾶτο. ὁ δὲ μάλα προθύμως τὰς ἐρημικωτέρας τόπος περινοσῶν, τὸν ἰατρὸν ἐπεζήτει. καὶ δήτινα καταλαβὼν Γέροντα, τότῳ τιὼ μνησικακίαν ἀπεκάλυψεν, εὐαρχῆ πληροφορίαν ζητῶν παρ' αὐτοῦ τῆς ἀφέσεως. πρὸς ὃν ὁ Γέρων· ὁ πιστῶς αἰτῶν, λαμβανέτω, καὶ τῷ κρούοντι, ἀνοιγήσεται. οὐκ ἐμὸς ὁ λόγος φησὶν ἀδελφέ. καί σοι ὡς ἐπ' ἀγαθῷ ἀποδόντι ταχέως τὸ ζητεμένε λύσιν λαβεῖν, παρέξει ὁ Κύριος. ὅθεν ἐλήλυθας αὐάσρεφε, καὶ ὀψίας ἐν τῷ Ναῷ τῆς μεγάλης Ἐκκλησίας γενόμενος, πρὸ πάντων ὑποκεκρυμμένος τὰς ὡραίας πύλας καπίλαβε, καὶ τὸν πρῶτον ἐν αὐταῖς εἰσβάλλοντα, κράτησον, καὶ δεῦρο ἡμῶν αὐτὸν προσαγόρδσον, δὲς αὐτῷ καὶ τὸ ἐσφραγισμένον τῶτο πιπάκιον, καὶ παρ' αὐτῷ ἔσωσοι πάντως βεβαία ἔσται σφαλεάντων ἡ ἐπανόρθωσις. Τότε ὁ Διάκονος, ὡς ὁ Πατὴρ διετάξατο, ἀωρὶ τῆς νυκτὸς, τὸ Ναῷ καταλαμβάνει τὸ προπύλαιον. καὶ παραδοὺς ὁ δηλωθεὶς ὑπὸ τῷ Πατρὸς Ἀνὴρ ἐπανέστηλε, καὶ τῶτον ὁ Διάκονος ἀσπασάμενος, τὸ γραμμάτιον τῷ Γέροντος ἐπιδίδωσιν, ἀνακαλύψας αὐτῷ τὰ ἐπακολοθῆσαν τῷ δράματος. ὀξὺς δὲ ὢν Ἀνὴρ, οἰκονομίας χάριν τὸ γενόμενον ἔκρυπτε, καὶ ὅλον ἑαυτὸν καταβρέχων τοῖς δάκρυσιν ἔλεγε· τίς εἰμὶ ἐγὼ ὁ ἐλάχιστος, ἵνα καπιτολμήσω τοιάτῳ ἐγχειρήματος; ὅμως ταῖς δεήσεσι καθαρίσας τὸ ἀποσάλωτός σε, πρὸς τὸ προκείμενον τρέπομαι. καὶ δὴ ἐπ' αὐταῖς ταῖς κεκλεισμέναις πύλαις ὡς ἵστατο, τὰς χεῖρας ὑψώσας πρὸς Οὐρανὸν, καὶ γόνυ κλίνας, τιὼ κεφαλιὼ εἰς τὸ ἔδαφος τέθεικεν, ὑποψυθυρίζων τῇ προσβολῇ, καὶ μικρὸν αὐάσας (φείττω λέγειν, καπανοῶν τὸ μυζήμενον, καὶ τὸ πρὸς τὸν Θεὸν τὸ Ἀνδρὸς δὶ παρρησίαζον) ὡς γὰρ ἔρηκεν, Ἄνοιξον ἡμῖν τὴν θύραν τὸ ἐλέους σε Κύριε, τὸ προπύλαιον αὐτῷ αὐτομάτως ὠνέῳκται, καὶ τότῳ σωματελθόντος τὸ Διακόνε, ἐπὶ τὸν αὐλιὼ τὸ Νάρθηκος ἔρησαν. αὖθίς τε πάλιν πρὸς τὰς ἐκεῖσε τὸ Ναὸ θεαργυρᾶ πύλας γενόμενοι, ὁ ἱερὸς ἐκεῖνος Ἀνὴρ, πρὸς τὸν Διάκονον ἔφησεν· ἐνταῦθα χῆθι, καὶ περαιτέρω μὴ πρόβαινε. ἐκεῖνος δὲ ποιήσας τιὼ συνήθη μετάνοιαν, πάλιν ἐπὶ τῇ φλοιᾷ, τὰς ἀργυραίας πύλας κεκλεισμένας ὅσας ἀνέῳξε, καὶ εἰσελθὼν ἐν τῷ Ναῷ, ξεῖνον θέαμα ἐδέχετο ἐν ἑαυτῷ. ἐκ γὰρ τῆς ὀροφῆς τὸ Ναὸ, λυχνία φωταυγὴς ἐπελθοῦσα πρὸς τῇ κεφαλῇ τὸ Ἀνδρὸς, ἐφωταγώγα τὸ Ἱερόν· ἀλλὰ καὶ τότῳ προσδέχομενῳ συνάπτετο. ὡς δὲ πρὸς αὐτὸ λοιπὸν τὸ Θυσιαστήριον ἔφθασε, κἀκεῖ προσκλίνας τιὼ κεφαλιὼ, ἠρέμα ἔξω πρὸς τὸν Διάκονον γίνεται, καὶ πάλιν αὐτομάτως πᾶσαι αἱ θύραι ἐκλείσθησαν. τότε ἀγωνία καὶ δειλία τὸν Διάκονον ἔλαβε, μὴ τολμῶντα τῷ Ἀνδρὶ πλησιάσαι τὸ συνόλον. ἔχε γὰρ ὡς ἔλεγεν ἀπὸ τῆς δίχης, ὡς Ἀγγέλε δεδοξασμένον τὸ πρόσωπον, ὡς λοιπὸν λογισμοῖς τὸν Διάκονον βάλλεσθαι λέγοντα, μὴ Ἄγγελός ἐσιν ὁ φαινόμενος καὶ οὐκ ἄνθρωπος. ἀλλ' ἀδὲ τῶτο διέλαθε τὸν φαινόμενον. φησὶ γὰρ πρὸς τὸν Διάκονον· τί τοῖς λογισμοῖς δι' ἐμὲ πολιορκῇ καὶ ταράττῃ ὦ ἄνθρωπε; πίσδσον, ὅτι κἀγὼ χοϊκός εἰμὶ ἄνθρωπος, καὶ ἐξ αἵματος καὶ σαρκὸς καὶ δακρύων οἶκα, εἰμὶ Χαρτελλάριος, ἐκ τῆς ἐκεῖσε προσόδων τὰ πρὸς ζωιὼ περιζόμενος. ἀλλ' ἡ πάντα καλῶς διεξάγουσα Πρόνοια, δι' ὀπτελῶν πολλάκις, μεγάλα εἴωθε διεξάγειν πράσια. ὅμως ἀδελφὲ πρὸς τὸ προκείμενον ἀπίωμεν. καὶ ἄμφω πρὸς τὸν φόρον δ' ἀν-

δρομήσαντες, τὸν Ναὸν ἐκεῖσε τῆς Θεοτόκου κατέλαβον, καὶ πρὸς τὰς κεκλεισμένας πύλας ἤδη γενόμενοι τοῦ Ναοῦ, διὰ προσευχῆς πάλιν κἀκείνας ἀνέῳξε. καὶ πρὸς αὐτὸ γενόμενος τὸ Θυσιαστήριον, τὴν εὐχὴν ἐπετέλει κατὰ τὸ συνήθες, καὶ τὸν Διάκονον ἔξω ἑστῶτα καταλαβὼν μετ' ἐκπλήξεως τὸ, Κύριε, ἐλέησον λέγοντα, αἱ πύλαι μόναι ἄφνω πάλιν ἐκλείσθησαν. εἶτα πάλιν τὸν ἐν Βλαχέρναις τῆς Θεοτόκου καταλαμβάνει Ναόν. ἔλεγε δὲ ὁ Διάκονος· ὅτι οὕτως ἡμᾶς ἐπελάμβανον ἐν τοῖς Ναοῖς τὴν πορείαν ποιεῖσθαι, ὡς μηδὲ πτῆσιν ὀρνέου τῇ ἡμῶν ὀξύτητι παραβάλλεσθαι. καὶ δὴ πρὸς τὰς πύλας τῆς Θεοτόκου γενόμενοι, αὐτομάτως καὶ αὗται τῷ Ἀνδρὶ προσανεῴχθησαν. καὶ τὴν εὐχὴν κἀκεῖσε ποιησάμενος, δάκρυσι καταβρέχων τὰς παρειὰς, τῆς Ἁγίας Σοροῦ τὰς πύλας κατέλαβε, καὶ ἐν αὐταῖς τὸν Διάκονον ἐπιστήσας, βλέπειν τρανῶς τῶν εἰσερχομένων παρηγγυᾶτο τὴν κατανόησιν. καὶ δὴ πρὸς τὴν φλοιὰν τὴν ἐξ ἔθους αὐτὸς εὐχὴν ποιησάμενος, αἱ τῶν πυλῶν ἐπάρσεις, αὐτῷ τὴν εἴσοδον παρεχώρησαν. καὶ πρὸς τοῦ Ναοῦ γενόμενος τὸ μεσαίτατον, τὰ γόνατα τῷ ἐδάφει ὑπερείσας, ἀνενδότως ἐν αὐτῷ ἐποίει τὴν δέησιν. ὡς δὲ μετὰ ταῦτα ὅρκοις ἡμῖν ἐπιστώσατο ὁ Διάκονος, καὶ διεβεβαίου, ὅτι ὡς πρὸς τὴν βαθμίδα τῆς πύλης, ἐν ᾗ ἱστάμην θαμβούμενος, ὀφθαλμοφανῶς εἶδον ὡσεὶ Διάκονον τινὰ ἐκ τοῦ Θυσιαστηρίου ἐξερχόμενον, καὶ ἐν τῇ χειρὶ κατέχοντα θυμιατήριον, καὶ θυμιῶντα τὸ Ἱερὸν Ἁγίασμα, μετὰ δὲ μικρᾶς τινὸς ὥρας διάστημα, ὡς κληρικούς τινας εἶδον εἰσερχομένους, Ἱερέων στολὴν περικειμένους λευκοφανῆ, καὶ πάλιν Ἱερέων ἄλλο σύστημα φωτεινὸν, πορφυροῦν ποδήρη περικειμένους εἰσέρχεσθαι, καὶ τούτους ἀμφοτέρους χορείαν ἐγείραντας, ἐπᾴδειν μέλος μάλα τερπνὸν καὶ ἐξαίσιον, ὡς μηδὲν ἕτερον καταλαβεῖν τὸν Διάκονον δυνάσθαι, εἰ μὴ μόνον τὸ, Ἀλληλούϊα, καὶ μετὰ τὸ τὴν εὐχὴν τελέσαι, τὸν Χαρτουλλάριον ἐξελθεῖν, καὶ εἰπεῖν πρὸς τὸν Διάκονον· ἀδελφὲ, εὗδον τοῦ Ναοῦ ἀκωλύτως γενόμενος, πρὸς τοὺς τὴν ἀριστεραὶ χορείαν ἐπέχοντας Ἱερεῖς στόχασαι, εἰ δυνάιο κατανοῆσαι τὸν μεθ' οὗ τῇ μνησικακίᾳ ἀδιάλλακτος ἔμεινας. τότε εἰσελθὼν ὑπότρομος ὁ Διάκονος, σπουδῇ πρὸς τὸν τοῦ Θεοῦ Ἄνθρωπον ἕξεισιν εἰρηκὼς, μὴ δυνάσθαι πρὸς τοὺς ἐκεῖσε τὸν ἐπ' ἔχθρᾳ τὸν βίον καταλύσαντα ἰδεῖν Ἱερέα. εἶτα πάλιν πρὸς αὐτὸν ὁ ἀνθρωπόμορφος Ἄγγελος εἰσελθὼν, κατάθεε καὶ τὴν χορείαν τήνδε τὴν δεξιὰν, εἴρηκεν. καὶ δὴ πρὸς αὐτὴν γενόμενος ὁ Διάκονος, καθαρῶς ἑστῶτα ἐν αὐτῇ γνωρίσαι τὸν ζητούμενον ἔφασκε. καὶ πρὸς αὐτὸν ὁ Μακάριος· εἰ τοῦτον ἀκριβῶς κατενόησας, εἰπὲ πορευθεὶς, τάδεσοι καὶ Νικήτας ὁ Χαρτουλλάριος ἔξω ἑστὼς, ἐλθὲ προσφωνεῖ. καὶ πορευθεὶς ὁ Διάκονος κατὰ τὴν διαταγὴν, τὸν Ἱερέα ἐκ τῆς δεξιᾶς πρὸς τὸν τοῦ Θεοῦ Ἄνθρωπον συνεξάγει χορείας, ᾧ καὶ πρᾳείᾳ ἔλεξε τῇ φωνῇ· Κύριε Πρεσβύτερε, διαλλάγηθ τῷ ἀδελφῷ, διὰ τὸ ἀμφοτέρους ἐν τῇ σῇ ἀθρόᾳ μεταβολῇ ἀσυμφώνους μεῖναι τῷ σφάλματι. τότε γόνυ ἀμφότεροι κλίναντες, ἐν ἁπλῷ φιλήματι τὴν ἔχθραν διέλυσαν. καὶ ὁ μὲν Ἱερεὺς τὸν Ναὸν εἰσέδυ, καὶ τὴν αὐτοῦ χορείαν κατέλαβεν· ὁ δὲ τοῦ Θεοῦ Ἄνθρωπος ἔλαβε τὸν Διάκονον, καὶ τῇ φλοιᾷ τοῦ Ἱεροῦ ἁγιάσματος προσπεσόντος, αἱ πύλαι τούτου Θείᾳ δυνάμει ἐκλείσθησαν, καὶ μέρος τι τῆς ὁδοῦ διανύσαντες, ἄμφω ἔστησαν. καὶ ὁ τοῦ Θεοῦ Ἄνθρωπος οὕτω πως ἔφη πρὸς τὸν Διάκονον· ἀδελφὲ, Σῴζων, σῴζου, καὶ τὴν σεαυτοῦ ψυχὴν περιποίησον, καὶ τῷ πρὸς τὴν ἐμὴν εὐτέλειαν Πατρί σε ἀποστείλαντι, εἰπὲ πορευθεὶς· τῶν εὐχῶν σου ἡ καθαρότης, καὶ ἡ πρὸς Θεὸν παῤῥησία, καὶ νεκρὸν πρὸς εἰρήνην ἐξαναστῆσαι δυνάται, ἡμῶν εἰς τοῦτο μηδὲν τὸ παράπαν συμβαλλομένων. καὶ τοῦτο εἰπὼν, ἐξ ὀφθαλμῶν τοῦ Διακόνου ἐγένετο· ἐκεῖνος δὲ προσκυνήσας τὸ ἔδαφος, ἐν ᾧ οἱ τοῦ θαυμαστοῦ ἵσταντο πόδες Ἀνδρὸς, τὴν πρὸς τὸν Γέροντα πορείαν ἐκπεπληγμένος ἤνυε, δοξάζων καὶ εὐλογῶν τὸν Θεόν. ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

ΒΑ'τος ἐν ὄρει πυράφλεκτος, καὶ δροσοβόλος κάμινος Χαλδαϊκὴ, σαφῶς προγράφει σε Θεόνυμφε. τὸ γὰρ Θεῖον ἄϋλον ἐν ὑλικῇ γαστρὶ, Πῦρ ἀφλέκτως ἐδέξω. διὸ τῷ ἐκ σοῦ τεχθέντι κράζομεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Σοῦ

Οὗ ταῖς αὔλοις ἐμφάσεσιν, ὁ Νομοθέτης εἴργετο κατανοεῖν, τὸ μέγα πάνσεμνε Μυστήριον, μὴ φρονεῖν χαμαίζηλα, συμβολικῶς παιδεύομενος ποτέ. διὸ ἐκπλαγεὶς τὸ θαῦμα ἔλεγεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὄρος, καὶ πύλην Οὐρανίον, καὶ νοητήν σε κλίμακα Θεοπρεπῶς, χορὸς ὁ Θεῖος προηγόρευσεν. ἐκ σοῦ γὰρ λίθος τέτμηται, οὐχ ὑποστὰς ἐγχειρίδιον ἀνδρός· καὶ Πύλην δι' ἧς διῆλθε Κύριος, τῶν θαυμασίων Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Εἱρμὸς ἄλλος.

„ Ὧν Χαλδαίων ἡ κάμινος, πυρὶ φλογι-
„ ζομένη ἐδροσίζετο Πνεύματος, Θεοῦ
„ ἐπιστασίᾳ. οἱ Παῖδες ὑπέψαλλον· εὐλογη-
„ τὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἑορτάζομεν Ἄχραντε, καὶ πιστῶς προσκυνοῦμεν, τὴν ἁγίαν σου Γέννησιν, τὴν ἐξ ἐπαγγελίας· δι' ἧς ἐλυτρώθημεν, τῆς παλαιᾶς τοῦ Ἀδὰμ νῦν ἀποφάσεως.

Νῦν ἡ Ἄννα εὐφραίνεται, καὶ βοᾷ καυχωμένη· στεῖρα οὖσα γεγέννηκα, τοῦ Θεοῦ τὴν Μητέρα· δι' ἧς τὸ κατάκριμα, τῆς Εὔας λέλυται, καὶ ἡ ἐν λύπαις ὠδίς.

Ὁ Ἀδὰμ ἠλευθέρωται, καὶ ἡ Εὔα χορεύει, καὶ βοῶσιν ἐν Πνεύματι, πρὸς σὲ τὴν Θεοτόκον· ἐν σοὶ ἐλυτρώθημεν τῆς ἀρχεγόνου ἀρᾶς, ἐπιφανέντος Χριστοῦ.

Στεῖραι ἄγονοι σπεύσατε, ψυχαὶ ἠτεκνωμέναι, ὅτι Ἄννα πολύτεκνος, καὶ νῦν εὐφραινομένη. Μητέρες χορεύσατε, σὺν τῇ Μητρὶ τοῦ Θεοῦ, καὶ συναγάλλεσθε. Δόξα.

Ὸν Πατέρα δοξάσωμεν, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, ἐν μονάδι Θεότητος, Τριάδα παναγίαν, ἀχώριστον ἄκτιστον, καὶ συναΐδιον καὶ ὁμοούσιον. Καὶ νῦν. Θεοτοκίον.

Σὺ Θεὸν μόνη ἔτεκες, Παρθένε μετὰ τόκον. σὺ τὴν φύσιν ἐκαίνισας, τῷ τόκῳ σου Μαρία. σὺ τὴν Εὔαν ἔλυσας, τῆς πρωτογόνου ἀρᾶς, Θεογεννῆτορ ἁγνή. Καταβασία.

„ Ἔκνοον πρόσταγμα Τυραννοῦ, δυσσεβοῦς λαοὺς
„ ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας
„ θεοστυγοῦς. ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτω-
„ σε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμεον. ἀλλ'
„ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συ-
„ νόντες ἔψαλλον· ὁ ὑπερύμνητος τῶν Πατέρων,
„ καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Ἐν τῇ καμίνῳ τῇ τῶν Παίδων, προαπει-
„ κόνισας ποτὲ, τὴν σὴν Μητέρα Κύ-
„ ριε. ὁ γὰρ τύπος τούτους πυρὸς ἐξείλετο,
„ ἀφλέκτως ἐμβατεύοντας. ἣν ὑμνοῦμεν ἐμ-
„ φανισθεῖσαν διὰ σοῦ τοῖς πέρασι σήμερον,
„ καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τῆς πρὸς Θεὸν ἡμῶν καταλλαγῆς, ἡ προορισθεῖσα σκηνὴ, τοῦ εἶναι νῦν ἀπάρχεται, τεξομένη Λόγον, ἡμῖν παχύτητι, σαρκὸς ἐμφανιζόμενον. ὃν ὑμνοῦμεν, οἱ ἐκ μὴ ὄντων δι' αὐτοῦ τὸ εἶναι λαβόντες, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τῆς στειρώσεως μεταβολὴ, τὴν κοσμικὴν τῶν ἀγαθῶν, διέλυσε πήρωσιν, καὶ τρανῶς τὸ θαῦμα Χριστὸν ὑπέδειξε, βροτοῖς ἐπιδημήσαντα. ὃν ὑμνοῦμεν, οἱ ἐκ μὴ ὄντων δι' αὐτοῦ τὸ εἶναι λαβόντες, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος.

Ὁ Στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ
„ τιθεὶς θαλάσσῃ ὅριον ψάμμον, καὶ συνέ-
„ χων τὸ πᾶν, σὲ ὑμνεῖ Ἥλιος, σὲ δοξάζει Σε-
„ λήνη, σοὶ προσφέρει ὕμνον πᾶσα Κτίσις,
„ τῷ Δημιουργῷ καὶ Κτίστῃ εἰς τοὺς αἰῶνας.

Ὁ Ποιήσας παράδοξα τῇ στειρωθείσῃ γαστρὶ, ὁ ἀνοίξας Ἄννης ἄγονον μήτραν, καὶ καρπὸν αὐτῇ δοὺς, σὺ Θεὸς ἅγιος, σὺ Υἱὸς τῆς Παρθένου, σὺ ἐκ ταύτης σάρκα προσελάβου, τῆς ἀειθαλοῦς Παρθένου, καὶ Θεοτόκου.

Ὁ Σφραγίζων τὴν ἄβυσσον, καὶ ἐξανοίγων αὐτὴν· ὁ ἀνάγων ὕδωρ ἐν ταῖς νεφέλαις, καὶ διδοὺς ὑετόν· σὺ ὁ δοὺς Κύριε ῥίζης ἐκ τῆς ἀκάρπου ἐξανθῆσαι, Ἄννης τῆς ἁγίας, ἄχραντον καρπὸν, τὴν ῥάβδον τὴν Θεοτόκον.

Σὺ ὁ λύσας τὰ ἄλυτα, τῆς ἀπαιδίας δεσμά. σὺ ὁ δοὺς τῇ στείρᾳ γόνιμον τόκον, καὶ καρπὸν εὐκλεῆ· ἧς Υἱὸς γέγονας, καὶ βλαστὸς ἀνεφύης. ἣν Μητέρα ἔσχες κατὰ σάρκα, ἐν τῇ πρὸς ἡμᾶς Οἰκτίρμον ἐπιδημίᾳ.

Ἐωργὲ τῶν φρενῶν ἡμῶν, καὶ φυτουργὲ τῶν ψυχῶν, σὺ ὁ ἄκαρπον γῆν, εὔκαρπον δείξας. σὺ τὴν πάλαι ξηρὰν, γόνιμον εὔσταχυν, ἄρουραν καρποφόρον ἀπειργάσω, Ἄνναν τὴν ἁγίαν, ἄχραντον καρπὸν ἀνθῆσαι τὴν Θεοτόκον. Δόξα.

Ὦ Τριὰς ὑπερούσιε, μονὰς συναναρχὲ, σὲ ὑμνεῖ καὶ τρέμει πληθὺς Ἀγγέλων,

Οὐρανὸς καὶ ἡ Γῆ, ἄβυσσοι φρίττουσιν, ἄνθρωποι εὐλογοῦσι, πῦρ δουλεύει, πάντα ὑπακούει, σοὶ Τριὰς ἁγία, φόβῳ τὰ ἐν τῇ Κτίσει. Καὶ νῦν. Θεοτοκίον.

Ὦ Καινότατον ἄκουσμα, Θεὸς Υἱὸς γυναικὸς, καὶ ἀσπόρου τόκου, ἄνανδρος Μήτηρ, καὶ Θεὸς τὸ τεχθέν. ὦ φρικτὸν θέαμα. ὦ συλλήψεως ξένης τῆς Παρθένου· ὦ ἀφράστου τόκου· ὄντως ὑπὲρ νοῦν τὰ πάντα καὶ θεωρίαν. Καταβασία.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεὸν ὑμνεῖτε, τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα Πανάγιον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἡ Τὸν πρὸ Ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων παρθενικῶν ἀφράστως σωματώσασα, εὐλογημένη Πάναγνε, σὲ Θεοτόκε μεγαλύνομεν.

Ὁ Τοῖς ἀπειθοῦσι λαοῖς, ἐξ ἀκροτόμου βλύσας νάματα, τοῖς εὐπειθοῦσιν ἔθνεσι χαρίζεται, ἐκ λαγόνων στειρωτικῶν, καρπὸν εἰς εὐφροσύνην ἡμῖν, σὲ Θεομῆτορ ἄχραντε. ἣν ἐπαξίως μεγαλύνομεν.

Ἣν τῆς ἀποτόμου, ἀρχαίας ἀναιρέτιν ἀποφάσεως, καὶ τῆς Προμήτορος τὴν ἐπανόρθωσιν· τὴν τοῦ γένους τῆς πρὸς Θεὸν αἰτίαν οἰκειώσεως, τὴν πρὸς τὸν Κτίστην γέφυραν, σὲ Θεοτόκε μεγαλύνομεν.

Εἱρμὸς ἄλλος.

Ἀλότριον τῶν Μητέρων ἡ Παρθενία, καὶ ξένον ταῖς Παρθένοις ἡ Παιδοποιΐα. ἐπὶ σοὶ Θεοτόκε ἀμφότερα ᾠκονομήθη. διόσε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μεγαλύνομεν.

Ἐπάξιον Θεομῆτορ τῆς σῆς ἁγνείας, τὸν τόκον ἐκληρώσω δι' ἐπαγγελίας. τῇ ποτὲ γὰρ ἀκάρπῳ, θεόβλαστος καρπὸς ἐδόθης. διόσε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν.

Ἐπλήρωται τοῦ βοῶντος ἡ Προφητεία. φησὶ γὰρ ἀναστήσω σκηνὴν τὴν πεπτωκυῖαν, τοῦ Ἱεροῦ Δαβὶδ, ἐν σοὶ ἄχραντε προτυπωθεῖσαν· δι' ἧς ὁ σύμπας τῶν ἀνθρώπων χοῦς, εἰς σῶμα ἀνεπλάσθη Θεῷ·

Ἀ σπάργανα προσκυνοῦμέν σου Θεοτόκε, δοξάζομεν τὸν δόντα, καρπὸν τῇ πρώην στείρᾳ, καὶ ἀνοίξαντα μήτραν, τὴν ἄγονον ἐκ παραδόξου. ποιεῖ γὰρ πάντα ὅσα βούλεται, Θεὸς ὢν παντεξούσιος.

Ἐβλάστησας Νυμφοτόκε Ἄννα θεόφρον, ἐκ μήτρας παρ' ἐλπίδα, καὶ ἐξ ἐπαγγελίας, παρθενόφυτον ἄνθος, θεόβλαστον ἁγνείας κάλλος. διόσε πάντες μακαρίζομεν, ὡς ῥίζαν τῆς ζωῆς ἡμῶν. Δόξα.

Ἀλότριον τοῖς ἀνόμοις ἐστὶ δοξάζειν, τὴν Ἄναρχον Τριάδα, Πατέρα καὶ Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ἄκτιστον παντοκρατορίαν. δι' ἧς ὁ σύμπας Κόσμος ἥδρασται, τῷ νεύματι τοῦ κράτους αὐτῆς. Καὶ νῦν. Θεοτοκίον.

Ἐχώρησας ἐν γαστρί σου Παρθενομῆτορ, τὸν ἕνα τῆς Τριάδος Χριστὸν τὸν Βασιλέα. ὃν ὑμνεῖ πᾶσα Κτίσις, καὶ τρέμουσιν οἱ ἄνω θρόνοι. αὐτὸν δυσώπει πανσεβάσμιε, τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν. Καταβασία.

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν. ὑφ' οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον. διὸ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν.

Εἱρμὸς ἄλλος.

Ὁ Διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον. τῆς γὰρ Προμήτορος ἡ παγγενὴς, κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς ἁγνῆς Θεομήτορος. ἣν πᾶσαι αἱ Δυνάμεις τῶν Οὐρανῶν μεγαλύνουσι.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀτάλλονται τὰ πέρατα, τῆς Οἰκουμένης σήμερον, ἐν τῇ Γεννήσει σου Κόρη, Θεοκυῆτορ Μαρία, καὶ ἀπειρόγαμε νύμφη. ἐν ᾗ καὶ τῶν φυσάντων σε, τὸ λυπηρὸν διέλυσας, τῆς ἀτεκνίας ὄνειδος, καὶ τῆς Προμήτορος Εὔας, τὴν ἐν τῷ τίκτειν κατάραν. Ἕτερον. Ὅμοιον.

Ἀδὰμ ἀνακαινίσθητι, καὶ Εὔα μεγαλύνθητι, Προφῆται σὺν Ἀποστόλοις, χορεύσατε καὶ δικαίοις, κοινὴ χαρὰ ἐν τῷ Κόσμῳ, Ἀγγέλων τε καὶ ἀνθρώπων. ἐκ τῶν Δικαίων σήμερον, Ἰωακεὶμ καὶ τῆς Ἄννης, γεννᾶται ἡ Θεοτόκος.

Εἰς

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοὴ, ἱστῶμεν ξι. δ'. καὶ ψάλλομεν ξι. Προσόμοια γ'. Δευτεροῦντες τὸ α'. ἦχος α'.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ Τοῦ παραδόξου θαύματος. ἡ πηγὴ τῆς ζωῆς, ἐκ τῆς στείρας τίκτεται, ἡ χάρις καρπογονεῖν, λαμπρῶς ἀπάρχεται. εὐφραίνου Ἰωακεὶμ, τῆς Θεοτόκου Γεννήτωρ γενόμενος. οὐκ ἔστιν ἄλλος ὡς σὺ, τῶν γηγενῶν γεννητόρων θεόληπτε. ἡ γὰρ Θεοδόχος Κόρη, τοῦ Θεοῦ τὸ σκηνώμα, τὸ πανάγιον ὄρος, διὰ σοῦ ἡμῖν δεδώρηται. Ὅμοιον.

Ὦ Τοῦ παραδόξου θαύματος. ὁ ἐκ στείρας καρπὸς, ἀναλάμψας νεύματι, τοῦ πάντων Δημιουργοῦ, καὶ Παντοκράτορος, εὐτόνως τὴν κοσμικὴν, τῶν ἀγαθῶν διαλέλυκε στείρωσιν. Μητέρες σὺν τῇ Μητρὶ, τῆς Θεοτόκου χορεύσατε κράζουσαι· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος. Ὅμοιον.

Στήλη σωφροσύνης ἔμψυχος, καὶ λαμπρὸν δοχεῖον, ἀποστίλβον χάριτι, ἡ Ἄννα ἡ εὐκλεὴς, φανεῖσα τέτοκε, τὴν πρόβολον ἀληθῶς, τῆς παρθενίας τὸ θεῖον ἀπάνθισμα, τὴν πάσαις παρθενικαῖς, καὶ παρθενίας ποθούσαις τὸ χάρισμα, τὸ τῆς παρθενίας κάλλος, ἐμφανῶς βραβεύουσαν, καὶ παρέχουσαν πᾶσι, τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος π. β'.

Αὐτὴ ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί. ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ Νυμφὼν, καὶ ἡ Βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε. καὶ ἡ κατὰ Ἀνατολὰς Πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον, τοῦ Ἱερέως τοῦ μεγάλου. μόνη, καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν Οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων, ᾠδὴ γ'. Καὶ ς'.

Ἰστέον ὅτι, διὰ τὸ ἐγγίζειν τὴν Ἑορτὴν τοῦ Σταυροῦ, ἑορτάζομεν τὴν παροῦσαν Ἑορτὴν ἡμέρας πέντε.

ΤΥΠΙΚΟΝ.

Σαββάτῳ πρὸ τῆς Ὑψώσεως. Εἰς τὴν Λειτουργίαν. Προκείμενον, ἦχος γ'. Ψάλατε τῷ Θεῷ ἡμῶν. ξι. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Ὁ Ἀπόστολος. Πρὸς Κορινθίους α' Ἀδελφοὶ, σοφίαν λαλοῦμεν. Ζήτει σαββάτῳ γ'. Ἀλληλούϊα, ἦχος πλ. α'. Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος· ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ. Ζήτει σαββάτῳ ζ'. κατὰ Ματθαῖον.

Κυριακῇ πρὸ τῆς Ὑψώσεως. Εἰς τὴν Λειτουργίαν. Προκείμενον, ἦχ. πλ. β'. Σῶσον Κύριε τὸν λαόν σου. ξι. Πρὸς σὲ Κύριε κεκράξομαι. Ὁ Ἀπόστολος. Πρὸς Γαλάτας. Ἀδελφοὶ, ἴδετε πηλίκοις ὑμῖν γράμμασι. Ζήτει Κυρ. κβ'. Ἀλληλούϊα, ἦχος α'. Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. ξι. Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ. Εὐαγγέλιον κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος· οὐδεὶς ἀναβέβηκεν εἰς τόν. Καὶ τὰ ἑξῆς.

Μηνὶ τῷ αὐτῷ Θ'.

Τῶν Ἁγίων καὶ Δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης. καὶ τοῦ Ἁγίου Μάρτυρος Σεβηριανοῦ. Ἡ Ἀκολουθία τοῦ Ἁγίου ψάλλεται ἐν τοῖς Ἀποδείπνοις. ἐν δὲ τῷ Λυχνικῷ, οὐ ξι λ. διὰ τὸν κόπον τῆς ἀγρυπνίας. οὕτω γὰρ ποιοῦμεν ἐν πάσαις ταῖς ἀγρυπνίαις Ἑσπέρας, ἀλλ' εὐθὺς μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν, τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ξι. ς'. Καὶ ψάλλομεν ξι. προσόμοια, ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Λεῦτε νῦν χορεύσωμεν, ἀσματικῶς ὦ φιλέορτοι, καὶ πιστῶς ἑορτάσωμεν, τὴν μνήμην γεραίροντες, Ἰωακεὶμ καὶ Ἄννης, τῆς σεπτῆς δυάδος. αὐτοὶ γὰρ ἔτεκον ἡμῖν, τὴν Θεομήτορα καὶ Παρθένον ἁγνήν. διόπερ καὶ μετέστησαν, ἐκ τῶν προσκαίρων πρὸς ἄληκτον, καὶ ἀείζωον οἴκησιν, δυσωποῦντες σωθῆναι ἡμᾶς.

Εὐφρόσυνον τέρπεται, σήμερον Κτίσις ἡ σύμπασα, Θεοτόκε Πανύμνητε, ἐτήσιον ἄγουσα, μνήμην ὁμοφρόνως, τῶν σῶν Γεννητόρων, Ἰωακεὶμ τοῦ θαυμαστοῦ, ὁμοῦ καὶ Ἄννης πανηγυρίζουσα. χαραὶ γὰρ προεξένησαν, σὲ παρ' ἐλπίδα βλαστήσαντες, τὴν τὸ φῶς ἀπαστράψασαν, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Ἀγάλλεται σήμερον, Ἄννα σκιρτῶσα ἐν πνεύματι, καὶ εὐφραίνεται χαίρουσα, τυχοῦσα ἐφέσεως, ἧς περ ἐπεπόθει, πάλαι εὐτεκνίας. ἐπαγγελίας γὰρ καρπὸν, καὶ εὐλογίας θεῖον ἐβλάστησε, Μαρίαν τὴν πανάμωμον, τὴν τὸν Θεὸν ἡμῶν τέξασαν,

σαν, καὶ τὸν Ἥλιον λάμψασαν, τοῖς ἐν σκότει καθεύδουσι.

Ἕτερα, τοῦ Ἁγίου. Ὅμοια.

Νεύροις συγκοπτόμενος, διὰ Χριστὸν Παναοίδιμε, καὶ ἰκρίῳ κρεμάμενος, καὶ σάρκας ξεόμενος, ἀπεινῶς ξυστῆρσι, θύειν τε εἰδώλοις, ἐγκελευόμενος σοφὲ, οὐκ ἐξηρνήσω τὸν πάντων Κύριον· ἀλλ' ἤλεγξας τοῖς πόνοις σου, τὸ ἀσθενὲς καὶ ἐξίτηλον, τῶν εἰδώλων καὶ γέγονας, τῶν Ἀγγέλων συνόμιλος.

Δέσμιος ἀγόμενος, καὶ ταῖς πληγαῖς σεμνυνόμενος, τοὺς ὁρῶντας προέτρεπες, μιμεῖσθαι τὸν δρόμον σου, πρὸς τὰς Οὐρανίους, Μάκαρ αὐτιδόσεις, ἀποσκοποῦντας ὡς πολλὴν, τὴν εὐφροσύνην καὶ τὴν τερπνότητα, παρέχουσιν ὡς ἄφθαρτοι, καὶ εἰς ἀεὶ παραμένουσαι, τοὺς Χριστὸν θεραπεύοντας, κληρονόμους λαμβάνουσαι.

Λίθοις συνθλαττόμενος, τὰς σιαγόνας Ἀοίδιμε, καὶ πλευρὰς σπαθιζόμενος, λίθῳ παμμεγίστῳ τε, τράχηλον καὶ πόδας, συνθλώμενος Μάκαρ, καὶ ἁρμονίας ἀπηνῶς, παραμυόμενος ὄντως ἔθλασας, τὴν κεφαλὴν τοῦ δράκοντος, ὑπομονῆς γενναιότητι· ἣν ἡττῆσαι οὐκ ἴσχυσε, τῶν βασάνων ἡ κάκωσις.

Δόξα, καὶ νῦν, ἦχος π. α.

Ἐφραὶμ Καρίας.

Ὦ Μακαρία Δυὰς, ὑμεῖς πάντων γεννητόρων ὑπερήρθητε, ὅτι τὴν τῆς Κτίσεως πάσης ὑπερέχουσαν ἐβλαστήσατε. ὄντως μακάριος εἶ Ἰωακεὶμ, τοιαύτης Παιδὸς χρηματίσας Πατήρ. μακαρία ἡ μήτρα σου Ἄννα, ὅτι τὴν Μητέρα τῆς ζωῆς ἡμῶν ἐβλάστησε. μακάριοι οἱ μαστοὶ οἷς ἐθήλασας τὴν γαλακτοτροφήσασαν τὸν τρέφοντα πᾶσαν πνοήν. ὃν δυσωπεῖν ὑμᾶς παμμακάριστοι αἰτούμεθα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀποστ. ζ. ἦχ. α. Τῶν οὐρανίων.

Ἰωακεὶμ καὶ ἡ Ἄννα πανηγυρίζουσι, τὴν ἀπαρχὴν τεκόντες, τῆς ἡμῶν σωτηρίας, τὴν μόνην Θεοτόκον· οἷς καὶ ἡμεῖς, συνεορτάζοντες σήμερον, τὴν ἐκ τῆς ῥίζης ἐκείνης τοῦ Ἰεσσαὶ, μακαρίζομεν Παρθένον ἁγνήν.

ζ. Ἀκουσον Θύγατερ.

Ἡ Θεοχώρητος Κόρη, καὶ Θεοτόκος ἁγνὴ, τῶν Προφητῶν τὸ κλέος, τοῦ Δαβὶδ ἡ Θυγάτηρ, σήμερον γεννᾶται ἐξ Ἰωακεὶμ, καὶ τῆς Ἄννης τῆς σώφρονος, καὶ τοῦ Ἀδὰμ τὴν κατάραν τὴν εἰς ἡμᾶς, ἀνακαλεῖται ἐν τῷ τόκῳ αὐτῆς.

ζ. Τὸ πρόσωπόν σου.

Ἡ Πρώην ἄγονος χώρα γῆν καρποφόρον γεννᾷ, καὶ ἐξ ἀκάρπου μήτρας, καρπὸν ἅγιον δοῦσα, γάλακτι ἐκτρέφει. θαῦμα φρικτὸν, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν, ἡ τὸν Οὐρανίον Ἄρτον ἐν τῇ γαστρὶ, δεξαμένη γαλουχεῖται μαζῷ.

Δόξα, καὶ νῦν, ἦχος τῶν.

Οἱ ἐξ ἀκάρπων λαγόνων, ῥάβδον ἁγίαν τὴν Θεοτόκον βλαστήσαντες, ἐξ ἧς ἡ σωτηρία τῷ Κόσμῳ ἀνέτειλε Χριστὸς ὁ Θεός. τὸ ζεῦγος τὸ ἅγιον, ἡ ξυνωρὶς ἡ ἁγία, Ἰωακεὶμ καὶ Ἄννα. οὗτοι μεταστάντες πρὸς Οὐρανίους Σκηνὰς, σὺν τῇ αὐτῶν Θυγατρὶ ὑπεραχράντῳ Παρθένῳ, μετ' Ἀγγέλων χορεύουσι, ὑπὲρ τοῦ Κόσμου πρεσβείας ποιούμενοι. οἷς καὶ ἡμεῖς, συνελθόντες εὐσεβῶς, ὑμνοῦντες λέγομεν· οἱ διὰ τῆς Θεοπαίδος καὶ πανάγνου Μαρίας, Προπάτορες Χριστοῦ χρηματίσαντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τροπάριον τῆς Ἑορτῆς.

Εἰ βούλει καὶ τῶν Ἁγίων, ἦχος β'.

Ὧν Δικαίων Θεοπατόρων σου Κύριε τὴν μνήμην ἑορτάζοντες, δι' αὐτῶν σε δυσωποῦμεν, σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ζιλό. Ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Ὁ Κανὼν τῶν Ἁγίων. Οὗ ἡ ἀκροστ.

Τοὺς σοὺς Γονεῖς Πάναγνε μέλπω προφρόνως.

Ὠδὴ α'. ἦχος β'. Ἐν βυθῷ.

Ἣν λαμπάδα τὴν τὸν νοητὸν, Ἥλιον ἀστράψασαν, σωματικῶς ἐξ αὐτῆς ἀνατείλαντα, ἀρετῆς λαμπρότησι, διαπρέποντες ἐκτεκεῖν ἠξιώθησαν, Ἄννα ἡ θεόφρων, καὶ Ἰωακεὶμ ὁ πανοίδιμος.

Ὁλοτρόπῳ νεύσει πρὸς Θεὸν, ὄντως ὁ θεόληπτος, Ἰωακεὶμ καὶ ἡ Ἄννα ἡ ἔνθεος, ἀκλινῶς προσέχοντες, τὴν Πανάχραντον, Θεοτόκον ἐκύησαν, τὴν ὑπερκειμένην, Κτίσεως ἁπάσης ἁγιότητι.

Ὑπερτέραν ἔχοντες ζωὴν, βίου τε λαμπρότητα, πάντων ὁμοῦ γεννητόρων γεγόνατε, γηγενῶν ὑπέρτεροι, τὴν ἀκήρατον Παρθένον ὡς γεννήσαντες, καὶ Θεοῦ Πατέρες, ὄντως διὰ ταύτης χρηματίσαντες.

Σωτη-

Ὠτηρίας πάσης ἀρχηγοὶ, ὁ μακαριώτατος, Ἰωακεὶμ καὶ ἡ Ἄννα ἡ ἔνδοξος, τὴν ἁγνὴν καὶ ἄμωμον, καὶ πανάχραντον Θεοτόκον ἐγέννησαν, τῆς θεοσεβείας, ταύτην εἰληφότες τὴν ἀντίδοσιν.

Ἕτερος Κανὼν τοῦ Μάρτυρος.

Ὠδὴ α΄. ἦχος πλ. Ὑγρὰν διοδεύσας.

Ἐκράτει τὸ δόγμα τὸ δυοσεβὲς, τὸ θύειν εἰδώλοις, τοῖς ἀψύχοις τε καὶ κωφοῖς. ἐνίκα Χριστὸς δὲ τῶν Μαρτύρων, ταῖς καρτεραῖς καὶ γενναίαις ἐνστάσεσιν.

Ἐλύττα Λυσίας κατὰ Χριστοῦ, καὶ πάντας οὓς εὗρε, σεβομένους αὐτὸν Θεὸν, παντοίως κολάζειν ἐπεχείρει. ἀλλ' ἐντυχών σοι Θεόφρον ἠχύνετο.

Ἐξέπληξας Μάκαρ τὸν δυοσεβῆ, γενναίως χωρήσας, εἰς τὸ στάδιον καὶ θεῶν, ἀπήλεγξας τούτου παῤῥησίᾳ, τὸ ἀσθενὲς καὶ σαθρὸν καὶ ἀνίσχυρον.

Θεοτοκίον.

Ἐχώρησας μόνη τὸν Οὐρανοῖς, ἀχώρητον Κόρη, ἐν γαστρί σου θεοπρεπῶς, οἰκήσαντα ταύτης καὶ τὴν φύσιν, τὴν τῶν βροτῶν ἐξ αὐτῆς προσλαβόμενον.

Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς Πίστεως.

Ἐτειρεύουσα καὶ Παίδων ἀπορουμένη, καὶ δάκρυσι τὸν Κτίστην ἐκδυσωποῦσα, τὴν μόνην ἠξιώθης εὐλογημένην, τεκεῖν θεόληπτε Ἄννα κραυγάζουσα· ὡς οὐκ ἔστιν Ἅγιος πλὴν σου Κύριε.

Ὁ Σήνοικον πλουτήσας τὴν θείαν χάριν, Ἰωακεὶμ ὁ Θεῖος καὶ θεηγόρος, τὴν πρόξενον ἀνθρώποις τῆς σωτηρίας, γεννᾶν ἠξίωται. πρὸς ἣν κραυγάζομεν· ὡς οὐκ ἔστιν ἄμεμπτος, πλὴν σου Δέσποινα.

Ὑμνήσωμεν τὴν πάνσεπτον ξυνωρίδα, δι' ἧς ἡμῖν ἐξέλαμψεν ἡ Παρθένος, ἡ πάντων ποιημάτων Ἁγιωτέρα. Θεὸν γὰρ τέτοκε. πρὸς ὃν κραυγάζομεν· ὡς οὐκ ἔστιν Ἅγιος πλὴν σου Κύριε.

Ἐτειρώσεως τὸ ὄνειδος ἐκφυγοῦσα, γεγέννηκεν ἡ Ἄννα τὴν Θεοτόκον, τὸ ὄνειδος τὸ τῆς Εὔας παραδόξως, ἐξαφανίζουσαν. πρὸς ἣν κραυγάζομεν· ὡς οὐκ ἔστιν ἄμεμπτος, πλὴν σου Δέσποινα.

Ἄλλος. Σὺ εἶ τὸ στερέωμα.

Ἔχαιρες τυπτόμενος, ὑπὲρ Χριστοῦ Σοφὲ μάστιξιν, ἀνιλεῶς. εἶχες γὰρ βεβαίαν, τὴν τῶν πόνων ἀντίδοσιν.

Νεύροις συγκοπτόμενος, ὑπαλλαγῇ συχνῇ Ἔνδοξε, τῶν δημίων, ὥς περ ἀλλοτρίῳ, οὐκ ᾐσθάνου ἐν σώματι.

Ἔτρες τὴν ἀντάμειψιν, παρὰ Χριστοῦ Σοφὲ στέφανον, ἀπολαβὼν, τῆς δικαιοσύνης, καὶ χαρὰν τὴν μὴ λήγουσαν.

Θεοτοκίον.

Ὅλη ἡ πλησίον μου, καλὴ καὶ ἄμωμος πέφυκε. σὲ προορῶν, ἔφη Θεοτόκε, Σολομὼν ἐν τοῖς Ἄσμασιν.

Κάθισμα τοῦ Μάρτυρος, ἦχος α΄.

Τὸν Τάφον σου Σωτήρ.

Ἀνδρείᾳ τὴν ψυχὴν ὡπλισμένος Θεόφρον, ἐξέδωκας σαυτὸν, εἰς ποικίλας βασάνους, τῷ πόθῳ φλεγόμενος, τοῦ Δεσπότου πανόλβιε. ὅθεν ἤλεγξας, τὴν τῶν Τυραννων μανίαν, καὶ τὸν στέφανον, παρὰ Θεοῦ ἐκομίσω, τῆς νίκης πανόλβιε.

Δόξα, καὶ νῦν. ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Ἰωακεὶμ καὶ ἡ Ἄννα πανηγυρίζοντες, τῷ Θεῷ ἐπαξίως χάριν ἐφεύραντο. καὶ ἐγέννησαν Ναὸν τὸν θεοδόχον καρπὸν, τὴν Παρθένον καὶ Ἁγνὴν, τὴν Μητέρα τοῦ Θεοῦ, τὴν μόνην εὐλογημένην, πρεσβεύουσαν ἀεννάως, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ δ΄. Ἐλήλυθας.

Ἠθόμενος, τὴν Παρθένον ἐκ στείρας κομίζεται, δι' ἧς περ ἡ στείρωσις, ἡ κοσμικὴ διαλέλυται, τόκῳ παρθενεύοντι, Ἰωακεὶμ ὁ θεόφρων, καὶ θεόληπτος.

Ὁ Προπάτωρ, τοῦ Χριστοῦ Ἰωακεὶμ νῦν πρόκειται, ἡμῖν εἰς ἑστίασιν, πνευματικὴν ὁ πανόλβιος, ὃς τὴν Θεομήτορα, καὶ πανακήρατον Κόρην ἀπεγέννησε.

Νεκρώσεως, καὶ φθορᾶς τοὺς ἀνθρώπους τὴν σώζουσαν, ἡ χάρις προβάλλεται, τὴν ἐσομένην Μητέρα Θεοῦ, Λόγον τὸν ἀΐδιον, τὴν δεξαμένην ἀφράστως σωματούμενον.

Ἐκ τῆς ῥίζης, Ἰεσσαὶ ξυνωρὶς ἀνατέταλκεν, ἐξ ἧς ἀνεβλάστησε, ῥάβδος τὸ ἄνθος ἡ φέρουσα, ὅλον με τὸν ἄνθρωπον, εὐωδιάζον τῷ μύρῳ τῆς Θεότητος.

Ἔθυνόν μου, Θεοτόκε τὸν βίον προστάγμασιν, ἐνθέως ῥυθμίζουσα, τοῦ σαρκωθέντος Λόγου ἐκ σοῦ, καὶ πρὸς φῶς ὁδήγησον, Παρθενομῆτορ Μαρία Θεονύμφευτε.

Ἄλλος. Εἰσακήκοα Κύριε.

ΠΑῖς θωπείαις ὁ Τύραννος σοῦ καταμαλάττειν Μάρτυς τὸ εὔτονον, καὶ νικῆσαί σε οἰόμενος, Οὐρανὸν τοξεύειν ἐνομίζετο.

ΟΥ'κ αἰσθανῇ παρῄορε, τοῦ Χριστοῦ τὴν δυνάμιν στερεοῦσάν με, πρὸς τοὺς πόνους καὶ τὰ σκάμματα, τῷ Τυραννῷ κράζεις, Παναοίδιμε.

ΕΙ' μὴ δυνάμις ἄνωθεν, ἦν μοι δεδομένη Τύραννε ἔκραζε, Σεβηριανὸς πῶς ἴσχυον, σὰρξ ὑπάρχων, τομὰς ὑπενέγκαι ξιφῶν; Θεοτοκίον.

ΠΑναγία Θεόνυμφε, δίδου μοι βοήθειαν ταῖς πρεσβείαις σου, λυτρωθεῖναι τοῦ ἀλάστορος, ἵνα σε δοξάζω τὴν ἐλπίδα μου.

Ὠδὴ, ε'. Ὁ φωτισμός.

ΕΩ'φρων δυὰς, καθαρότητος αἴγλῃ λελάμπρυσμένη, τὴν τῆς Παρθενίας τῷ θείῳ φέγγει κατακοσμοῦσαν, τὴν στειρεύουσαν φύσιν, τῶν ἀνθρώπων ἡμῖν ἐκτέτοκεν, Ἄννα καὶ Ἰωακεὶμ οἱ θεόληπτοι.

ΠΑρθενικὸν, θεοκόσμητον θρόνον τῷ τῶν ἁπάντων, περιδεδραγμένῳ παλάμῃ θείᾳ, τῆς σωφροσύνης ἡ σεπτὴ συζυγία, καὶ θεόφρων δυὰς ἐκτέτοκεν, Ἄννα καὶ Ἰωακεὶμ οἱ πανεύφημοι.

Ἀ'Νατολῆς, τῆς ἐξ ὕψους φανείσης εἰς ὁδηγίαν, τῶν πεπλανημένων τὴν φωτοφόρον, πύλην ὁ Θεῖος Ἰωακεὶμ καὶ Ἄννα, θεοφρόνως πολιτευσάμενοι, τίκτειν οἱ θεόπται σαφῶς ἠξιώθησαν.

ΝΟ'μου καινοῦ, τὴν θεόγραφον πλάκα ἐν ᾗ τὴν λύσιν, τῶν ἁμαρτημάτων τοῦ πάλαι νόμου, ὁ Θεῖος Λόγος προετύπωσε πρώην, ὡς ἐκ πέτρας νῦν ἐλατόμησε, νεύματι ὁ πάντων κρατῶν ἐκ στειρώσεως.

ΑΙ'γλῃ τῇ σῇ, Θεομῆτορ τὸν νοῦν μου καταυγασθεῖναι, τὸν ἐσκοτισμένον τῇ ἁμαρτίᾳ, νεῦσον Παρθενέ, τῆς ἀγνοίας τὸν ζόφον, καὶ πταισμάτων ἐξαφανίζουσα. ἄλλην γὰρ ἐκτός σου φρουρὸν οὐκ ἐπίσταμαι.

Ἄλλος. Ὀρθρίζοντες.

Ἐ'Κρίῳ ἀνηρτήθης Ἀοίδιμε, καὶ τὸ σῶμα κατεξάνθης ὄνυξιν, ὑπὲρ τοῦ πάντων Δεσπόζοντος.

ΘΕέ μου ἀνεβόας ἐνίσχυσον, τὸν ἀγῶνα τοῦτον ἐκτελέσαι με, τοῦ μαρτυρίου ξεόμενος.

ΩΣ εἶδέσε ὁ τύραννος Ἔνδοξε, ἀνενδότως τὰς βασάνους φέροντα, κατεβροντήθη ὁ δείλαιος. Θεοτοκίον.

Ἐ'Λπὶς καὶ προστασία καὶ σκέπη μου, Θεοτόκε σῶσόν με πρεσβείαις σου, ἐκ τῶν σκανδάλων τοῦ ὄφεως.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ.

ΤΟνιμώτατον σπόρον ἡ στεῖρα τὸ πρὶν, Ἄννα δεξαμένη ἐκ Θείας ἐλλάμψεως, Παῖδα τεκεῖν ἠξίωται, τὴν τῶν πάντων κτισμάτων δεσπόζουσαν.

ΝΥ'ν ἡ στεῖρα γεννῶσα βουλήσει Θεοῦ, πείθει παραδέχεσθαι Παρθένον τίκτουσαν, ἄνευ σαρκὸς θελήματος, τοῦ αὐτοῦ βουληθέντος Θεοῦ προφανῶς.

Ἐ'λλαμφθεὶς Ἡσαΐας τῷ Πνεύματι, τοῦ Ἰωακεὶμ καὶ τῆς Ἄννης τὸ κύημα, Τόμον καινὸν ἑώρακεν, ᾧ ἐγράφη ὁ Λόγος σαρκούμενος.

ΜΥστηρίου προτρέχει μυστήριον. πρὶν γὰρ ἡ στειρεύουσα χάρις γεγέννηκε, τῆς σωτηρίας πρόξενον, παρθενίας γεννήσει φανεῖσαν ἡμῖν. Ἄλλος. Χιτῶνά μοι.

ΦΡουρᾷ σε καθειργνύει ὁ δεινὸς, καὶ λιμῷ βιάζει σε ἀρνήσασθαι Κύριον. ὃν Παμμάκαρ ἐκ νεότητος ἔστερξας.

Ἀ'Τόμενος Σοφὲ εἰς φυλακὴν, πάντας τοὺς ὁρῶντάς σε, Χριστοῦ μὴ ἀφίστασθαι, παῤῥησίᾳ νουθετῶν ἐξεπαίδευσας.

ΕΠαθίζεσθαί σε Μάρτυς ὁ δεινὸς, καὶ παράφρων Τύραννος, κελεύει μὴ θύοντα τοῖς εἰδώλοις. ἀλλὰ σὺ οὐκ ἐφρόντισας. Θ'.

ΧΙτῶνά με ἐνδύσασθαι φωτὸς, σαῖς πρεσβείαις ποίησον, Ἁγνὴ τὸν ὑμνοῦντά σε, ἐν ἡμέρᾳ τὸν δυσείμονα κρίσεως.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

ΕΥ'φραίνεται νῦν, ἡ Ἄννα τῆς στειρώσεως, λυθεῖσα δεσμῶν, καὶ τρέφει τὴν Πανάχραντον. συγκαλοῦσα ἅπαντας, ἀνυμνῆσαι τὸν δωρησάμενον, ἐκ νηδύος αὐτῆς τοῖς βροτοῖς, τὴν μόνην Μητέρα καὶ ἀπείρανδρον.

Ὁ Οἶκος.

ΗΕ' Τῶν δεσμῶν τῆς πρὶν ἀτεκνίας δι' εὐχῆς λυθεῖσα, προσκαλεῖται ἡμᾶς συνεορτάσαι τῷ θαύματι, καὶ δῶρα προσάξαι τῇ Γεννηθείσῃ. λιτανεύοντας ἔμπροσθεν μετὰ πόθου, ὥς περ ποτὲ αἱ Παρθένοι ἐν τάχει προέτρεχον, χορεύουσαι καὶ βοῶσαι· ἰδοὺ

ἦλθεν

ἦλθεν ἡ πάντων ἀνάκλησις. ἰδὺ Ἀδὰμ ἠλευθέρωται, ὅτι Ἄννα καρπὸν ἀνεβλάστησε, τὴν μόνην Μητέρα καὶ ἀπείρανδρον.

Τῷ αὐτῷ Μηνὶ Θ'. Ἡ σύναξις τῶν Δικαίων Ἰωακεὶμ, καὶ Ἄννης.

ξι. Ἰωακεὶμ τέρφθητι σὺν τῇ Συζύγῳ,
Τεκόντες ἄμφω ψυχικὺν τέρψιν Κτίσει.
Ἡ δ' ἐννάτη τοκέων Θεομήτορος εὗρε σύναξιν.

ΗΝ ἑορτάζομεν διὰ τὴν Γέννησιν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου. ὅτι πρόξενοι οὗτοι τῆς παγκοσμίου σωτηρίας διὰ τῆς Πανυπεράγνου Ἁγίας αὐτῶν Θυγατρὸς τῆς Θεοτόκου γεγόνασι. τὴν γὰρ τελείωσιν τούτων ἡ εἰκοστὴ πέμπτη τοῦ Ἰουλίου Μηνὸς γνωρίζει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ ἅγιος Μάρτυς Σεβηριανὸς λίθον παρὰ τοὺς πόδας φέρων, καὶ ἐπὶ τοῦ τείχους εἰς τὸν ἀέρα κρεμασθεὶς, τελειοῦται.

ξι. Σεβηριανὸς κἂν λίθων ἀλγῇ βάρει,
Χαίρει κρεμασθεὶς, ὡς ἀποσπῶν γῆς πόδας.

ΟΥ̃τος ἦν ἐπὶ Λικινίου τοῦ Βασιλέως ἐν Σεβαστείᾳ, τάξεως ὑπάρχων τῶν Σενατώρων. καὶ συλληφθεὶς ὑπὸ Λυσίου Δουκὸς ὡς Χριστιανὸς, διὰ τὸ καὶ τοὺς Τεσσαράκοντα Ἁγίους Μάρτυρας πρὸς τὸν τοῦ μαρτυρίου ἀγῶνα ὑπαλεῖψαι, ἐπὶ τοῦ τείχους κρεμᾶται, καὶ λίθῳ μεγίστῳ τοὺς πόδας βαρυνθεὶς, τῷ Θεῷ τὸ πνεῦμα παρατίθησι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ Ὁμολογητοῦ, τοῦ πρὸ τοῦ Διοκλητιανοῦ ἀσκήσαντος.

ΟΥ̃τος ἐξ Ἑλλήνων ἦν γονέων, τῷ Χριστῷ δὲ προσελθὼν ἐκ νεαρᾶς ἡλικίας, ἔτι νήπιος ὤν, εἶδε Παιδίον ὑπὸ ψύχους κινδυνεῦον, καὶ ἐνέδυσεν αὐτὸ τὰ οἰκεῖα ἱμάτια. ἐρωτήσαντος δὲ τοῦ Πατρὸς αὐτοῦ, ποῦ σου τέκνον τὰ ἱμάτια; τὸν Χριστὸν ἐνέδυσα, ἔφη. καὶ ὁ Πατήρ· τίς ὁ Χριστὸς εἶπεν; ἡμεῖς γὰρ Ἑρμῆν καὶ Ἀπόλλωνα σεβόμεθα. τότε τοῦ Παιδίου τὸν Πατέρα ἀρνησαμένου, ἔλαβεν αὐτὸ Ἄγγελος Κυρίου, καὶ ἀνήγαγεν αὐτὸ εἰς τὸ ὄρος τὸ Διαβηνὸν, καὶ παρέθετο ἀνδρὶ Ἀσκητῇ χρόνους ἑβδομήκοντα πέντε τὸν μοναστὴν ὑπερχομένῳ βίον. ὅπερ λαβὼν ὁ Γέρων, ἐξεπαίδευσεν ἐν μοναχικῇ καταστάσει τὰ Ἱερὰ γράμματα. ἐτρέφοντο δὲ καὶ ἄμφω ὑπὸ τοῦ Θείου Ἀγγέλου. τοῦ δὲ γέροντος μετὰ παραδρομὴν χρόνων πρὸς Κύριον ἐκδημήσαντος, ὁ Παῖς ἐν τῷ σπηλαίῳ εἴχετο τῆς ἀσκήσεως ἐπὶ χρόνοις πεντήκοντα ὀκτώ. εἶθ' οὕτως ὑπὸ τοῦ Θείου Ἀγγέλου ὁδηγηθεὶς, ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου, λέοντι ἐπικαθήμενος σταδίους ἑξήκοντα, καὶ ἐκήρυσσε πανταχοῦ τὴν εἰς Χριστὸν πίστιν. ὃν καὶ κρατήσαντες οἱ Βασιλεῖς Κάρος καὶ Καρῖνος καὶ Νουμεριανὸς, δέδωκαν αὐτῷ κόντους ἑκατὸν, εἶθ' οὕτως διαφόρους βασάνους ἐνεγκόντες αὐτῷ, ὡς εἶδον, ὅτι δι' ὧν ἐθαυματούργει, πλῆθος οὐκ ὀλίγον προσέρχονται τῷ Χριστῷ, καὶ βαπτίζονται ὑπ' αὐτοῦ, αἰδεσθέντες, ἀπέλυσαν αὐτὸν ἐν ἀσκήσει διάγειν. καὶ πάλιν ἀνελθὼν εἰς ὅπερ ἦν πρώην σπήλαιον, καὶ ἑτέρους ἑπτακαίδεκα χρόνους ἐν τῇ ἀσκήσει διαβιβάσας, ὡς εἶναι τοὺς ὅλους τῆς ἀσκήσεως αὐτῷ χρόνους ἑβδομήκοντα πέντε, μετέστη πρὸς Κύριον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Χαρίτων ξίφει τελειοῦται.

ξι. Πολλὴ χάρις σοι Χριστομάρτυς Χαρίτων,
Χριστοῦ χάριν τράχηλον ἐκκεκομμένῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ ἅγιος Μάρτυς Στράτων, ἐν δυσὶ κέδροις δεθεὶς, καὶ διαμερισθεὶς τελειοῦται.

ξι. Κέδροις ὁμάρτυς προσδεθεὶς Στράτων δύο,
Εἷς ὢν τὸ σῶμα, δείκνυται μέρη δύο.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Μάρτυρες Ἀμμιανὸς, Θεόδωρος, καὶ Ἰουλιανὸς πυρὶ τελειοῦνται.

ξι. Τριττοῖς Ἀθληταῖς ἡ πυρὰ κλίμαξ ξένη,
Δι' ἧς ἀνῆλθον Οὐρανοῦ πρὸς τὸ πλάτος.
Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

ΕΚ ῥίζης βλαστήσασα δυὰς ἁγία, Δαβὶδ τοῦ Θεόφρονος, τὴν ῥάβδον τὴν πανίερον, Παρθένον τὴν ἄχραντον, τῷ Κόσμῳ τέτοκεν, ἄνθος ἱερώτατον ἡμῖν, Χριστὸν ἀσπόρως ἐξανατέλλουσαν.

ΛΑμπάδα πολύφωτον τὴν Θεοτόκον, ἡ Ἄννα ἡ ἔνθεος, καθάπερ χρυσαυγίζουσα, λυχνία βαστάζουσα τὸν Κόσμον ἅπαντα, θείῳ κατελάμπρυνε φωτὶ, καὶ παρθενίας λαμπροῖς πυρσεύμασι.

ΠΡοπάτορες ἔνδοξοι τοῦ σαρκωθέντος, δι' ἄφατον ἔλεος, Θεοῦ τοῦ Παντοκράτορος, Παιδὸς ἐκ θεόφρονος ὑμῶν πανόλβιοι, νῦν μοι τῷ προσφεύγοντι ὑμῖν, πλημμελημάτων λύσιν βραβεύσατε.

Ὡς

Ὡς ὄντες ὑπέρτεροι τῶν Γεννητόρων, τὴν πάντων Δεσπόζουσαν, κτισμάτων ἐκτετόκατε, Μαρίαν τὴν ἄχραντον, τὴν τεξαμένην Θεὸν, σάρκα περιθέμενον ἡμῖν, ὁμοίαν πάντῃ, δι' εὐσπλαγχνίαν πολλήν.

Ἄλλος. Ὁ ἐν ἀρχῇ τὴν γῆν.

Λίθοις ἁδροῖς συντρίβει σου τὸ σῶμα, ὁ ἀσεβὴς, ὑμνοῦντος παῤῥησίᾳ, Χριστὸν ἐν μέσῳ τῶν παρανόμων. οὗ τῆς δόξης τυχὼν, νῦν χορεύεις λαμπρῶς.

Ἰωρηθεὶς τοῦ τείχους Ἀθλοφόρε, τοῦ Δικαστοῦ πολλῇ παραπληξίᾳ, ἐν βάρει λίθων πεπεδημένος οὐκ ἠρνήσω, Θεὸν τὸν τῶν Πατέρων ἡμῶν.

Ὦ Τῆς στεῤῥᾶς ἐνστάσεώς σου Μάκαρ, ὦ τῆς θερμῆς ἀγάπης πρὸς τὸν Κτίστην, δι' ἣν στεφάνῳ κατακοσμεῖ σε τῷ ἀφθάρτῳ, καλῶς ὑπεραθλήσαντα. Θεοτόκιον.

Σὺ εἶ μου φῶς, Παρθένε Θεοτόκε, σὺ εἶ χαρὰ καὶ σκέπη καὶ λιμήν μου, εὐλογημένη, καὶ σὲ δοξάζω ὡς τεκοῦσαν, Θεὸν τὸν τῶν Πατέρων ἡμῶν. Ὠδὴ η'. Τὸν ἐν καμίνῳ.

Ἀλούτῳ κομῶντες ἀρετῶν, τὴν ἐν δόξῃ θεϊκῇ πεποικιλμένην, Βασιλίδα Παρθένον, Ἰωακεὶμ ὁ σεπτὸς, καὶ Ἄννα ἡ σώφρων τετόκασιν, ἣν πᾶσα ἡ Κτίσις, ὑμνεῖ ὡς Θεοτόκον.

Ἁβδὸς δυνάμεως ἡμῖν, δι' ὑμῶν φίλοι Θεοῦ ἐξαπεστάλη, ἡ Πανάμωμος Νύμφη, δι' ἧς ἐν μέσῳ ἐχθρῶν, ἀθέων κατακυριεύομεν, τὰς μηχανουργίας αὐτῶν καταπατοῦντες.

Ὅπλον ἡμῖν παρὰ Θεοῦ, εὐδοκίας παρὰ σοῦ ἱερωτάτη, ξυνωρὶς ἐδωρήθη. ᾧ νῦν ἡμεῖς οἱ πιστοὶ, ὡραίως ἀεὶ στεφανούμεθα, ἡ Θεὸν τεκοῦσα, ἁγνὴ Παρθενομήτωρ.

Φωτοχυσίαις τοῦ ἐκ σοῦ, σαρκωθέντος δι' ἡμᾶς λελαμπρυσμένη, ἡ δυὰς ἡ ἀρίστη, τῶν Γεννητόρων τῶν σῶν, γεννῶσι Πανάμωμε Δέσποινα, πρόξενον ἡμῖν, ἀγαθῶν ἐπουρανίων.

Ὥμη Θεοῦ καρπογονεῖ, ἡ στειρεύουσα γαστὴρ ἀνοιγομένη, καὶ προέρχεται Πύλη, Παρθενικὴ παμφανὴς, ὁ Λόγος δι' ἧς ἐπεδήμησεν, ἐπὶ τῆς γῆς σαρκωθεὶς ἀφράστῳ λόγῳ.

Ἄλλος. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ἐγκαρτερήσας, τοῖς αἰκισμοῖς ἕως τέλους, Στρατιῶτα Κυρίου μετέστης, χαίρων πρὸς τὴν ἄνω, παμμάκαρ Βασιλείαν.

Ὑ κατηχούθης, διὰ Χριστὸν Γενναιόφρον, ὑπομείνας, βάσανα ποικίλα. ὅθεν συνδοξάζῃ, αὐτῷ εἰς τοὺς αἰῶνας.

Στεφανηφόρος, σὺν Ἀθληταῖς νῦν χορεύεις, ἀληθῶς περὶ τὸν Βασιλέα. μέμνησο τῶν πίστει, τελούντων σου τὴν μνήμην. θ'.

Ὦ Θεομῆτορ, Χριστιανῶν ἡ προστάτις, ἐξελοῦ ἡμᾶς πάσης ἀνάγκης, ἵνα σε ὑμνῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Ὁ Μόφρονες σύμψυχοι, τὴν ἀρετὴν ὑπάρχοντες, τῆς Πανάγνου Παρθένου, σεπτοὶ Γεννήτορες, τοὺς ἐπιτελοῦντας προθύμως, τὴν εὐκλεῆ, καὶ ἔνδοξον μνήμην, ὑμῶν ἱερώτατοι, λυτρωθῆναι δυσωπήσατε.

Νομὴν κατεπαύσατε, τὴν τοῦ θανάτου Ἔνδοξοι, τῆς ζωῆς τὴν Μητέρα, λαμπρῶς γεννήσαντες, τὴν ἐξαφανίσασαν τούτου, τὴν προσβολὴν, καὶ τῆς ἀθανάτου, ζωῆς προξενήσασαν, τὴν ἐλπίδα διὰ πίστεως.

Ὡραῖος ὡς Ἥλιος, Ἰωακεὶμ ἐνούμενος, τῇ φωσφόρῳ Σελήνῃ, τῇ Ἄννῃ τέτοκε, τὴν τῆς παρθενίας ἀκτῖνα, δι' ἧς αὐγὴ, τῆς θείας οὐσίας, σαρκὶ καθ' ὑπόστασιν, ἑνωθεῖσα ἡμῖν ἔλαμψε.

Σωφρόνως βιώσαντες, καὶ εὐσεβῶς Μακάριοι, νῦν τρυφῆς τῆς ἀφράστου, κατηξιώθητε, τῆς θεοφανείας τυχόντες, τοῦ ἐξ ὑμῶν τῷ Κόσμῳ φανέντος. ὅν περ δυσωπήσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἄλλος. Κρίως Θεοτόκον.

Χερσὶ τῶν σὲ ποθούντων, Μάκαρ σου τὸ σῶμα, περισταλὲν κατετάφη ὡς ἅγιον, καὶ ἰαμάτων ἐκβλύζει, κρουνοὺς εἰς δόξαν Θεοῦ.

Ὦ Θαῦμα πῶς ἀνέστη, ὁ θανὼν οἰκέτης, καὶ προσυπήντα σου δρόμῳ τῷ σώματι, πρὸς τὴν ταφὴν ἀγομένῳ, Μάρτυς πανάριστε.

Ψυχὼν τῆς αἰωνίου, μάκαρ Βασιλείας, καὶ τῷ Δεσπότῃ Χριστῷ παριστάμενος, ὑπὲρ τῶν σὲ ἀνυμνούντων, θερμῶς καθικέτευε. θ'.

Ἐξίσταντο Ἀγγέλων, αἱ ταξιαρχίαι, σεσαρκωμένον ὁρῶσαί σε φέρουσαν, τὸν Ποιητὴν τῶν αἰώνων, καὶ σὲ ἐδόξαζον.

Ἐξαποστειλάριον. Ἐπεσκέψατο.

Ἡ Τῆς Εὔας τὴν ἀρὰν, ἐξάρασα νῦν τίκτεται, ἐκγηραλαίων ἀκάρπων, ἐξ Ἄννης καὶ Ἰωακείμ. ἣν σὺν Ἀγγέλοις ἅπαντες, καταχρέως ἐν ὕμνοις, πιστοὶ εὐφημήσωμεν.

Ἐπ-

Ἕτερον τῆ Ἁγίᾳ. Γυναῖκες ἀνεστίωθητε.

Τὴν Λάμπτης ἐχρημάτισας, Μαρτύρων Τεσσαράκοντα, ἀεὶ σὺν αὐτοῖς ἐν λίμνῃ, παμμάκαρ Σεβαστιανέ· μεθ' ὧν ἀεὶ μνημονεύεις, τῶν ἐκτελούντων σου δόξῃ, τὸν φωτοφόρον σου μνήμην, καὶ σὲ τιμώντων ἐκ πόθου, Μάρτυς Χριστοῦ Ἀθλοφόρε. Ὅμοιον.

Τὴν Δαμιανοῦ ἀνακαινίωθητι, καὶ Εὐπλοίᾳ μεγαλύνθητι. Προφῆται σοὶ Ἀποστόλοις, χορεύσατε καὶ δικαίοις. κοινὴ χαρὰ ἐν Κόσμῳ, Ἀγγέλων τε καὶ ἀνθρώπων, ἐκ τοῦ δικαίων σήμερον, Ἰωακείμ τε καὶ Ἄννης, γεννᾶται ἡ Θεοτόκος. Εἰς τὸν ᾱ. τῆς Ἁγίων. ᾱ. ἦχ β.

Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίρῃς τῷ Λυτρωτῇ, καὶ παύσῃ κηδεμόνι, τῷ ᾱπαρ παρ' ἐλπίδα, πεκτῆναι τὸν Θεοτόκον, ἀῤῥήτως δεδοκήσαντι.

ᾱ. Ἄκαστον Θύγατερ.

Εὔπεπτον τὸν ἐκ Δαβὶδ, καὶ Ἰούδα φυῆσαν, Θεοτόκον Μαρίαν, ἐξ ἧς ἡ Σωτηρία, ἀπαύστως μεγαλυνώμεν.

ᾱ. Τὸ πρόσωπόν σου.

Σήμερον δόκλεως, ἐξ Ἄννης ἡ Παρθένος, ἡ φωτοφόρος πύλη, γεννᾶται παραδόξως. λαοὶ, φυλαὶ σκιρτήσατε.

Δόξα, καὶ νῦν, ἦχος β.

Πρὸς, Σήμερον ὁ Χριστὸς ἐν Βηθλεέμ.

Σήμερον ἡ παναμωμος Ἁγνὴ προῆλθεν ἐκ τῆς Στείρας. σήμερον τὰ παῖδα δοξάζονται ἐν τῇ αὐτῆς Γεννήσει. ὁ Ἀδὰμ τοῦ δεσμῶν ἀπολύεται, καὶ ἡ Εὔα τῆς ἀρᾶς ἠλευθέρωται. τὰ ἄρρενα παῖδα ἀγάλλονται, καὶ ἀρτίη τοῖς ἀνθρώποις βραβεύεται. ἡμᾶς δὲ δοξολογοῦντες βοῶμεν· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς ἀρτίη, ἐν ἀνθρώποις εὐδοκία.

Εἰς τὴν Λατρείαν, Τυπικὰ, ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς, ᾠδὴ γ'. καὶ ἐκ τοῦ Ἁγίων ᾠδὴ ς'. Προκείμενον, ἦχος δ'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. ᾱ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους. Ἀδελφοὶ, εἶχεν ἡ πρώτη σκηνή. Ἀλληλούϊα. Σωτηρία τοῦ δικαίου παρὰ Κυρίου. Εὐαγγέλιον κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος· ὑδεὶς λύχνον ἅψας. Ζήτει σαββάτῳ ς'. κατὰ Λουκᾶν. Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ. Καὶ τὰ λοιπά. Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς συνήθως, καὶ Ἀπόλυσις.

Μνεία τῶν αὐτῶ Γ'.

Τῶν Ἁγίων Μαρτύρων, Μιννοδώρας, Μητροδώρας, καὶ Νυμφοδώρας.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἰσωμεν ᾱ. ς. καὶ ψάλλομεν ᾱ. ἦχος β.

Ποίοις δ' ἐγκωμίων στέφανοις;

Ποίοις οἱ δ' ἐλεῆς χείλεσιν, δ' ἐγκωμιάσωμεν νῦν τὴν τεχθεῖσαν, τὴν ἁγιωτέραν τῆς Κτίσεως, καὶ τιμιωτέραν ὑπάρχουσαν, Χερουβὶμ καὶ πάντων τῶν Ἁγίων. τὸν τοῦ Θρόνον, Βασιλέως τὸν ἀσάλευτον, τὸν οἶκον, ἐν ᾧ κατῴκησεν ὁ Ὕψιστος, τὴν σωτηρίαν τοῦ Κόσμου, τοῦ Θεοῦ ἁγίασμα, τὴν παρέχουσαν τοῖς πιστοῖς, ἐν τῇ θείᾳ Γεννήσει αὐτῆς, τὸ μέγα ἔλεος.

Ποῖα πνεύματικὰ ἄσματα, νῦν προσάξωμέν σοι Παναγία; τῇ γῆν ἐκ τῆς Στείρας Κτίσασα, ἅπαντα τὸν Κόσμον ἡγίασας, καὶ Ἀδὰμ δεσμῶν ἀπελυτρώσω, καὶ Εὔαν, ἐκ τῶν ὠδίνων ἠλευθέρωσας, Ἀγγέλων, διὸ χοροὶ συνεορτάζουσιν. ὁ Οὐρανὸς τῇ γῇ χαίρει, καὶ ἐπικροτοῦσιν αἱ ψυχαὶ δικαίων ᾠδάς, πιστῶς ἀνακραζούσαι, εἰς δόξαν τῆς Γενεθλίου σου.

Ἵνα τὰ φοβερὰ ἄσματα, ἃ προσῆξάν σοι τότε Παρθενίαι, κύκλῳ σε περιθέσης ἱσάμεναι, Κόραι χαρμοσύνως χορεύσαι, καὶ θαμβητικῶς ἀναβοῶσαι· ἐτέχθη, τοῦ Βασιλέως τὸ Παλάτιον· ἐκλάμπει, ἡ Κιβωτὸς τοῦ ἁγιάσματος. πύλαι ἰωοίχθησαν ᾱραι. τοῦ Θεοῦ γὰρ Πύλη, δι' ἡμᾶς τῆς ἀρετῶν, ἀνάγει βραβεύσασα, ἀρτίαν καὶ μέγα ἔλεος.

Ἕτερα τῆς Ἁγίων, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Αἵματος θείας ἐξαίματος, ἑαυτὰς ὡραΐσασαι, τῷ ὡραίῳ κάλλει, Κόραι νεανίδες, ἀδιαφθόρως συνήφθητε, Χριστῷ τῷ Θεῷ ἡμῶν, σωτηρᾶντι τὰς ὑμῶν, παρθενίαν ἀμόλυντον, εἰς ἀκήρατον, ἀφθαρσίας νυμφῶνα, εἰς θαλάμους, Οὐρανίους, εἰς παστάδα, ἀχειροποίητον Μάρτυρες.

Τελεῖ μὲν τῷ σώματι, καὶ πελείῳ φρονήματι, παλαμναῖον δράκοντα, τὸν ἀρχέκακον, καταπαλαίσατε εὐδόξοι, δυνάμει τοῦ Πνεύματος, καὶ ἀνίσχυρον αὐτὸν, τῇ ἰσχυῖ ἀπεδείξατε. ὅθεν ἤρατε, τὰς κεφαλὰς τῆς τίκης, Μιννοδώρα, Μητροδώρα, Νυμφοδώρα, αἱ τῆς Τελειάδος ὑπέρμαχοι.

Καὶ

Καὶ τὰ μέλη ςρεβλούμεναι, καὶ πυρὶ δαπανώμεναι, σιδηροῖς τε ὄνυξι, σπαραττόμεναι, καὶ ἐπὶ ξύλου κρεμάμεναι, καὶ ξίφει τεμνόμεναι, οὐκ ἠρνήσασθε Χριςὸν, Ἀθλοφόροι πανεύφημοι. ὅθεν εὕρατε, τοὺς ςεφάνους τῆς νίκης, Μηνοδώρα, Μητροδώρα, Νυμφοδώρα, αἱ τῆς Τριάδος ἰσάριθμοι.

Δόξα, καὶ νῦν, ἦχος δ'.

Δι' Ἀγγέλου προῤῥήσεως, γόνος πάνσεπτος τοῦ Ἰωακεὶμ καὶ Ἄννης, τῶν Δικαίων σήμερον προῆλθες Παρθένε. Οὐρανὸς καὶ Θρόνος Θεοῦ, καὶ δοχεῖον καθαρότητος, τὴν χαρὰν προμηνύουσα παντὶ τῷ Κόσμῳ, τῆς ζωῆς ἡμῶν πρόξενε, κατάρας ἀναίρεσις, εὐλογίας ἡ ἀντίδοσις. διὸ ἐν τῇ Γεννήσει σου Κόρη θεόκλητε, τὴν εἰρήνην αἴτησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Εἰς τὸν ᾳ. ςιχηρὰ, ἦχος β'.

Οἶκος τοῦ Ἐφραθᾶ.

Χορὸς τῶν Προφητῶν, ἀγάλλεσθε. ἰδοὺ γὰρ, Στεῖρα καρπὸν ἐκφύει, ἐν ᾧ αἱ Προφητεῖαι, ὑμῶν περαιωθήσονται.

ᾳ. Ἄκουσον Θύγατερ.

Σκίρτα Ἰωακεὶμ, ὁρῶν Ἄνναν κοιλίας, καρπὸν ἐκφύουσάν σοι. τοῦ ὃ ζωὴ τῷ Κόσμῳ, καὶ λύτρωσις τεχθήσεται.

ᾳ. Τὸ πρόσωπόν σου.

Ἦρας Ἰωακεὶμ, καὶ ςείρωσις τῆς Ἄννης, σκιρτάτωσαν ὡς πάλαι, γηράσασαν τὴν φύσιν, τὴν βρότειον καινίζοντα.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ὕμνον ἐκ ῥυπαρῶν, χειλέων Θεοτόκε, προσδέχου καὶ τὴν λύσιν, δίδουμοι τῶν πταισμάτων, καὶ τῶν κακῶν διόρθωσιν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ᾳλδ. Ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων, οὗ ἡ ἀκροᾳ. Τριῶν ἀδελφῶν γνησίων ἄθλους σέβω.

Ἰωσήφ. Ὠδὴ α'. ἦχος δ'.

Ἀνοίξω τὸ ςόμα μου.

Πριάδα τὴν ἄκτιςον, ἣν εὐσεβῶς ἐκηρύξατε, ἡμῖν ἱλεώσασθε, Μάρτυρες ἔνδοξοι, νῦν γεραίρουσιν, ὑμῶν τοὺς θείους ἄθλους, καὶ τὰ κατορθώματα, θεομακάριςοι.

Ἡμάτων ἠλόγησαν, τοῦ δυσμενοῦς αἱ Νεανίδες, τῷ θείῳ φραττόμεναι, ὅπλῳ τῆς Πίςεως, καὶ ὑπέςησαν, βασάνων τρικυμίαν, καὶ θάνατον ἄδικον, διὰ τὴν πάντων ζωήν.

Ἐσχύϊ ῥωννύμεναι, παντοδυνάμῳ τοῦ Κτίσαντος, ἀνδρείαν ἀνέλαβον, γνώμην αἱ πάνσεμνοι, καὶ τὸν δράκοντα, τὸν σκολιὸν τὸν μέγαν, ποσὶ κατεπάτησαν, καὶ κατηδάφισαν.

Θεοτοκίον.

Ὡς ἔμψυχον θάλαμον, ὡς ἀδιάφθορον σκήνωμα, ὡς πύλην Οὐρανίον, ὡς Θείαν Τράπεζαν, ὡς Παλάτιον, καὶ Θρόνον τοῦ Δεσπότου, Μαρίαν τὴν ἄχραντον, ὕμνοις τιμήσωμεν.

Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Νενεκρωμένῳ, λογισμῷ ὁ παράνομος Τύραννος, τὴν ζωὴν ἡμῶν Χριςὸν, δεινῶς ἀρνεῖσθαι ἠνάγκαζε, Μάρτυς Μηνοδώρασε καταικιζόμενος.

Ἐτενιζούσης, πρὸς Θεὸν δικαςὴς οὐκ ἐφείσατο, ἀλλὰ ῥάβδοις ἀπηνῶς, συνθλᾷ τὰ μέλη σου ςέφος σοι, πλέκων ὡς οὐκ ᾤετο, Μάρτυς ἀμάραντον.

Διὰ βασάνων, αἱ τρισόλβιοι ἅγιαι Μάρτυρες, θησαυρὸν ἐν Οὐρανοῖς, καὶ αἰωνίζουσαν εὔκλειαν, εὕραντο τρανώτερον, Θεῷ ἐγγίζουσαι.

Θεοτοκίον.

Ἐπιφανεῖσα, τῆς ψυχῆς μου τὸ σκότος ἀπέλασον. ἁμαρτίας τὰς σειρὰς, Ἁγνὴ Παρθένε διάῤῥηξον. σῷσόν με κυήσασα, τὸν πανοικτίρμονα.

κα. ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν ὑμῶν, τὴν καρτερίαν τὴν πολλὴν, ἐπουράνιοι χοροὶ, τῶν Ἀσωμάτων Λειτουργῶν. ὥς περ γὰρ ἄλλου πάσχοντος διέκεισθε. τὰ σκέλη τοῖς μοχλοῖς, συντριβόμεναι, θάνατον πικρὸν, ὑπομένουσαι, καὶ γυναικείῳ σώματι, τὸν δράκοντα τὸν ἀποςάτην συντρίβουσαι, Παρθένοι θεόνυμφοι, τοῦ Ζωοδότου, ὑπέρμαχοι πίςεως.

Δόξα, καὶ νῦν, θτ. Ὅμοιον.

Ἡ Παρθένος Μαριὰμ, καὶ Θεοτόκος ἀληθῶς, ὡς νεφέλη τοῦ φωτὸς, σήμερον ἔλαμψεν ἡμῖν, καὶ ἐκ Δικαίων προέρχεται, εἰς δόξαν ἡμῶν. οὐκ ἔτι ὁ Ἀδὰμ, κατακρίνεται· ἡ Εὔα τῶν δεσμῶν, ἀπολέλυται. καὶ διὰ τοῦτο κράζομεν, βοῶντες, ἐν παῤῥησίᾳ τῇ μόνῃ Ἁγνῇ· χαρὰν μηνύει, ἡ Γέννησίς σου, πάσῃ τῇ Οἰκουμένῃ.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἀμπομένη ταῖς ἀκτῖσι, τοῦ Σταυροῦ ἡ ἀοίδιμος, Μητροδώρα ξύλῳ, ἀπαιωρουμέ-

ρυμένη ὑπέφερε, τὴν τοῦ πυρὸς τιμωρίαν, πλάνης ἄνθρακας, δροσισμῷ ἀγάπης, τοῦ Χριστοῦ ἀποσβέσασα.

Φανωτάτῃ θεωρίᾳ, λογισμῷ ἀτενίζουσα, καὶ φανταζομένη, κάλλος τοῦ Νυμφίου ἀμήχανον, κατεαγεῖσα μοχλῷ τε ἡ ἀοίδιμος, Μηνοδώρα φέρει, καρτερῶς τὰ ἐπίπονα.

Ὡ Ῥαιώθητε Παρθένοι, καὶ φαιδρῶς ἐδοξάσθητε, τὸν δεδοξασμένον, Λόγον ὁλικῶς ἀγαπήσασαι. οὗ τετρωμέναι τῷ πόθῳ, ὑπεμείνατε, παθημάτων τὰς ἐπαγωγὰς καρτερώτατα. Θεοτοκίον.

Νεκρωθέντα με κακίᾳ, τοῦ δολίου Πανάχραντε, ἡ ζωὴν τεκοῦσα, ζώωσον. πρὸς σὲ γὰρ κατέφυγον. καὶ ἐμπεσόντα εἰς βάθη παραπτώσεων, ἐπανάγαγε, ὡς συμπαθὴς παναμώμητε.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Ἐνώμην καρτερικὴν, καὶ ἀήττητον φρόνημα, αἱ Μάρτυρες πρὸ βημάτων, ἐνδεικνύμεναι νίκης, στεφάνους ἀνεπλέξαντο.

Νῦν φέρει σιδηρῶν, ἐξ ὀνύχων σπαράγματα, στερρότατα κρεμαμένη, Νυμφοδώρα Νυμφίον, ποθοῦσα τὸν ἀθάνατον.

Ἡ Τρίφωτος λαμπὰς, τὸ τριόροφον οἴκημα, τὸ σκήνωμα τῆς Τριάδος, εὐφημείσθωσαν ὕμνοις, Παρθένοι αἱ θεόφρονες. Θεοτοκίον.

Σὲ μόνην ἐκλεκτὴν, καὶ καλὴν καὶ ἀμώμητον, εὑράμενος σωματοῦται, ὁ ὑπέρθεος Λόγος, ἐκ σοῦ Θεοχαρίτωτε.

Ὠδὴ ς'. Θύσω σοι, μετὰ φωνῆς.

Ἰδεῖν σου, ἐφιέμεναι κάλλος ἀμήχανον, αἱ τετρωμέναι τῷ πόθῳ, σοῦ τῷ γλυκυτάτῳ ἄναρχε Λόγε, τῶν βασάνων, τὴν πικρίαν γενναίως ὑπήνεγκαν.

Ὡ Σκρίνα, Ἀθλητῶν ἐν λειμῶνι ἐξήνθησαν, αἱ παναοίδιμοι Κόραι, καὶ τὴν Ἐκκλησίαν πνοαῖς βασάνων, τῶν ποικίλων, εὐωδίασαν Πνεύματος χάριτι.

Νυμφίον, τὸν ἀθάνατον μόνον ποθήσασαι, τοῦ ὁρωμένου θανάτου, ἀοράτῳ σθένει νευρούμεναι, ἀριδήλως, οὐκ ἐφρόντισαν Κόραι νεανίδες. Θεοτοκίον.

Ἅγιος, ὁ σκηνώσας ἐν μήτρᾳ σου Κύριος, ἁγιωτέραν εὑρών σε, καὶ καθαρωτέραν Κτίσεως πάσης, Θεομῆτορ, κυριώνυμε ἄχραντε Δέσποινα.

Κοντάκιον, ἦχος δ'. Ὁ ὑψωθεὶς.

Ὑπὲρ Τριάδος καρτερῶς ἐναθλοῦσαι, τὸν πολυμήχανον ἐχθρὸν ἐτροπώσασθε, ἀδελφικῶς τῷ πνεύματι συνδούμεναι. ὅθεν εἰσωκίσθητε, σὺν ταῖς πέντε Παρθένοις, πρὸς τὸν ἐπουράνιον, Ἀθληφόροι νυμφῶνα· καὶ σὺν Ἀγγέλοις τῷ Παμβασιλεῖ, ἐν εὐφροσύνῃ ἀπαύστως παρίστασθε. Ὁ Οἶκος.

Ἐρωτάτην συγκροτεῖ πανήγυριν, ἐν πίστει, ἡ Χριστοῦ Ἐκκλησία, αὐταδέλφων Μαρτύρων, ἐπιτελοῦσα εὐσεβῶς, μνήμην ὑμῶν τὴν φωσφόρον, καὶ λαμπρὰν καὶ παμφαῆ, πανεύφημοι ὁμότροποι. στερρῶς γὰρ ἐπὶ τῆς γῆς, τὸν ἀντίπαλον νοῦν καταπατήσασαι, ἀνεδύσασθε στεφάνους ἐκ χειρὸς τοῦ Παμβασιλέως, παρ' οὗ μοι φωτισμὸν αἰτήσασθε, ὄντως εὐφημῆσαι τὴν ὑμῶν μνήμην ἀξίως, καὶ τὰς θαυμαστὰς καὶ θείας ἀνδραγαθίας. ὑμεῖς γὰρ τῷ Παμβασιλεῖ, ἐν εὐφροσύνῃ ἀπαύστως παρίστασθε.

Τῷ αὐτῷ Μηνὶ Ι'. Τῶν Ἁγίων Μαρτύρων Γυναικῶν Μηνοδώρας Μητροδώρας, καὶ Νυμφοδώρας.

ᾗ. Ἡγοῦντο Μηνοδώρα, καὶ Μητροδώρα, καὶ Νυμφοδώρα δῶρα σαρκὸς αἰκίας.

Τεινόμεναι δεκάτῃ δωρώνυμοι ἔκθανον αἱ Τρεῖς.

Αὗται ὑπῆρχον γνήσιαι Ἀδελφαὶ, οἰκοῦσαι ἀπὸ δύο σημείων, τῶν ἐξερχομένων θερμῶν ἐν τοῖς Πυθίοις. διαβληθεῖσαι δὲ Φρόντωνι τῷ τῆς χώρας Ἄρχοντι, καὶ πικρῶς αἰκισθεῖσαι, παρέδωκαν τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Βαρυψαβᾶ.

ᾗ. Βαρυψαβᾶς δι' Αἷμα Θεῖον Δεσπότου, Οἰκεῖον αἷμα, συντριβεὶς ξύλοις χέει.

Οὗτος ἀπό τινος Ἐρημίτου λαβὼν τὸ τίμιον Αἷμα, τὸ ῥεῦσαν ἀπὸ τῆς Πλευρᾶς τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἰάσεις ἐπετέλει δι' αὐτοῦ. ὅθεν καὶ παρὰ τῶν ἀπίστων νύκτωρ δολοφονεῖται. ὁ δὲ θησαυρὸς οὗτος ἔμεινε πάλιν παρὰ τῷ μαθητῇ αὐτοῦ φυλαττόμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Πουλχερία ἡ Βασίλισσα, ἐν εἰρήνῃ τελειοῦται.

ᾗ. Ὄντως παρέστη ψαλμικῶς Πουλχερία, Ἐκ δεξιῶν σου Βασίλισσα Χριστέ μου.

Αὕτη

ἈΥ῞τη ἦν ἀδελφὴ Θεοδοσίου τοῦ νέου, γυνὴ δὲ ὀνομασθεῖσα Μαρκιανοῦ τοῦ εὐσεβεστάτου Βασιλέως, ἥτις καὶ μέχρι γήρως τὴν παρθενίαν φυλάξασα, καὶ πολλὰ κατορθώματα ἔντε Ναῶν οἰκοδομαῖς, καὶ Γηροκομείων ποιήσασα, καὶ τὴν ἐν Χαλκηδόνι Ἁγίαν Σύνοδον γενέσθαι παρασκευάσασα, ἐν εἰρήνῃ ἀνεπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Ἀποστόλων Ἀπελλοῦς, Λουκᾶ, καὶ Κλήμεντος.

Ἄλλος οὗτος ὁ Ἀπελλὴς, καὶ ἕτερος ὁ Ἡρακλείας τῆς ἐν τῇ Θράκῃ Ἐπίσκοπος γεγονώς. τούτου δὲ μέμνηται ὁ Ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους. ὃς φωστὴρ τῆς Σμύρνης γέγονε, καὶ ἐν τῷ Θεῷ ὁσίως δουλεύσας, πρὸς αὐτὸν ἀναλύει. καὶ οὗτος ὁ Λουκᾶς, οὐχ ὁ Εὐαγγελιστὴς, ἀλλ' ὃν ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ μαρτυρεῖ, πρωτοθρόνος τῆς ἐν Συρίᾳ Λαοδικείας γενόμενος, καὶ καλῶς ποιμάνας, ἀπῆλθε πρὸς Κύριον. Κλήμης δὲ οὗτος, ὃν ἐν τοῖς πρὸς Κολασσαεῖς ὁ Ἀπόστολος διηγεῖται. καὶ γὰρ οὗτος πρῶτος πάντων ἐπίστευσεν εἰς Χριστὸν τοῦ Ἐθνῶν, καὶ Σαρδικῆς Ἐπίσκοπος γέγονε, καὶ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ περιφέρων, πρὸς Κύριον τοῦ ξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Ἴας, ἥτις ξίφει ἐτελειώθη.

ϛ. Ἐκ γῆς ἐτμήθη κοιλάδων Ἴα ξίφει, Καίσοι προσήχθη Σῶτερ ὡς εὔπνουν Ἴον. Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις ὁ Θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Ὠδὴ ζ'. Ἀβραμιαῖοι ποτέ.

ΘΥ'ειν εἰδώλοις σαφῶς, τοῦ δυσσεβοῦς Τυραννου, κελευομένου κατεπτύσατε, βοῶσαι Νεανίδες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

ΑΕλαμπρυσμέναι τὸν νοῦν, θεαρχικαῖς ἀκτῖσιν, ἀχλὺν εἰδώλων ἠμαυρώσατε, πανεύφημοι Μάρτυρες. ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

ΟΥ'κ ἐκτομαὶ τῶν μελῶν, οὐ διωγμὸς οὐ θλίψις, Χριστοῦ χωρίσαι ὅλως ἴσχυσαν, βοώσας τὰς Μάρτυρας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ὑ'περφυῶς τὸν Κτίστην, ἐν τῇ Γαστρί σου Κόρη, κυοφορῆσαι κατηξίωσαι, ἡμᾶς ἀναπλάττοντα, τοὺς μελῳδοῦντας πίστει· Χριστὲ εὐλογητὸς εἶ.

Ὠδὴ η'. Λυτρωτὰ τοῦ παντός.

ΕΤομωθεῖσαι ἀγάπῃ τοῦ Κτίσαντος, ἀπημβλύνατε κέντρα τοῦ ὄφεως, ἐν γυναικείῳ σώματι, ἀνδρικοὺς διανύουσαι τοὺς ἀγῶνας, καὶ στεφάνοις ἐνθέοις στεφόμεναι.

ΕΥμπλακεῖσαι ἐν μέσῳ τοῦ σκάμματος, ἀοράτοις ἐχθροῖς μετὰ σώματος, τοὺς ἀσωμάτους ἔτρεψαν, αἱ θεόφρονες Κόραι ἀναβοῶσαι· εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἐ'Ν Θεῷ τῷ Σωτῆρι νευρούμεναι, ἐν Χριστῷ Ἰησοῦ δυναμούμεναι, τὸ τοῦ ἐχθροῦ ἀνίσχυρον, διωλέσατε κράτος ἀναβοῶσαι· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

ΒΑσιλείας τῆς ἄνω ἐτύχετε, σὺν Χριστῷ Ἰησοῦ βασιλεύουσαι, πεποικιλμέναι στίγμασι, τῶν βασάνων τῷ κάλλει διηνθισμέναι, ἀξιάγαστοι Κόραι Νεανίδες. Θεοτοκίον.

Ὡ'Σ Θεοῦ ἀκηλίδωτον τέμενος, ὑπεδέξω αὐτὸν σωματούμενον, καὶ ἐν δυσὶ ταῖς φύσεσι, γνωριζόμενον Κόρη· ᾧ μελῳδοῦμεν· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

ΙΔεῖν ἐφιέμεναι κάλλος, τὸ τοῦ Νυμφίου ὁλοτρόπῳ, νεύσει πρὸς αὐτὸν Θεοφόροι, ἀθανασίαν ἐμελετήσατε, ἐν τῷ θνητῷ τοῦ σώματος. ὅθεν ἀξίως μακαρίζεσθε.

Ὤ'Φθητε τυραννων ἐν μέσῳ, οἷά περ λύκων ὠμοτάτων, ἄσπιλοι Ἀμνάδες τὴν τούτων, θηριωδίαν καταπαλαίουσαι, καὶ τῷ Χριστῷ εὐπρόσδεκτα, ὡς ἱερεῖα προσαγόμεναι.

ΕΤέφος ἀνεπλέξασθε ἅμα, μὴ παλαιούμενον Παρθένοι, θείας ἐπετύχετε δόξης, καὶ Βασιλείαν ὄντως ἀσάλευτον, παραλαβεῖν ὡς Μάρτυρες, μετὰ Μαρύρων ἠξιώθητε.

ΗΣ κατηξιώθητε δόξης, καὶ ἐπετύχετε χορείας, τοὺς ἐπιτελοῦντας ἐκ πόθου, ὑμῶν τὴν μνήμην τυχεῖν πρεσβεύσατε, ὡς παῤῥησίαν ἔχουσαι, πρὸς τὸν Δεσπότην Σεμνοπάρθενοι. Θεοτοκίον.

ΦΕῖσαί μου Χριστὲ ὅταν ἔλθῃς, κρῖναι τὸν Κόσμον μετὰ δόξης, λῦσον τὴν ἀχλὺν τῶν παθῶν μου, ταῖς ἱκεσίαις τῆς Κυησάσης σε, καὶ τῶν σεπτῶν Μαρτύρων σου, ὡς ἀγαθὸς καὶ πολυέλεος.

Ἑξαποστειλάριον. Φῶς ἀναλλοίωτον.

ΑΙ' τρεῖς Παρθένοι Τριάδα, Θεὸν ἀφράστως ποθοῦσαι, κηρύττουσι τῶν ἀνθρώπων,

πων, ἐνώπιον. διὰ τοῦτο, βασανισθεῖσαι τοῦ στέφους, τυγχάνουσι τοῦ ἀφθάρτου.

Θεοτοκίον. Ὅμοιον.

Ὁ Γλυκασμὸς τῶν Ἀγγέλων, ὁ φωτισμὸς τῶν ἀνθρώπων, ἡ προστασία τοῦ Κόσμου, Θεογεννῆτορ Μαρία, τοὺς σὲ ὑμνοῦντας ἐν πίστει, ῥῦσαι πταισμάτων Παρθένε.

Εἰς τὸν ϛ̃. ϛ̃. ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Τόνος Ἰωακεὶμ, καὶ Ἄννης ἡ Παρθένος, ἐφάνη τοῖς ἀνθρώποις, τῶν δεσμῶν ἀφιεῖσα, τῆς ἁμαρτίας ἅπαντας.

ϛ̃. Ἄκουσον Θύγατερ.

Ὅρος ὡς ἀληθῶς, κατάσκιον ἐδείχθη, ἡ στείρωσις τῆς Ἄννης, ἐξ οὗ ἡ Σωτηρία, πᾶσι πιστοῖς δεδώρηται.

ϛ̃. Τὸ πρόσωπόν σου.

Ἐκ Ἥξασα τὰ δεσμὰ, στειρώσεως τῆς Ἄννης, ἡ πάναγνος Παρθένος, προῆλθε τοῖς ἀνθρώποις, τὴν ἄφεσιν βραβεύουσα.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Τῶμεν οἱ πιστοὶ, δοξάζοντες τὴν Κόρην. ἐτέχθη γὰρ ἐκ Στείρας, τὴν στειρωθεῖσαν φύσιν, ἡμῶν ἀνακαινίζουσα.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς συνήθες, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά. Εὐαγγέλιον εἰ βούλει. Ζήτει Δεκεμβρίῳ δ'. Καὶ τὰ ἑξῆς.

Μηνὶ τῷ αὐτῷ ΙΑ'.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ, ψάλλεται καὶ ἡ Ἀκολουθία τοῦ Ἁγίου Μάρτυρος Αὐτονόμου, διὰ τὸ ἀποδίδοσθαι ἐν τῇ ιβ'. τὴν Ἑορτὴν τῆς Θεοτόκου. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ϛ̃. ϛ'. καὶ ψάλλομεν ϛ̃. ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τυναικείῳ ἐν σώματι, καὶ ἀνδρείῳ ἐν χήματι, ἀνδρικὰ διήνυσας ἀγωνίσματα, μέσον ἀνδρῶν κατοικήσασα, καὶ πάθη μειώσασα, καὶ ὁρμὰς τῶν ἡδονῶν, παντελῶς χαλινώσασα, ταῖς ἀσκήσεσι, τῇ συντόνῳ δεήσει Θεοδώρα, καὶ ταῖς θείαις πρὸς τὸ Θεῖον, καὶ ἀνενδότοις σου νεύσεσιν.

Ὑπὸ γῆν σε ὁ Ἥλιος, ὑποδὺς οὐχ ἑώρακε, πλημμελοῦσαν ἔγνω δὲ, σὲ ὁ ἄδυτος, καρδιογνώστης καὶ Κύριος, ὁ βλέπων τὰ κρύφια, καὶ κατηύγασε φωτὶ, διανοίας τὰ ὄμματα, τῆς καρδίας σου. ὅθεν ἔσπευσας τοῦτον θεραπεῦσαι, ἐπιμόνῳ ἐγκρατείᾳ, καὶ ἀρετῶν τελειότητι.

Μοῦ ἐχθροῦ τὰ σοφίσματα, μηδαμῶς ἀγνοήσασα, ὅπερ οὐκ ὠδίνησας, στέργεις νήπιον. καὶ πατρικοῖς σπλάγχνοις ἔνδοξε, ἐκτρέφεις προφέρουσα, εὐσεβεῖ τῷ λογισμῷ, τὸ ἀνθρώπινον ὄνειδος, τὴν ἀνύποιστον, ἐπιτίμησιν ὄντως, Θεοδώρα. διὰ τοῦτο τὴν σεπτήν σου, ἐπιτελοῦμεν πανήγυριν.

Τοῦ Ἁγίου. Ὅμοια.

Ἀρεταῖς πυρσευόμενος, εὐσεβείᾳ κοσμούμενος, Ἱεράρχης ἔνθεος ἐχρημάτισας. καὶ ὡς πολύφωτος Ἥλιος, τὸν Κόσμον διέδραμες, κατασπείρων πανταχοῦ, τὸ τῆς Πίστεως κήρυγμα. τὴν ἀπάτην δὲ, ἐκριζῶν τῇ δρεπανῇ τῆς σῆς γλώττης, Ἱεράρχα θεοφόρε, μεγαλοκῆρυξ Αὐτόνομε.

Πρὸς ἐπίπονα σκάμματα, πρὸς ἀνδρεῖα παλαίσματα, πρὸς πληγὰς πρὸς μάστιγας προσεχώρησας. ταῖς γὰρ νιφάσι χωννύμενος, τῶν λίθων Αὐτόνομε, καὶ χρησάμενος, αὐτοῖς, ὡς βαθμίσι καὶ κλίμαξιν, ἀνελήλυθας, πρὸς Θεὸν στεφανίτης, καὶ συνήφθης, στρατιαῖς τῶν Ἀσωμάτων, ὑπὲρ τοῦ Κόσμου δεόμενος.

Μὴν στολήν σου ἐν αἵματι, μαρτυρίου ἐτέλεσας, λαμπροτέραν χάριτι Θείου Πνεύματος. καὶ νοερῶς εἰς τὰ Ἅγια, τὰ ἄνω ἀνέδραμες, ἔνθα πρόδρομος ἡμῶν, Ἰησοῦς εἰσελήλυθε, νίκης στέφανον, πρὸς Θεοῦ δεδεγμένος μετὰ πάντων, τῶν ἐν αἵματι τιμίῳ, τελειωθέντων Αὐτόνομε.

Δόξα, καὶ νῦν. ἦχος π̃. β'.

Οἱ καὶ θείῳ βουλήματι, περιφανεῖς Στεῖραι γυναῖκες ἐβλάστησαν· ἀλλὰ πάντων ἡ Μαρία τῶν Γεννηθέντων, θεοπρεπῶς ὑπερέλαμψεν. ὅτι καὶ οὐκ ἀκάρπου παραδόξως τεχθεῖσα Μητρὸς, ἔτεκεν ἐν σαρκὶ τῶν ἁπάντων Θεὸν, ὑπὲρ φύσιν οὐκ ἀσπόρου γαστρός. ἡ μόνη Πύλη τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· ἣν διελθὼν, κεκλεισμένην διεφύλαξε· καὶ πάντα σοφῶς οἰκονομήσας ὡς οἶδεν αὐτὸς, πᾶσι τοῖς ἀνθρώποις σωτηρίαν ἀπειργάσατο.

Εἰς τὸν ϛ̃. στιχηρά. ἦχος α'.

Τῶν Οὐρανίων Ταγμάτων.

Ἰωακεὶμ καὶ ἡ Ἄννα πανηγυρίζουσι, τὴν ἀπαρχὴν τεκόντες, τῆς ἡμῶν Σωτηρίας,

τὴν

τὴν μόνην Θεοτόκον. οἷς καὶ ἡμεῖς, συνεορτάζοντες σήμερον, τὴν ἐκ τῆς ῥίζης ἐκείνης τοῦ Ἰεσσαὶ, μακαρίζομεν Παρθένον ἁγνήν.

ξι. Ἄκουσον Θύγατερ.

Ἡ Θεοχώρητος Κόρη, καὶ Θεοτόκος ἁγνὴ, τῶν Προφητῶν τὸ κλέος, τοῦ Δαβὶδ ἡ Θυγάτηρ, σήμερον γεννᾶται ἐξ Ἰωακεὶμ, καὶ τῆς Ἄννης τῆς σώφρονος, καὶ τοῦ Ἀδὰμ τὴν κατάραν τὴν εἰς ἡμᾶς, ἀνακαλεῖται ἐν τῷ τόκῳ αὐτῆς. ξι. Τὸ πρόσωπόν σου.

Ἡ Πρώην ἄγονος χώρα, γῆν καρποφόρον γεννᾷ, καὶ ἐξ ἀκάρπου στείρας, καρπὸν ἅγιον δοῦσα, γάλακτι ἐκτρέφει, θαῦμα φρικτὸν, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν, ἡ τὸν οὐρανίον Ἄρτον ἐν τῇ γαστρὶ, δεξαμένη γαλουχεῖται μαζῷ.

Δόξα, καὶ νῦν. ἦχος πλ.

Σεργίου Ἁγιοπολίτου.

Ἐν εὐσήμῳ ἡμέρᾳ Ἑορτῆς ἡμῶν σαλπίσωμεν, πνευματικῇ κιθάρᾳ. ἡ γὰρ ἐκ σπέρματος Δαβὶδ, σήμερον τίκτεται, ἡ Μήτηρ τῆς ζωῆς, τὸ σκότος λύουσα, τοῦ Ἀδὰμ ἡ ἀνάπλασις, καὶ τῆς Εὔας ἡ ἀνάκλησις, καὶ τῆς ἀφθαρσίας ἡ πηγὴ, τῆς φθορᾶς ἀπαλλαγὴ, δι' ἧς ἡμεῖς ἐθεώθημεν, καὶ τοῦ θανάτου ἐλυτρώθημεν, καὶ βοήσωμεν αὐτῇ σὺν τῷ Γαβριὴλ οἱ Πιστοί· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, διὰ σοῦ χαριζόμενος ἡμῖν τὸ μέγα ἔλεος.

Τροπάριον τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας.

Ἐν σοὶ Μῆτερ.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ξιλό. Κανὼν τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Ὁ Κανὼν τῆς Ὁσίας. Ὠδὴ α'. ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου. Ἰγνατίου.

Ὁ στόμα μου πλήρωσον, τῆς σῆς αἰνέσεως Κύριε. ὑμνοῦντος, τὴν δόξαν σου, τὴν πολυΰμνητον, καὶ γεραίροντος, τοὺς πόνους Θεοδώρας, εὐαρεστησάσης σοι, βίου λαμπρότητι.

Ἀνέτειλε σήμερον, ἡ Ἱερά σου Πανήγυρις, Ἡλίου φαιδρότερον, τὰς ἐν τῷ Κόσμῳ ψυχὰς, καταυγάζουσα, καὶ ζόφον τῶν δαιμόνων, συντόνως ἐλαύνουσα, Ἀξιοθαύμαστε.

Οὐκ ἔγνω δυόμενος, σὲ πλημμελοῦσαν ὁ ἥλιος· ὁ ἄδυτος ἔγνω δὲ, μόνος ὡς πάντα εἰδώς. καὶ κατηύγασεν ἀκτῖσι μετανοίας, ψυχῆς σου τὰ ὄμματα, Θεομακάριστε. θ'.

Ὡς ἔμψυχον Θάλαμον, ὡς ἀδιάφθορον Σκήνωμα, ὡς Πύλην Οὐρανίον, ὡς Θείαν Τράπεζαν, ὡς Παλάτιον, καὶ Θ[illegible]νον τοῦ Δεσπότου, Μαρίαν τὴν ἄχραν[illegible] ὕμνοις τιμήσωμεν.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Αὐτονόμου.

Ὠδὴ α'. ἦχος δ'. Ἅρματα Φαραώ.

Ἴγλῃ Θεαρχικῇ, ἐλλαμπόμενος [illegible] ζόφου με ἐξάρπασον ἁμαρτιῶν Ἱερ[illegible]χα, ὅπως τὴν φαιδράν σου σήμερον, α[illegible] φημήσω πανήγυριν.

Παύλου ὡς μιμητὴς, γεγονὼς Ἀρ[illegible]ρεὺς, πᾶσαν περιώδευσας, τὴν [illegible]κουμένην κηρύττων, τὸ σωτηριῶδες κήρ[illegible]μα, καὶ καθελὼν τῶν εἰδώλων βωμούς.

Πέτρᾳ τῇ νοητῇ, στηριχθεὶς σου τὴν [illegible]χὴν, λίθοις θανατούμενος πρὸς [illegible] ζωὴν τὴν ἀγήρω, Μάρτυς Ἱερὲ Αὐτόνο[illegible] μετὰ χαρᾶς προσεχώρησας. Θεοτοκίον.

Ἔτεκες τὸν πρὸ σοῦ, γεννηθέντα ἐκ [illegible]τρὸς, Μήτηρ ἀπειρόγαμε, ὑπὲρ [illegible]τίαν καὶ λόγον. ὃν ὑπὲρ ἡμῶν ἱκέτευε, [illegible] εὐσεβῶς ἀνυμνούντων σε.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκ[illegible]

Ἀνδρείαν στολὴν ἐνδυσαμένη, καὶ φρόνη[illegible] ἔδραμες σπουδῇ, καὶ Μοναστῶν, συστήμ[illegible] Σεμνὴ σαυτὴν κατέμιξας, πρὸς τὰ ἀρ[illegible] πυκτεύουσα, τοῦ πονηροῦ Κοσμοκράτορ[illegible]

Ὀχαῦνον τοῦ θήλεος ἀνδρείως, ἠλλ[illegible] τῇ κλήσει ἀληθῶς, καὶ τῷ καινῷ τοῦ [illegible]ματος, τοῖς ἔργοις δῶρον τίμιον, καὶ τῷ [illegible]ποθούμενον, σαυτὴν Ὁσία ἀνέδειξας.

Φρονήματι τεταπεινωμένῳ, καὶ τρότ[illegible] χρηστοῖς διακονεῖν, σοῦ τὴν ἰσχὺν ἐ[illegible]δωκας, τοῖς τοῦ Θεοῦ θεράπουσι, πρὸς ἀπαθε[illegible] ὕψος σε, ὅθεν αὐτὸς ἀνεβίβασε.

Χειμάζει με κλύδων ἁμαρτίας, καὶ [illegible]λος ἀτόπων λογισμῶν. σπλαγχ[illegible]θητι Πανάμωμε, καὶ χεῖρα βοηθείας [illegible] ὡς συμπαθὴς ἐπέκτεινον, ὅπως σῳ[illegible] μεγαλυνώσε.

Ἄλλος. Ἐστερεώθη ἡ καρδία μου.

Ὀυς διωγμούς σου, λιθασμοὺς καὶ τὰς ἐκ[illegible]τήσεις, καὶ αἱμάτων ποταμηδὸν ἐκχύσ[illegible] τὰ δεσμὰ τὰς φυλακὰς τὸν θάνατον, Μ[illegible]τυς ἀναμέλπω, Ἱεράρχα Αὐτόνομε.

Ἀντομολίᾳ, καθελὼν τὴν παρανομί[illegible] ταῖς ῥανίσι τῶν σῶν αἱμάτων Μάρτ[illegible] Ἱεραρχίας τὴν στολὴν ἐλάμπρυνας, καὶ συ[illegible] βασιλεύεις, τῷ Βασιλεῖ τῶν αἰώνων Χριστ[illegible]

Τα[illegible]

Ἀ κτὰ τόπον, ἀριστεύματά σου μὴ φέρων, τῶν διωκτῶν αὐτίπαλος Παμμάκαρ, διαφόρους πειρασμούς σοι ἤγειρεν. ἀλλ' αὐτὸς τῷ ὅπλῳ τῷ τοῦ Σταυροῦ ἀπενέκρωσας. θτ.

Ἁγιωτέραν, τῶν Ἀγγέλων καὶ πλατυτέραν, Θεοτόκε τῶν Οὐρανῶν εὑρών σε, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος, ἀχώρητος φύσει, ἐν σοὶ χωρεῖται καὶ σώζει με.

Ὁ Εἱρμός.

Ἐστερεώθη, ἡ καρδία μου ἐν Κυρίῳ, τὸ διδόντι εὐχὴν τῷ εὐχομένῳ. ὅτι τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν.

Κάθισμα τῆς Ὁσίας, ἦχος, δ'.

Ταχὺ προκατάλαβε.

Ἀσκήσει ἐλάμπρυνας, τὴν ἱεραύ σου στολὴν, καὶ δῶρον προσηνέξαι, τῷ σαρκωθέντι Θεῷ, Θεοδώρα θεόπνευστε. χάριν δὲ ἰαμάτων, πρὸς αὐτοῦ εἰληφυῖα, νόσων ἀποδιώκεις, τὴν ἀχλὴν μακαρία. πρεσβεύουσα τοῦ σωθῆναι, ἡμᾶς τοὺς εὐφημοῦντάς σε.

Δόξα, τοῦ Ἁγίου. Ὅμοιον.

Διπλοῦν σοι τὸν στέφανον, τῆς ἀφθαρσίας Χριστὸς, παμμάκαρ δεδώρηται, ὡς Ἀθλητῇ καὶ σεπτῷ, Ἱεράρχῃ Αὐτόνομε. τούτῳ γὰρ προσηγάγω, ἀναιμάκτους θυσίας. τούτου τὸ Θεῖον Πάθος, ἀψευδῶς ἐμιμήσω. αὐτοῦ καὶ τῆς ἀγήρω, τρυφᾷς μακαριότητος.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἐ Οὐδὰ μεγαλυνθήτι, καὶ κραταιούσθω Δαβίδ. Ἀδὰμ ἀνακαινίσθητι, καὶ εὐφραινέσθω Λεύϊ, ἐξ ὧν μοι ἐτέχθη Χριστός. τείνων σου τὴν κιννύραν, ὑμνογράφε καὶ λέγε· τίς ἐστιν ἡ τεχθεῖσα, ἣν καλεῖς Θυγατέρα; τροφός ἐστι τῆς ζωῆς ἡμῶν, καὶ Μήτηρ τῆς ὄντως Ζωῆς.

Ὠδὴ, δ'. Τὴν ἀνεξιχνίαστον θείαν.

Ἤσκεις πολυήμερον καρτερικῶς, Ἔνδοξε νηστείαν ὡς ἄσαρκος, τὸ ἀσθενές σου, νευρουμένη τοῦ Χριστοῦ, τῷ πανσθενεῖ βουλήματι, θείᾳ τρεφομένη τε χάριτι.

Θείαν ἐπεπόθησας περιβολὴν, καὶ καταστολὴν ἀδιάφθορον. ὅθεν τριχίνοις, περιστέλλεις σεαυτὴν, εὐτελεστάτοις ῥάκεσι, πόνοις τὸ σαρκίον σου θλίβουσα.

Ἴδε τὴν ταπείνωσιν καὶ τὸν κλαυθμόν. ἴδε μου τὴν θλίψιν καὶ κούφισον, τῆς ἁμαρτίας, τὸν βαρύτατον κλοιόν. ἡ Θεοδώρα ἔκραζε, πρὸς τὸν μόνον σώζειν δυνάμενον.

Θεοτοκίον.

Ἡ Πανυπερθαύμαστος Μήτηρ Θεοῦ, λάμψον μετανοίας ἀκτῖνά μοι, λῦσον τὸν ζόφον, τῶν ἀμέτρων μου κακῶν, τοὺς πονηροὺς ἀπέλασον, Κόρη λογισμοὺς τῆς καρδίας μου.

Ἄλλος. Εἰσακήκοα ὁ Θεός.

Δεδεμένους τῇ τοῦ Χριστοῦ ἀγάπῃ Πάτερ, τοὺς δεδεμένους τῇ ἀπάτῃ λύεις εἴδοξε, ταῖς πλοκαῖς τῶν λόγων σου, καὶ προσηλοῖς τῷ πόθῳ τῆς ὄντως ζωῆς.

Ἐμπειρότατος ἰατρὸς ὑπάρχων Μάρτυς, τοὺς φαρμακωθέντας τῷ ἰῷ τῆς ματαιότος, τῶν εἰδώλων πάνσοφε, καταγλυκαίνεις λόγοις τῆς Πίστεως.

Ὧν Μαρτύρων ἡ καλλονὴ, Ἀρχιερέων ἡ ὡραιότης, Ἐκκλησίας τὸ ἑδραίωμα, καὶ τῶν Πιστῶν τὸ στήριγμα, ὁ θαυμαστὸς τιμάσθω Αὐτόνομος. Θεοτοκίον.

Ὦ πελάγει τῶν οἰκτιρμῶν, σοῦ τῆς τεκούσης τὴν ζωὴν, τῷ Κόσμῳ νεκρωθεὶς τοῖς παραπτώμασι, καταφεύγω Ἄχραντε, ταῖς σαῖς πρεσβείαις σῶσόν με Δέσποινα.

Ὠδὴ, ε'. Ἐξέστη τὰ σύμπαντα.

Ἐξέστησαν τάξεις σε, τῶν Ἀσωμάτων βλέπουσαι, σώματι ἐνύλῳ μιμουμένην, τούτων τὸν βίον, καὶ τὴν σεπτὴν ἀρετὴν, καὶ καταπαλαίουσαν ἐχθρὸν, πάλαι τὸν πτερνίσαντα, Θεοδώρα ἀπάτῃ σε.

Θηρίων ὁρμήματα, Θεός σοι καθυπέταξε, χάριν ἰαμάτων δεδωκώς σοι. τοῦτο κηρύττει ὁ τῇ χειρί σου σωθεὶς, βρώσεως ἀγρίου τοῦ θηρὸς, ὅνπερ ἐθεράπευσας, συντριβέντα Ἀοίδιμε.

Ἐχθρὸς ὁ πανοῦργός σοι, πολυειδεῖς ἐξήγειρε, Πατὴρ πειρασμούς· ἀλλὰ τῷ ξίφει, τοῦτον Ὁσία τῆς ταπεινώσεως, ἔτρωσας συντρίψασα αὐτοῦ, κάραν πολυμήχανον, Θεοδώρα θεόπνευστε.

Ἐκτρέφεις τὸ Νήπιον, τελείῳ τῷ φρονήματι, φέρεις τὴν δεινὴν συκοφαντίαν, εὐχαριστοῦσα τῷ Παντοκράτορι, τῷ σοὶ χορηγήσαντι ἰσχὺν, τῷ σὲ θαυμαστώσαντι, Θεοδώρα πανεύφημε. Θεοτοκίον.

Ἰσχύς τε καὶ στήριγμα, τῆς ἀσθενοῦς καρδίας μου, σὺ εἶ ἀπειρόγαμε Παρθένε. ἄῤῥηκτον τεῖχος, ἀπὸ προσώπου ἐχθροῦ, σώζουσα δεινῶν τὰς προσβολὰς, τρέπουσα τὰς φάλαγγας, τοῦ δεινοῦ πολεμήτορος.

Ἄλλος. Ἀνάτειλόν μοι Κύριε.

Ὡς ἥλιος ἀνέτειλας, τῷ τούτου στερεώματι, τῆς Ἐκκλησίας καὶ φωτίζεις, ἀκτῖσι τῶν ἀγώνων, Μάρτυς καὶ θαυμάτων σου, τοὺς πιστοὺς Αὐτόνομε, λύων δαιμόνων τὴν ἀχλύν.

Ὡ Ῥαῖος ὥσπερ κάλαμος, εὖ τεθηγμένος Πνεύματι, τῷ Παναγίῳ ἀνεδείχθη, ἡ γλῶσσά σου τὸν νόμον, τοῦ Χριστοῦ Αὐτόνομε, ἐν πλαξὶ χαράττουσα, καρδιῶν τῶν εὐσεβῶν.

Ὁ Πνεῦμα τὸ Πανάγιον, δοχεῖόν σε εὑράμενον, καὶ καταγώγιον τῆς τούτου, αὐλοῦ παρουσίας, θείων χαρισμάτων σε, ἀληθῶς ἐνέπλησεν, Ἱερομάρτυς τοῦ Χριστοῦ. θτ.

Ἀνάτειλόν μοι Δέσποινα, ἀκτῖνα τοῦ ἐλέους σου, τῷ ἐν τῷ σκότει τῶν πταισμάτων μου, ἀεὶ συνεχομένῳ, καὶ πρὸς φῶς ὁδήγησον, μετανοίας ἄχραντε, ἵνα πίστει σε ὑμνῶ.

Ὠδὴ, ς'. Τὴν θείαν ταύτην.

Πηγὴν δακρύων προσφέρουσα, ἀπαύστως τριχομένη καὶ στένουσα, τὴν ἐπιτίμησιν, τῶν Μοναστῶν τὴν διάζευξιν, εὐχαριστοῦσα φέρεις, Θεομακάριστε.

Ποτὸν θαλάσσιον ἔχουσα, ἀγρίαις τρεφομένη βοτάναις τε, μετὰ θηρίων δὲ, αὐλιζομένη τὴν ἔρημον, ὡς Οὐρανὸν κατῴκεις, Ἀξιοθαύμαστε.

Φλογμὸν Ἡλίου ὑπήνεγκας, νυκτὸς τὸν παγετὸν ἐκαρτέρησας, τοῦ Θείου Πνεύματος, συνθαλπομένη τῇ χάριτι. ὅθεν τρυφᾷς τῆς ἄνω μακαριότητος. θτ.

Ἣν θείαν στάμνον καὶ τράπεζαν, τὸν ἄρτον τῆς ζωῆς τὴν βλαστήσασαν, τὴν ἀγεώργητον, χώραν τὸ Ὄρος τὸ Ἅγιον, τὴν Θεοτόκον Κόρην, ὕμνοις τιμήσωμεν.

Ἄλλος. Ζάλη με λογισμῶν.

Ἣ θείᾳ κυβερνώμενος παλάμῃ, ἀβλαβῶς διέπλευσας, τὸ πέλαγος τῆς ἀπάτης, καὶ προσώρμησας ὅρμῳ γαληνῷ, τῆς ἄνω Βασιλείας, Ἱερομάρτυς Αὐτόνομε.

Πλεύρας σου κεντηθεὶς λόγχῃ Θεόφρον, Χριστοῦ ἐξεικόνισας τὸ Πάθημα, καὶ τῶν λίθων συγχωννύμενος μάκαρ νιφετοῖς, τὸν πρῶτον τῶν Μαρτύρων, ὡς ἀληθῶς παρεζήλωσας.

Ἐλοῦντες τὴν σεβάσμιον ἡμέραν, τῆς σῆς τελειώσεως, δεόμεθά σου ἐν πίστει, παῤῥησίαν ἔχων πρὸς Θεὸν, ἀπαύστως ἐκδυσώπει, ὑπὲρ ἡμῶν Πανοίδιμε. θτ.

Ἡ Ζάλη τῶν πολλῶν μου ἐγκλημάτων, εἰς βυθὸν καθείλκυσε τῆς ἀπογνώσεως Κόρη. ἀλλ' αὐτή με χειρὶ πρεσβευτικῇ, ἀνάγαγε καὶ σῶσον, ἵνα ὑμνῶ σε πανύμνητε. Ὁ Εἱρμός.

Ζάλη με λογισμῶν καταλαβοῦσα, εἰς βυθὸν καθέλκει με ἀμέτρων ἁμαρτημάτων. ἀλλὰ σὺ Κυβερνῆτα ἀγαθὲ, προφθάσας διάσωσον, ὡς τὸν Προφήτην καὶ σῶσόν με.

Κοντάκ. ἦχος, α'. Χορὸς Ἀγγελικός.

Ἣν νύκτα τῶν παθῶν, ἐκφυγοῦσα Θεόφρον, προσῆλθες νοητῶς, τῷ Ἡλίῳ τῆς δόξης, ἀσκήσει νεκρώσασα, τῆς σαρκὸς τὰ σκιρτήματα. ὅθεν γέγονας, ὑπογραμμὸς Μοναζόντων. καὶ ἀνόρθωσις, τῶν πεπτωκότων ἐν βίῳ. διό σε γεραίρομεν. Ὁ Οἶκος.

Ὑπογραμμὸς ἀναδέδεικται πεπτωκότων ὁ βίος σου, καὶ βουλομένοις προσέρχεσθαι διὰ μετανοίας, τῷ εἰδότι τὰ πταίσματα, συγχωρεῖν καθὼς γέγραπται. αὐτῷ γὰρ πιστεύσασα καθάπερ ἡ Πόρνη, ἀντὶ μύρου προσήγαγες ὄμβρους δακρύων. ἐν οἷς τὸν ὄφιν ποντίσασα, καθεῖλες, καὶ τὴν νίκην ἀνεδήσω, Θεοδώρα τρισόλβιε. διὸ τὸ θηρίον νεκρώσασα εὐχαῖς σου, νεκρὸν ἐξανέστησας δυνάμει τοῦ Κτίστου σου, δι' ὃν σὺ νενέκρωσαι. διό σε γεραίρομεν.

Τῷ αὐτῷ Μηνὶ ια'. Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ.

ξι. Καὶ σχῆμα καὶ νοῦν ἀῤῥενοῖ Θεοδώρα,
Καὶ τὸν μέγαν νοῦν αἰσχύνει πρὸ τοῦ τέλους.
Ἐνδεκάτῃ πύματον Θεοδώρη ὕπνον ἰαύει.

Ἣ θείᾳ Βίβλῳ Διαθήκης τῆς Νέας,
Ὡς ἐξισοῦσθαι φησὶ Παρθένοις δέκα.
Τὴν Βασιλείαν Οὐρανῶν Χριστοῦ στόμα.
Ἐν ἀνδρικῷ σχήματι Γυναῖκες δέκα,
Ἀπήμβλυναν τὰ κέντρα τοῦ βροτοκτόνου.
Δῶρον Θεοῦ λαχοῦσα τὴν κλῆσιν μία,
Ὥρμητο δ' αὕτη Χώρας Ἀλεξανδρέων.
Ἡ δὴ νομίμῳ συμπλακεῖσα συζύγῳ,
Εὔτακτον ἦγεν ἀκατάγνωστον βίον.
Φθόνῳ δὲ πάντως δαίμονος κακοσχόλου,
Ἐγκλήματι μοιχείας ἁλοῦσα τότε.
Καὶ γνοῦσα καὶ ζητοῦσα τὴν σωτηρίαν,
Εὐαγγελικῶν ῥημάτων τοῦ Κυρίου.
Ἤκουσεν οὕτως ὡς λέληθεν οὐδ' ὅλως.
Ὅπερ κρυφίως, ὡς λαθοῦσα σὺ φέρεις.
Καὶ λοιπὸν ὡς ἔγνωκε τὴν ἁμαρτίαν,

Ὡς μῦσος ἀκάθαρτον, ὡς βδέλυγμά τι.
Στολὴν ἀπορρίψασα τὴν ἐξ αἰσχύνης,
Ὡς Θεόδωρος ἀγγελικὴν λαμβάνει.
Καὶ μὴν προσῆλθε τῷ χορῷ τῶν ἀζύγων,
Κλαίουσα καὶ πενθοῦσα τὴν ἁμαρτίαν.
Ἐπὶ χρόνοις δέτισι δουλειῶν βάρει,
Κάμνουσα, πυκτεύουσα τοῖς ἀγωγίμοις,
Ἤκουσε πόρνοις δεῖγμα τοῦτο, καὶ βρέφος.
Προσριφθὲν αὐτῇ τῆς Μονῆς ἔξω φθόνῳ,
Ψυχοφθόρου δράκοντος ἄλλου γὰρ τίνος;
Ὃ καὶ λαβοῦσα, καὶ τρέφουσα γνησίως,
Ἔσπευδε λαθεῖν ὡς γυνὴ κατὰ φύσιν.
Κρύει δὲ καὶ καύσωνι καὶ χαμευνίᾳ,
Προσκαρτεροῦσα τῷ πυλῶνι, καὶ χρόνοις,
Ἑπτὰ κατατακεῖσα συκοφαντίαις.
Εἰσῆλθεν ὀψὲ τῆς Μονῆς ἐντὸς βίᾳ,
Οὐχ' ὡς γυνὴ, σχήματι δ' ἀνδρικῷ πάλιν.
Αὐτίκα πυκναῖς ταῖς προσευχαῖς καὶ κόποις.
Τήξασα σῶμα καὶ στάσει τῇ παννύχῳ.
Καὶ νοῦν λαβοῦσα τῆς ἄνω κληρουχίας,
Κατὰ σκοπὸν πέφθακεν, ὥς περ ἠγάπα.
Φρικτὸν τὸ θαῦμα, τίς ἄρα μὴ θαυμάσει;
Γυνὴ λαθοῦσα πλῆθος ἀνδρῶν ἀζύγων.
Εἷς ὥς περ αὐτῶν ἐν μέσῳ τοῦ σταδίου,
Ἀσκητικῶς λάμψασα, φωστὴρ ὡς μέγας.
Ἐπάξια φέρουσα τῶν πάντων γέρα,
Ἀπῆλθε χαρᾷ πρὸς ποθεινὸν Νυμφίον.
Οἱ γοῦν Μοναστὰ θαῦμα τοῦτο τὸ ξένον,
Ἰδόντες ἐξέστησαν. ὦ φρικτῆς θέας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐφροσύνου τοῦ Μαγείρου.

Οὗτος ἐξ ἀγροίκων ἀποτεχθεὶς, καὶ ἰδιώτης ὤν, Μοναστῶν Διάκονος ἐχρημάτισε, παρορώμενος πολλὰ, καὶ μυκτηριζόμενος, καὶ τῷ μαγειρίῳ προεστηκώς. ἐν ᾧ δὲ ἦν οὗτος φροντιστηρίῳ, Ἱερεὺς τῶν εὐαρεστούντων ἐξελιπάρει τὸν Κύριον ὑποδειχθῆναι αὐτῷ αἰσθητῶς, τὰ τοῖς ἀγαπῶσιν αὐτὸν ἀποκείμενα ἀγαθά. καὶ μιᾷ τῶν νυκτῶν, ἐδόκει ἐν Παραδείσῳ ἑστάναι, καὶ θάμβει κατενόει τὰ ὁρώμενα. εἶδε δὲ πρὸς τούτοις καὶ τὸν τῆς Μονῆς Μάγειρον τὸν Εὐφρόσυνον, μέσον ἑστῶτα, καὶ ἐν ἀπολαύσει ὄντα τῶν ἐν Παραδείσῳ ἐκείνων ἀγαθῶν. ᾧ καὶ προσεγγίσας ἠρώτα μαθεῖν· τίς ἄρα ὁ Παράδεισος οὗτος; πῶς ἐνταῦθα εὑρέθη; καὶ ὅς, οὗτός ἐστι τὸ καταγώγιον τῶν τοῦ Θεοῦ ἐκλεκτῶν. κἀγὼ διὰ τὴν πολλὴν τούτου ἀγαθότητα, ἐνθάδε συνεχωρήθην αὐλίζεσθαι. καὶ ὁ Ἱερεύς· τί δὲ ἐργάζῃ ἐν τούτῳ τῷ Παραδείσῳ; τὴν ἐξουσίαν ἔχων πάντων τῶν φαινομένων σοί, ἐνηδύνομαι τῇ τούτων αἰσθήσει, φησὶν ὁ Εὐφρόσυνος. καὶ ὁ Ἱερεύς· δυνάσαί μοι δοῦναί τι; καὶ ὁ Εὐφρόσυνος· εἰ βούλῃ, λήψῃ τῇ τοῦ Θεοῦ μου ἀγαθότητι. τότε ὁ Ἱερεὺς δείξας τῇ χειρὶ Μῆλα, ἐπεζήτει ἐξ αὐτῶν. καὶ λαβὼν ὁ Εὐφρόσυνος, δέδωκε τῷ Ἱερεῖ πρὸς τὸ παλλίον, εἰρηκώς· ὥσπερ ἐζήτησας, λαβὼν κατατρύφησον. καὶ παρευθὺς ὡς τὸ ξύλον ἔκρουσε τῆς Ἑωθινῆς ὑμνῳδίας, συσταλεὶς ὁ Ἱερεὺς, ὡς ὄναρ, τὸ φανὲν ὑπετόπαζε. πρὸς τὸ παλλίον δὲ ὑφαπλώσας, καὶ τὰ μῆλα κατασχὼν, τῇ ἡδύτητι τῆς ὀσφρήσεως καταπλαγεὶς, ἀκίνητος ἔμεινεν. εὑρὼν δὲ τὸν Εὐφρόσυνον ἐν τῇ συνάξει. ὅρκοις αὐτὸν προκατελάμβανεν, εἰπεῖν τὴν νύκτα ταύτην, ὅπου ἄρα καὶ ἦν. ὁ δέ· συγχώρησον ἔφη Πάτερ, ἐκεῖσε ἤμην, ὅπου καὶ νῦν με εὗρες. καὶ ὁ Ἱερεύς· διὰ τοῦτό σε ὅρκοις προκατέλαβον, εἰς δήλωσιν τῶν τοῦ Θεοῦ μεγαλείων, καὶ οὐ βούλει εἰπεῖν τὸ ἀληθές; τότε ὁ ταπεινόφρων Εὐφρόσυνος, ἐν αὐτῷ με τοῦ Θεοῦ τῷ Παραδείσῳ φησὶ κατέλαβες, ἐν ᾧ ἰδεῖν ἐπεζήτεις τὰ τοῖς ἐκλεκτοῖς ἀποκείμενα, καὶ τὴν σὴν ἁγιότητα πληροφορῆσαι θέλων ὁ Κύριος, δι' ἐμοῦ τοῦ εὐτελοῦς ἐνήργησε τὸ παράδοξον. καὶ ὁ Ἱερεύς· καὶ τί μοι Πάτερ ἐν τῷ Παραδείσῳ αἰτήσαιτι δέδωκας; καὶ ὁ Εὐφρόσυνος· τὰ εὐανθῆ Μῆλα, ἃ προσφάτως ἐν τῇ κλίνῃ σου τέθεικας. ὅμως Πάτερ συγχώρησον, ὅτι σκώληξ ἐγὼ καὶ οὐκ ἄνθρωπος. τότε ὁ Ἱερεὺς τὴν ὀπτασίαν τοῖς Ἀδελφοῖς διηγησάμενος, πάντας εἰς ἀγωνίαν ἐνέβαλεν, οὐ τοσοῦτον τῷ διηγήματι, ὅσω τῇ τῶν τερπνῶν ἐκείνων μήλων θέᾳ, καὶ εὐωδίᾳ, ὡς καὶ μᾶλλον ἐπεκτείνεσθαι πρὸς τὸ βέλτιον. ὁ δὲ μέγας Εὐφρόσυνος, ὡς ἐκ ψιλοῦ τὰ λαληθέντα ἀνέμαθε, λάθρα ὑπεξελθὼν, ἐμάκρυνε φυγαδεύων, ἄγνωστος τὸ παράπαν μέχρι τῆς δεῦρο γενόμενος. ἐκ δὲ τῆς τῶν μήλων μεταλήψεως πολλοὶ τῶν νοσούντων ἐρρώσθησαν, εἰς δόξαν Θεοῦ. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Διοδώρου, καὶ Διομήδους, καὶ Διδύμου.

ᾗ. Διόδωρος μάστιξι σὺν τῷ Διδύμῳ,
Τὴν σάρκα δόντες, μαστιγοῦσι τὴν πλάνην.

Ο Υ̃τοι ὑπῆρχον ἐκ Λαοδικείας τῆς Συρίας, καὶ παρὰ τοῦ κατὰ τὸν τόπον Ἄρχοντος συλληφθέντες, καὶ παῤῥησιασάμενοι, καὶ ἀφειδῶς μαστιχθέντες, τοῦ βίου τὸ πέρας ἐδέξαντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τῆς Ἁγίας Μάρτυρος Ἴας, πρεσβύτιδος τὴν ἡλικίαν.

ϛ. Ὀσμὴν μύρων ἔπνευσεν ἡ Μάρτυς Ἴα, Ἐρυθροβαφῶν αἱμάτων ἀτμοπνόων.

Α Υ̃τη συνελήφθη αἰχμάλωτος μετὰ ἐννέα χιλιάδων Χριστιανῶν. παρὰ δὲ τοῦ Ἀρχιμάγου διαφόροις βασάνοις ἐξετασθεῖσα, τὴν κεφαλὴν ἀπετμήθη. λέγεται δὲ μετὰ τὴν αὐτῆς ἐκτομὴν, τὴν γῆν δεξαμένην τὸ αἷμα τῆς Μάρτυρος, εἰς ὄγκον ἀρθῆναι τινὰ, καὶ τοὺς παρόντας δημίους παρεθῆναι, καὶ τὸν Ἥλιον ἀμαυρῶσαι τὸ φῶς, καὶ εὐωδίας τὸν Κόσμον πληρωθῆναι.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Ὠδὴ, ζ. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Α Φορήτοις σε, πληγαῖς ὁ πολυμήχανος, ἐχθρὸς συνέκοψε, φαντασιούμενος. ἀλλ' αὐτοῦ κατέβαλες μάταιον φρύαγμα, ἀναμέλπουσα· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ζ Ηροτάτους, λάκκους ἔπλησας ἐντεύξει σου, ὑδάτων Ἔνδοξε, θαυματουργοῦσα σαφῶς, Θεὸν μεγαλύνουσα, τὸν σὲ δοξάσαντα. ᾧ κραυγάζομεν· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Υ Πεκκαύματα, παθῶν ἐναπεμάρανας, δακρύων ἐπιῤῥοαῖς, καὶ φρυγανώδεις ἐχθρῷ, κακίας κατέφλεξας, τῆς ἐγκρατείας πυρὶ, ἀναμέλπουσα· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ψ Βασίλισσα, Παρθένος ἡ κυήσασα, τὸν Βασιλέα Χριστὸν, οἴκτειρον σῶσόν με νῦν, κλονούμενον πάθεσι, Πίστει στερέωσον, καὶ ὁδήγησον, πρὸς σωτηρίας τρίβον με, τῶν Πιστῶν ἡ σωτηρία.

Ἄλλος. Ὁ ἐν τῷ ὄρει Μωσῇ.

Ε Ν τῇ χωνείᾳ ἐμβληθεὶς τῶν βασάνων, χρυσίου καθαρώτερος ἀνεδείχθης, ταῖς λαμπηδόσιν Ἅγιε, τῶν θαυμάτων φωτίζων ἡμᾶς.

Α Ιθολευστοῦντες σὲ τὸν δίκαιον ὄντως, οἱ λίθους προσκυνοῦντες, πρὸς ὃν ἐπόθεις, Χριστὸν τὴν πέτραν Ἔνδοξε, τῆς ζωῆς διεβίβαζον.

Ο Ἱ διωγμοί σου τῶν δαιμόνων διώξεις, Θεόφρον ἀνεδείχθησαν, τῶν αἱμάτων, οἱ ποταμοὶ δὲ ἔσβεσαν, ἀθείας τὴν κάμινον. θτ.

Ο Ἐν τῇ μήτρᾳ τῆς Παρθένου οἰκήσας, καὶ ταύτην Οὐρανῶν πλυτυτέραν δείξας, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ, η. Παῖδας εὐαγεῖς,

Ν Οἳ καθαρῷ λελαμπρυσμένος, μετάρσιος γεγονὼς ὁ σὸς ἀρχηγὸς, εἶδεν ἃ ἡτοίμασεν, ἀγαθά σοι Κύριος· φωτοειδῆ Παράδεισον, καὶ ἀνεκλάλητον, νυμφῶνα Θεοδῶρα. ἐν ᾧ σε, ὁ ἀγωνοθέτης, κατῴκισε Νυμφίος.

Α Γγέλων Μαρτύρων καὶ Ὁσίων, χοροὶ τῆς ψυχῆς σου προεξάρχοντες, ταύτην πρὸς Οὐρανία, ἔφερον σκηνώματα, πρὸς τὴν ἐκεῖ κατάπαυσιν, εὐφραινομένων ἐν ᾗ, ὑπάρχει κατοικία βοώντων· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Π Ληθὺς Μοναστῶν συναθροισθεῖσα, τὸ θεῖον κηδεύει πίστει σῶμά σου. εἶδον δὲ παράδοξα, ἔμαθον οὐξαίσια, ὅπως Γυνὴ τῷ σώματι, ἀνδρῶν ἐν μέσῳ οἰκεῖν, ηὐδόκησας χειρὶ σκεπομένη, τοῦ Παντοδυνάμου θεόφρον Θεοδώρα. Θεοτοκίον.

Ο Πίσω σου ἔδραμον γυναῖκες, τῶν μύρων τῶν ἡδυπνόων ἐπαισθόμεναι, Πάναγνε Θεόνυμφε. Κόρη ἀπειρόγαμε, τοῦ ἐκ γαστρός σου λάμψαντος, μονογενοῦς Υἱοῦ, καὶ σοὶ συμβασιλεύουσιν ὄντως, ἀνυμνολογοῦσαι Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἄλλος. Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ.

Τ Η̃ τὸ αἷμά σου τὸ σεπτὸν, ἐδέξατο χυθὲν διὰ Χριστὸν, οἱ Οὐρανοὶ δὲ τὴν ψυχὴν, μετὰ δόξης ἀνερχομένην, Ἀγγέλων χορεῖαι, καὶ Δικαίων ἁπάντων τὰ Πνεύματα, ἐν ἀγαλλιάσει ὑπήντησάν σοι Μάρτυς.

Ω Ὧν ἱδρώτων σου οἱ κρουνοὶ, κατέσβεσαν τὸ πῦρ τῶν ἀσεβῶν. οἱ τῶν θαυμάτων ποταμοὶ, ἀπεξήραναν τὰς θαλάσσας Αὐτόνομε Μάρτυς, τῶν παθῶν ἡμῶν μάκαρ τῶν πίστει σε, ἀνυμνολογούντων εἰς πάντας τοὺς αἰῶνας.

Δ Ιερχόμενος πανταχοῦ, ἐκήρυξας τὸ ὄνομα τοῦ Χριστοῦ. πλάνης κατέαξας βωμούς. τοὺς ἐν σκότει τῆς ἀγνωσίας, ἐφώτισας Πάτερ· καὶ ναοὺς ἀπειργάσω τοῦ Κτίστου σου. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. θτ.

ΤΗ Ἁγίων ἐν ᾗ Χριστὸς, ἐσκηύωσεν ἡ πέτρα τῆς ζωῆς, πύλη φωτὸς τοῦ νοητοῦ, ἀλατόμητον ὄντως ὄρος, Παράδεισος δόξης, καὶ λυχνία χρυσῆ προηγόρευσαι, Ἄχραντε Παρθένε, ἀεὶ εὐλογημένη. Ὁ Εἱρμός.

" ΤΗ καὶ πάντα τὰ ἐν αὐτῇ, θάλασσα καὶ πᾶ-
" σαι αἱ πηγαὶ, οἱ Οὐρανοὶ τῶν Οὐρανῶν,
" φῶς καὶ σκότος, ψύχος καὶ καύσων, Υἱοὶ τῶν
" ἀνθρώπων, Ἱερεῖς εὐλογεῖτε τὸν Κύριον.

Ὠδὴ, θ'. Ἅπας γηγενής.

ΕΔυς ὡς ἀστὴρ, ἐν Κόσμῳ Πανεύφημε, καὶ ἐξανέτειλας, πρὸς τὴν ὑπερκόσμιον, ζωὴν λιποῦσα ὥσπερ ἀκτῖνα ἡμῖν, τὰς ἀρετὰς τοῦ βίου σου, καὶ κατορθώματα, τὰς καρδίας, πάντων καταυγάζουσα, τῶν πιστῶς ἐκτελούντων τὴν μνήμην σου.

ΠΥλαι Οὐρανῶν, φαιδρῶς διηνοίγησαν, ἀπολαβοῦσαί σε, καὶ τῶν πρωτοτόκων νῦν, ἡ Ἐκκλησία ἔχει χορεύουσαν, σὺν ἐκλεκτοῖς ἀοίδιμε, τὴν ἱεραν σου ψυχὴν, ἔνθα ἦχος, ἔστιν ἑορτάζοντος, Θεοδώρα καὶ φῶς τὸ ἀνέσπερον.

ΕΥρες ἀμοιβὰς, τῶν πόνων ὡς ἤλπισας, τὰς οὐρανίους τιμὰς, ἔστης τῆς ἐφέσεως, αὐτὴν εὑροῦσα τῶν ἀγαθῶν τὴν πηγήν. κατατρυφᾷς τρανώτερον, καὶ καθαρώτερον, τοῦ Νυμφίου, βλέπεις ἅπερ βλέπουσι, Θεοδώρα Ἀγγέλων τὰ τάγματα. Θεοτοκίον.

ΣΩσόν με Ἁγνὴ, Σωτῆρα κυήσασα, καὶ πανοικτίρμονα. οἴκτειρον τὸν δοῦλόν σου, πρὸς μετανοίας ὁδοὺς κατεύθυνον. τοῦ πονηροῦ τὰ σκάνδαλα ἐκ μέσου ποίησον. τῆς αὐτοῦ με, λύτρωσαι ἐνέδρας τε, Θεοτόκε πιστῶν ἡ βοήθεια.

Ἄλλος. Ὅτι ἐποίησε.

ΦΡανώτερον χωρήσας πρὸς τὸ φῶς τὸ ἄδυτον, λυθέντων τῶν ἐσόπτρων τῆς σαρκὸς, τελεώτερον ὁρᾷς τὸν σοὶ ποθούμενον Χριστὸν, μάκαρ Αὐτόνομε.

ΦΕλέσας σου τὸν δρόμον, καὶ τὴν Πίστιν τετηρηκὼς, ἐδέξω τοὺς στεφάνους τῆς ζωῆς. καὶ πρεσβεύεις ἐκτενῶς ὑπὲρ ἡμῶν τὸν Λυτρωτὴν, Ἱερομάρτυς Χριστοῦ.

ΤΝέτειλέ σοι φέγγος, ἀνεσπέρου διαγωγῆς, τὰ ἔργα δεδρακότι τοῦ φωτὸς, ἐπὶ γῆς Ἀρχιερεῦ, καὶ συνευφραίνῃ τῷ Χριστῷ, εἰς τοὺς αἰῶνας ἀεί. Θεοτοκίον.

ΕΛπὶς καὶ προστασία, τῶν Πιστῶν ὑπάρχουσα. διάσωζε ἡμᾶς ἐκ τῶν παθῶν, καὶ παντοίων πειρασμῶν, τοὺς Θεοτόκον σε ἀεὶ, ὁμολογοῦντας Ἁγνή.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

ΦΟ' χῆμα διαμείψασα, κρυπτοφανῶς ἐσκηύωσας, μέσον ἀνδρῶν μοναζόντων, νύμφη Χριστοῦ Θεοδώρα, τρωθεῖσα θείῳ ἔρωτι. ὦ θαῦμα πῶς τὴν ἄδικον, συκοφαντίαν ἤνεγκας, τὸν πτερνιστὴν τροπουμένη, τῆς Εὔας Μήτηρ Ὁσία.

Ἕτερον, τοῦ Ἁγίου. Τῶν Μαθητῶν.

ΕΝ Ἱερεῦσιν ὤφθης κλέος Μαρτύρων, διπλῶντε τῶν στεφάνων ἔτυχες μάκαρ, τῶν εἰδώλων πλάνην πᾶσαν πατήσας, Ἱερουργὲ Αὐτόνομε. καὶ τὰ βραβεῖα τρισμάκαρ, τῆς νίκης ὅθεν ἐδέξω.

Ἕτερον, Θεοτοκίον. Ἐν πνεύματι.

ΕΚ τῆς ἀκάρπου σήμερον, Ἄννης ἄνθος προῆλθεν, ἡ Θεοτόκος ἅπαντα, εὐωδίας ἐνθέου, πληροῦσα πέρατα Κόσμου, καὶ χαρᾶς θυμηδίας, ἐμπιπλῶσα τὴν Κτίσιν. ἣν ὑμνοῦντες ἀξίως, εὐφημήσωμεν ὡς οὖσαν, τῶν Γηγενῶν ὑπερτέραν.

Εἰς τὸν ξι. ξι. τῆς Ἑορτῆς, ἦχος, β'.

Οἶκος τοῦ Ἐφραθᾶ.

ΦΥπος θεοπρεπὴς, τοῦ θείου τοκετοῦ σου, θεόφρον Ἄννα ὤφθη, τοῦ Ἀαρὼν ἡ ῥάβδος, ἀνήκμως ἐκβλαστήσασα.

ξι. Ἄκουσον Θύγατερ.

ΟΤε τὴν ὑλικὴν, οὐσίαν τῶν ἀνθρώπων, ηὐδόκησας φορέσαι, προήγαγες ἐκ στείρας, τὴν σὴν μητέρα Κύριε.

ξι. Τὸ πρόσωπόν σου.

ΝΕον ὡς Οὐρανὸν, τὴν μήτραν τῆς Παρθένου, καὶ Θεοτόκου Λόγε, κατῴκησας θεώσας, βροτῶν τὸ γένος Δέσποτα.

Δόξα, καὶ νῦν. Ὅμοιον.

ΔΕῦτε οἱ ἐξ Ἀδὰμ, τὴν ἐκ Δαβὶδ φυεῖσαν, καὶ τὸν Χριστὸν τεκοῦσαν, ὑμνήσωμεν Παρθένον, Μαρίαν τὴν πανάχραντον.

Μηνὶ τῷ αὐτῷ ΙΒ'.

Τοῦ Ἁγίου Μάρτυρος Αὐτονόμου.

Ἰστέον, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτὴ, καὶ ψάλλονται πάντα τῆς Ἑορτῆς, εὖτε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ, ἡ δὲ τοῦ Ἁγίου Ἀκολουθία προεγράφη εἰς τὰς ιά.

Τῷ αὐτῷ Μηνὶ ΙΒ'. Ἡ προσκύνησις τῶν τιμίων Ξύλων, καὶ Ἄθλησις τοῦ Ἁγίου Ἱερομάρτυρος Αὐτονόμου.

ξι. Θῦμα τραπέζης προὐτέθη τῇ σῇ Λόγε, Θύτης σὸς Αὐτόνομος, ἐκθανὼν λίθοις. Αὐτόνομος δὲ λίθοις δύο καὶ δεκάτῃ κατελεύσθη.

Ὃς ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως. καταλιπὼν δὲ τὴν Ἰταλίαν, τὴν Βυθηνῶν κατέλαβε, καὶ διὰ τὸ πολλοὺς διδάσκειν τὴν εἰς Χριστὸν πίστιν, ἀναιρεῖται ὑπὸ τῶν εἰδωλολατρῶν, ξύλοις καὶ λίθοις βληθείς.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἱερομάρτυρος Κορνούτου Ἐπισκόπου Ἰκονίου.

ξι. Κλέους καταγνοὺς τοῦ παρόντος Κορνοῦτος, Ξίφει τὸ μέλλον ἐμπορεύεται κλέος.

Οὗτος τῆς αὐτῆς Πόλεως ὑπάρχων γέννημα καὶ θρέμμα, κατὰ τὸ χωρίον Σουρσάλου, τηνικαῦτα διατρίβων, κατεσχέθη ὑπὸ τῶν διωκτῶν, καὶ ἀχθεὶς Περινίῳ τῷ Ἡγεμόνι μετὰ τὸ τὴν ἀπόνοιαν αὐτοῦ διελέγξαι, τὴν κεφαλὴν ἀποτέμνεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδώρου Ἐπισκόπου Ἀλεξανδρείας.

ξι. Τμηθεὶς κεφαλὴν Θεόδωρος ἐκ ξίφους, Θεοῦ μετέσχε δωρεῶν φερωνύμως.

Ὃν συλλαβόντες οἱ Ἀλεξανδρεῖς, ὡς παρρησίᾳ τὸν Χριστὸν κηρύττοντα, καὶ θυμῷ ἐκκαυθέντες, ἐστεφάνουν ἀκάνθαις, ἔπαιον κατὰ κόρρης, τὴν Πόλιν περιῆγον δέσμιον, ἔρριπτον αὐτὸν τῷ βυθῷ, καὶ ἀνασωθέντα Θείᾳ Προνοίᾳ, κελεύσει τοῦ Ἄρχοντος, τὴν κεφαλὴν ἀπετμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Γαλατίᾳ.

Οὗτος ἦν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ, ἐν Πόλει τῶν Γαλατῶν γεννηθεὶς καὶ τραφείς. Ἀντωνίου δὲ τῆς τοιαύτης Πόλεως ἡγεμονεύειν λαχόντος, ἐπεὶ προσηγγέλθη τῷ Ἄρχοντι τὰ περὶ τοῦ Ἰουλιανοῦ, ὅτι σὺν ἑτέροις τεσσαράκοντα τῷ δεῖνι σπηλαίῳ τοῦ ὄρους χωσμένοις θρησκεύει τὰ τῶν Χριστιανῶν, ἐκρατήθη, καὶ βιαζόμενος ὑποδεῖξαι τοὺς λοιποὺς, οὐκ ἐπείσθη. ὡς δὲ ἔμελλεν ἤδη παραστῆναι τῷ Ἄρχοντι, ἀνέκραξε μεγάλῃ τῇ φωνῇ πρὸς τοὺς συνασκητὰς αὐτοῦ, ὡς ἰδοὺ ἐγὼ κρατηθεὶς ἀπέρχομαι μαρτυρήσων, μὴ προδοὺς ὑμᾶς, ὑμεῖς δὲ σπεύσατε καταλαβεῖν με. ἤδη δὲ τούτου παραστάντος, Ἀντώνιος φησὶ πρὸς αὐτόν· πρόσελθε τῷ Θεῷ καὶ θῦσον. ὑπολαβὼν δὲ ὁ μακάριος ἔφη· ἄριστος ἡμῖν γέγονας σύμβουλος. οὐδὲ γὰρ ἄλλο κρεῖττον ἡμῖν ἢ συμφέρον, ἀλλ' ἢ τὸ θανεῖν ὑπὲρ εὐσεβοῦς, δι' ἧς ἀνατέθραμμαι πίστεως. ἐπερωτᾶν οὖν προσθεὶς ὁ δικάζων, κλίνην σιδηρᾶν λαύρῳ πυρὶ ὑπανθρακωθῆναι προστάττει, καὶ ὕπτιον ἐν αὐτῇ τὸν Ἀθλητὴν ἁπλωθῆναι. πυρακτωθείσης οὖν τῆς κλίνης, ἄγουσι τὸν Μάρτυρα. καὶ ὃς ὅλον ἑαυτὸν σημειωσάμενος τῷ τιμίῳ Σταυρῷ, τῆς πεπυρακτωμένης κλίνης ἐπέβη. Ἄγγελος δὲ Κυρίου τὴν φλόγα δροσίσας, ἀβλαβῆ τὸν Μάρτυρα διεφύλαξε. τοῦτο τὸν Ἀντώνιον ὑπερβαλλόντως ἐξέπληξεν. ἤρξατο οὖν ἐρωτᾶν τὸν Ἅγιον. τίς εἶ σὺ, ὅτι καὶ τοῦ πυρὸς κατεκυρίευσας εὐκόλως; πρὸς ὃν ὁ Μάρτυς· Λειτουργὸς Θεοῦ, καὶ Ἰουλιανὸς ὀνομάζομαι. καὶ ὁ Ἀντώνιος· γεννήτορές σοι τίνες; καὶ ὁ Ἅγιος· γηραιά φησι Μήτηρ, τοῦ πατρὸς πρὸς Κύριον ἐκδημήσαντος. καὶ κελεύει τὴν τούτου Μητέρα τάχει παραστῆναι. ὃς πρὸς ἦν καὶ παραστᾶσαν λοξῷ τῷ ὄμματι ἀπιδὼν, πεῖσον ὦ γύναι τὸν σὸν κάκιστον τοκετὸν, ὁ Ἀντώνιος ἐπαπειλούμενος ἔλεγε, λιβανωτὸν τῷ Θεῷ ἐπιθεῖναι. εἰδ' οὖν, ἀκόλαστοί σε παραλαβόντες, τὸ σὸν ἀσέμνως καθυβρίσουσι σῶμα. ἡ δὲ γενναία μήτηρ. καὶ ποία μοι καταδίκη φησὶν, ἀκουσίως μου παρυβριζομένου τοῦ σώματος; τοῦτο γὰρ ἐμοὶ καὶ γέρας καὶ στέφανος. τούτοις ναρκήσας ὁ τύραννος, τὴν μὲν Μητέρα τοῦ Μάρτυρος, ἀπολυθῆναι κελεύει, ξίφει δὲ τὸν μακάριον τελειωθῆναι Ἰουλιανόν. τὸ ὄρος οὖν μετὰ τῶν δημίων καταλαβὼν ὁ Ἅγιος, καὶ μικρὰν εὐχῆς ὥραν αἰτησάμενος. εὐχαριστῶ σοι Κύριε εἶπεν, ὅτι διετήρησάς με ἀκαταίσχυντον, μέχρι τῆς τοῦ αἵματός μου ἐκχύσεως. παράσχου δὲ καὶ τοῖς χοῦν ἐκ τῆς Σοροῦ μου λαμβάνουσιν, ἄφεσιν ἁμαρτημάτων, καὶ παθῶν ἀποτροπήν. μὴ ἐπέλθοι ἐπ' αὐτοῖς ληϊζομένων πετεινῶν ἐπιφοίτησις, ἢ ἀκρὶς, ἢ ἄλλη ἐπίφθορος λύμη, καὶ δέξαι ἐν εἰρήνῃ τὸ πνεῦμά μου. καὶ φωνὴ Οὐρανόθεν ἐγένετο· τὰς πύλας ὁ Ἀγωνοθέτης ἀνέῳξε, καὶ ὡς νομίμως ἀγωνισάμενος εἴσελθε. καὶ τῆς φωνῆς οἱ κεκρυμμένοι ἀκούσαντες τεσσαράκοντα, καταλαβόντες

τὴν

τὴν ὑπόρασιν, εὗρον ἤδη πεπληρωθέντα τὸν Μάρτυρα, καὶ αὐτοὶ παρέδωκαν αὐτὸν τῇ Δημίῳ τὸν Χεῖρα ὡμολόγησαν. ὃς δεσμήσαντες, τῷ Ἄρχοντι προσηνέγκαμεν, εἰς ἕτερον φυλαχθησόμενος ἐρώτησιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Μακεδονίου, Ταπανᾶ, καὶ Θεοδότου. Καὶ μνήμη τοῦ Ὁσίου Δανιὴλ τοῦ ἐν τῷ Θασίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Ὠκεανὸς πυρὶ τελειοῦται.

℣. Τὸν Ὠκεανὸν Ἥλιον λαμπρὸν νόει,
Εἰς Ὠκεανὸν τὸν πυρὰν λελαμπρόν.

Μηνὶ τῷ αὐτῷ ΙΓ΄.

Μνήμη τῆς Ἐγκαινίων τῆς ἁγίας τοῦ Χριστοῦ ἡμῶν Ἀναστάσεως. καὶ Προεόρτια τῆς Ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ. καὶ τοῦ Ἁγίου Μάρτυρος Κορνηλίου τοῦ Ἑκατοντάρχου.

ΤΥΠΙΚΟΝ.

Περὶ τῆς Ἑορτῆς τῆς Ἐγκαινίων, ἡ τύχῃ ἐν Κυριακῇ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ ιγ΄. τοῦ Σεπτεμβρίου ἐν Κυριακῇ, καταλιμπάνεται ἡ Ἀκολουθία τοῦ Ἁγίου Κορνηλίου, καὶ ψάλλεται, ὅτε θέλῃ ὁ Ἐκκλησιάρχης. ψάλλονται δὲ τὰ Ἀναστάσιμα μετὰ τῆς Ἀκολουθίας τῆς Ἐγκαινίων, καὶ τῆς Προεορτίων τοῦ τιμίου Σταυροῦ.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ, στιχηρὰ Ἀναστάσιμα, καὶ τῆς Θεοτόκου, ὡς συνήθως. Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ ἑσπέρας, μετὰ τοῦ σωσθῆναι στιχολογίαν εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ Ἀναστάσιμα γ΄. καὶ Ἀναστολικὸν α΄. τῆς Ἐγκαινίων Ἰδιόμ. γ΄. ἦχος, πλ. β΄. καὶ τοῦ τιμίου Σταυροῦ Προεόρτια γ΄. Δόξα, τῆς Ἐγκαινίων. καὶ νῦν. Θεοτοκίον. τὸ α΄. τοῦ ἤχου. Ἀναγνώσμ. τῆς Ἐγκαινίων. εἰς τὸν Λιτὸν, τὰ στιχηρὰ τοῦ Ἁγίου τῆς Μονῆς, καὶ τῆς Ἐγκαινίων Ἰδιόμελ. τοῦ β΄. α΄. καὶ τὸν δ΄. Δόξα, ἦχος, πλ. α΄. Ὁ ἐπὶ τῆς κόλπων. Καὶ νῦν. ἦχος, πλ. β΄. Σήμερον Σιὼν ἐφαιδρύνθη. Εἰς τὸν στίχον στιχηρὰ Ἀναστάσιμα τοῦ στίχου. Δόξα τῆς Ἐγκαινίων. Καὶ νῦν, τοῦ Σταυροῦ. εἰς τὸν Εὐλογησον τῆς Ἄρτου, τὸ Θεοτόκε Παρθένε δίς. καὶ τῆς Ἐγκαινίων ἅπαξ, καὶ Ἀνάγνωσις εἰς τὰς Ἐπιστολάς. αἱ δὲ ἕτεραι Ἀναγνώσεις, ἐκ τῆς βιβλίου τοῦ Χρυσοστόμου, καὶ τὸ Μαρτύριον τοῦ Ἁγίου. Εἰς τὸ, Θεὸς Κύριος. Τροπάριον Ἀναστάσιμον δίς. Δόξα τῆς Ἐγκαινίων. Καὶ νῦν τοῦ Σταυροῦ. εἰς τὰ Καθίσμ. τῆς στιχολογ. Καθίσ. Ἀναστάσιμα μετὰ τῆς Θεοτοκίων αὐτῶν. ὁ Ἀμωμος. ἦχος δ΄. Τὸ πάθος. οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Προοιμ. Πᾶσα πνοή. Εὐαγγέλιον Ἀναστάσιμον, τὸ, Ἀνέστη Χριστός. ὁ Νόμος τὸ Ἀναστάσιμον στιχηρόν. οἱ Κανόνες, ὁ Ἀναστάσιμος, εἰς δ΄. τῆς Θεοτόκου, εἰς β΄. ὁ Προεόρτιος τοῦ Σταυροῦ, εἰς δ΄. καὶ τῆς Ἐγκαινίων, εἰς δ΄. ἀπὸ γ΄. φῶς Κάθισμα. τῆς Ἐγκαινίων. Δόξα, καὶ νῦν τοῦ Σταυροῦ. Ἀνάγνωσις, τὸ Μαρτύριον τοῦ Ἁγίου Κορνηλίου εἰς δόσιν ἀφ' ἑκάστης, τὸ Κοντάκ. τῆς Ἐγκαινίων. Ἐν τῇ Θ΄. Ὠδῇ, στιχολογεῖται ἡ Τιμιωτέρα. Ἐξαποστειλάριον τὸ Ἀναστάσιμ. τῆς Ἐγκαινίων, εἰ ἔχει, καὶ Προεόρτιον τοῦ Σταυροῦ. εἰς τὸς Λαούς, Πᾶσα πνοή. στιχηρὰ Ἀναστάσιμα δ΄. καὶ τῆς Ἐγκαινίων προσόμ. γ΄. ἦχος, δ΄. Ἐδώκας σημείωσιν, καὶ Ἰδιόμ. ἦχος, γ΄. Πρὸς ἑαυτὸν ἐπανάγε ἄνθρωπε, μετὰ τῆς στίχ. Τῷ σίνῳ σε φρίττει. καὶ, Ὁ Κύριος ἐβασίλευσεν. Δόξα, τὸ Ἐωθινόν. Καὶ νῦν. Τὴν ὑπερύμνητον. Δοξολογία μεγάλη. Τροπ. τὸ Ἀναστάσιμον μόνον, ἡ Ἐκτενὴς, ἡ Κατήχησις, καὶ Ἀπόλυσις. ἡ σωσθῆς Λιτή. ἡ α΄. Ὥρα ἐν τῇ Νάρθηκι. Εἰς τὰς Ὥρας, ἐν τῇ μιᾷ, Τροπ. τὸ Ἀναστάσιμον. Δόξα τῆς Ἐγκαινίων. Καὶ νῦν. Θεοτοκίον τῆς Ὥρας. Κοντ. τῆς Ἐγκαινίων. ἐν δὲ τῇ ἑτέρᾳ, Τροπ. τὸ Ἀναστάσιμον. Δόξα τοῦ Σταυροῦ. Καὶ νῦν. Θεοτοκίον τῆς Ὥρας. Κοντ. τῆς Ἐγκαινίων. εἰς τὸν Λειτουργίαν, Τυπικά. οἱ Μακαρισμοὶ τοῦ ἤχου, καὶ τῆς Ἐγκαινίων, ἡ ς΄. Ὠδή, εἰς δ΄. Προκείμ. ὁ Ἀπόστολος. Ἀλληλουϊάριον. Εὐαγγέλιον. Κοινωνικὸν ἑρμηνεύον τῆς ἡμέρας. ἕτερα τῆς Ἐγκαινίων.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ℣. ς΄. καὶ ψάλλομεν ℣. Ἰδιόμ. τῆς Ἐγκαινίων γ΄. καὶ τοῦ Ἁγίου προσόμοια γ΄. ἦχ. πλ. β΄.

Ἐγκαινία ποιεῖσθαι, παλαιὸς νόμος, καὶ καλῶς ἔχων· μᾶλλον δὲ τὰ νέα ποιεῖσθαι δι' Ἐγκαινίων. ἐγκαινίζονται γὰρ Νῆσοι πρὸς Θεὸν, ὡς φησὶν Ἡσαΐας. ἃς πνας ὑπολήπτεον τὰς ἐξ Ἐθνῶν Ἐκκλησίας, ἄρτι καθιερωμένας, καὶ πῆξιν λαμβανούσας βάσιμον τῷ Θεῷ. διὸ καὶ ἡμεῖς, τὰ παρόντα Ἐγκαίνια, πανδημοπικῶς πανηγυρίσωμεν. Ὁ αὐτός.

Ἐγκαινίζεσθε ἀδελφοὶ, καὶ τὸν παλαιὸν αὐθρωπον ἀποθέμενοι, ἐν καινότητι ζωῆς πολιτεύεσθε, πᾶσι χαλινὸν ἐπιθέντες, ἐξ ὧν ὁ θάνατος. παύσατε τὰ μέλη παιδαγωγήσωμεν, πᾶσαν πονηρὰν τοῦ ξύλου βρῶσιν μισήσαντες· καὶ διὰ τοῦτο μόνον μεμνημένοι, τῆς παλαιᾶς ἵνα φύγωμεν. ὅπως ἐγκαινίζεται αὐθρωπος, ὅτω πράττει ἡ τῆς Ἐγκαινίων ἡμέρα. Ὁ αὐτός. Ἀναπολίου.

Θεὸς πύργον ἰσχύος, τὴν Ἐκκλησίαν σε Χριστὲ, προσηνίξε Λόγε. ἐθεμελίωσας γὰρ αὐτὴν, ἐπὶ πέτραν τῆς Πίστεως. διὸ ἀσάλευτος διαμένει εἰς τὸν αἰῶνα, ἔγνωσα σὲ τὸν δι' αὐτὴν ἐπ' ἐσχάτων, ἀτρέπτως γενόμενον

νον Ἄνθρωπον. εὐχαριστοῦντες οὖν, ἀνυμνοῦμέν σε λέγοντες. Σὺ εἶ ὁ πρὸ τῶν αἰώνων, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι Βασιλεὺς ἡμῶν, δόξα σοι.

Τοῦ Ἁγίου, ἦχος, δ'. Ἐδωκας σημείωσιν.

Χριστὸς ἐπινεύσας σου, ταῖς εὐποιΐαις Κορνήλιε, καὶ ταῖς Θείαις ἐντεύξεσιν, Ἄγγελόν σοι Ἅγιον, ἀποστέλλει ὅλον, σὲ φωταγωγοῦντα, καὶ Ἀποστόλων ἱερῶν, τὸν Κορυφαῖον ἀνακαινίζοντα, δι' ὕδατος καὶ Πνεύματος, σὲ πανοικὶ ἀξιάγαστε, καὶ μυοῦντα τὰ κρείττονα, τῇ τοῦ Πνεύματος χάριτι.

Χρίσμα περικείμενος, Ἱερωσύνης διέδραμες, τὸ σωτήριον κήρυγμα, κηρύξαι τοῖς Ἔθνεσιν, ἐκριζῶν τῆς πλάνης, ἀκάνθας θεόφρων, καὶ ἐμφυτεύων ἀπλανῆ, διδασκαλίαν ψυχαῖς ἐν πνεύματι. διό σε μακαρίζομεν, ὡς Ἱεράρχην θεόληπτον, καὶ ἀήττητον Μάρτυρα, γεγηθότες Κορνήλιε.

Πρόποις σου χρηστότητος, ἀκολουθοῦντες οἱ ἄφρονες, ἀπεδείχθησαν ἔμφρονες. θνήξας καὶ γὰρ φύσεως, νόμῳ κατοικήσας, μακάριον τάφον, τοῦτον πηγὴν ἀποτελεῖς, πολλῶν θαυμάτων, σοφὲ Κορνήλιε, ἰώμενος τοὺς κάμνοντας, καὶ φυγαδεύων τὰ πνεύματα, πονηρίας ἐν Πνεύματι, τῷ Ἁγίῳ προκόπτοντας.

Δόξα, ἦχος, π. β'. Ἰωάννου Μοναχοῦ.

Μὴν μνήμην τῶν Ἐγκαινίων, ἐπιτελοῦντες Κύριε, σὲ τὸν τοῦ ἁγιασμοῦ δοτῆρα δοξάζομεν. δεόμενοι, ἁγιασθῆναι ἡμῶν τὰ αἰσθητήρια τῶν ψυχῶν, τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀθλοφόρων, ἀγαθὲ Παντοδύναμε.

Καὶ νῦν. Ὁ αὐτός.

Σήμερον Ξύλον ἐφανερώθη, σήμερον γένος Ἑβραίων ἀπώλετο. σήμερον διὰ Πιστῶν Βασιλέων, ἡ Πίστις φανεροῦται. καὶ ὁ Ἀδὰμ διὰ τοῦ ξύλου ἐξέπεσε· καὶ πάλιν διὰ Ξύλου δαίμονες ἔφριξαν. παντοδύναμε Κύριε δόξα σοι.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα.

Κεφ. η'. 22. Ἔστη Σολομὼν κατὰ πρόσωπον τοῦ Θυσιαστηρίου Κυρίου, ἐνώπιον πάσης Ἐκκλησίας Ἰσραὴλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν Οὐρανὸν, καὶ εἶπε· Κύριε ὁ Θεὸς Ἰσραὴλ, οὐκ ἔστι Θεὸς ὡς σὺ ἐν τῷ Οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω. Εἰ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ οἶκος οὗτος ὃν ᾠκοδόμησα ἐν τῷ ὀνόματί σου; Πλὴν καὶ ἐπιβλέψεις ἐπὶ τὴν δέησίν μου Κύριε ὁ Θεὸς Ἰσραὴλ, ἀκούειν τῆς δεήσεως καὶ τῆς προσευχῆς, ἧς ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν σου, πρὸς σὲ σήμερον. Τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους εἰς τὸν οἶκον τοῦτον, ὃν εἶπας, ἔσται τὸ ὄνομά σου ἐκεῖ. Τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προσεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον τοῦτον ἡμέρας καὶ νυκτός. Καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ δούλου σου, καὶ τοῦ λαοῦ σου Ἰσραὴλ, ἃ ἂν προσεύχωνται εἰς τὸν τόπον τοῦτον, καὶ σὺ εἰσακούσῃ εἰς τὸν τόπον τῆς κατοικήσεώς σου ἐν τῷ Οὐρανῷ, καὶ ποιήσεις, καὶ ἵλεως ἔσῃ αὐτοῖς.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν Γῆν, ἡτοίμασε δὲ Οὐρανοὺς ἐν φρονήσει. Ἐν αἰσθήσει αὐτοῦ, ἄβυσσοι ἐρράγησαν, νέφη δὲ ἐρρύη δρόσον. Υἱὲ, μὴ παραρρυῇς. τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν. Ἵνα ζῇ σὴ ψυχὴ, καὶ χάρις ἢ περὶ σῷ τραχήλῳ. ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου. Ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου, ὁ δὲ ποῦς σου, οὐ μὴ προσκόπτῃ. Ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ. Ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις. καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας. Ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ ἀγρευθῇς. Μὴ ἀπόχου εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Μὴ εἴπῃς, ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν. οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Μὴ τέκταινε ἐπὶ σὸν φίλον κακὰ, παροικοῦντα, καὶ πεποιθότα ἐπὶ σοί. Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, ἵνα μή τι εἰς σὲ ἐργάσηται κακόν. Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζήλου τὰς ὁδοὺς αὐτῶν. Ἀκάθαρτος γὰρ ἐναντι Κυρίου πᾶς παράνομος, ἐν δὲ δικαίοις οὐ συνεδρεύει. Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν· ἐπαύλεις δὲ δικαίων

Κεφ. γ'. 19.

ἐπαυ-

εὐλογοῦνται. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. θ'. 23. Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα λέγουσα· ὃς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. καὶ τοῖς ἐνδεέσι φρενῶν, εἶπεν· ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. ἀπολείπετε ἀφροσύνην, καὶ ζήσεσθε, καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. ὁ παιδεύων κακοὺς, λήψεται ἑαυτῷ ἀτιμίαν. ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ. μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε. δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. ἀρχὴ σοφίας φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις. τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Εἰς τὸν ξι. ξι. τοῦ Σταυροῦ, ἦχος, π. α.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ζωηφόρος Σταυρὸς, τῆς εὐσεβείας τὸ ἀήττητον τρόπαιον, ἡ θύρα τοῦ Παραδείσου, ὁ τῶν Πιστῶν στηριγμὸς, τὸ τῆς Ἐκκλησίας περιτείχισμα. δι' οὗ ἐξηφάνισται, ἡ φθορὰ καὶ κατήργηται, καὶ κατεπόθη, τοῦ θανάτου ἡ δυνάμις, καὶ ὑψώθημεν, ἀπὸ γῆς πρὸς Οὐρανία. ὅπλον ἀκαταμάχητον, δαιμόνων ἀντίπαλε, δόξα Μαρτύρων Ὁσίων, ὡς ἀληθῶς ἐγκαλλώπισμα, λιμὴν σωτηρίας, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

ξι. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Χαίροις ὁ τοῦ Κυρίου Σταυρὸς, δι' οὗ ἐλύθη τῆς ἀρᾶς τὸ ἀνθρώπινον, τῆς ὄντως χαρᾶς σημεῖον, ὁ καταράσσων ἐχθροὺς, ἐν τῇ σῇ ὑψώσει πανσεβάσμιε. ἡμῶν ἡ βοήθεια, Βασιλέων κραταίωμα, σθένος Δικαίων, Ἱερέων εὐπρέπεια, ὁ τυπούμενος, καὶ δεινῶν ἐκλυτρούμενος. ῥάβδος ἡ τῆς δυνάμεως, ὑφ' ἧς ποιμαινόμεθα, ὅπλον εἰρήνης ἐν φόβῳ, ὃ περιέπουσιν Ἄγγελοι, Χριστοῦ θεία δόξα, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

ξι. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Χαίροις ὁ τῶν τυφλῶν ὁδηγὸς, τῶν ἀσθενούντων ἰατρὸς ἡ Ἀνάστασις, ἁπάντων τῶν τεθνεώτων, ὁ ἀνυψώσας ἡμᾶς, εἰς φθορὰν πεσόντας, Σταυρὲ τίμιε. δι' οὗ διαλέλυται, ἡ φθορὰ καὶ ἐξηνύθησεν, ἡ ἀφθαρσία, καὶ βροτοὶ ἐθεώθημεν, καὶ διάβολος, παντελῶς καταβέβληται. σήμερον ἀνυψούμενον, χερσὶ καθορῶντές σε, Ἀρχιερέων ὑψοῦμεν, τὸν ὑψωθέντα ἐν μέσῳ σου. καὶ σὲ προσκυνοῦμεν, ἀρυόμενοι πλουσίως τὸ μέγα ἔλεος.

Δόξα, ἦχος, β'. Ἀνατολίου.

Τὸν Ἐγκαινισμὸν τελοῦντες, τοῦ πανιέρου Ναοῦ τῆς σῆς Ἀναστάσεως, σὲ δοξάζομεν Κύριε, τὸν ἁγιάσαντα τοῦτον, καὶ τελειώσαντα τῇ αὐτοτελεῖ σου χάριτι· καὶ τερπόμενον ταῖς ἐν αὐτῷ ἱερουργουμέναις, ὑπὸ Πιστῶν μυστικαῖς καὶ ἱεραῖς Τελεταῖς, καὶ προσδεχόμενον ἐκ χειρὸς τῶν δούλων σου, τὰς ἀναιμάκτους καὶ ἀχράντους Θυσίας. ἀντιδιδόντα τε τοῖς ὀρθῶς προσφέρουσι, τὴν τῶν ἁμαρτημάτων κάθαρσιν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νυν. ὁ αὐτός.

Θεῖος θησαυρὸς ἐν γῇ κρυπτόμενος, τοῦ ζωοδότου ὁ Σταυρὸς, ἐν Οὐρανοῖς ἐδείκνυτο Βασιλεῖ εὐσεβεῖ, καὶ νίκας κατ' ἐχθρῶν, ὑπογραμμὸς δηλῶν νοερῶς. ὃν γεγηθὼς πίστει καὶ πόθῳ, θεόθεν ἀναδραμὼν πρὸς θεωρίας ὕψωμα· σπουδῇ δὲ τοῦτον, ἐκ γῆς λαγόνων ἀνέθωρεν, εἰς Κόσμου λύτρον, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τροπάριον, ἦχος, δ'.

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ Ἁγίου Σκηνώματος τῆς δόξης σου Κύριε. κραταίωσον αὐτὸν εἰς αἰῶνα αἰῶνος, καὶ πρόσδεξαι ἡμῶν, τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις· πρεσβείαις τῆς Θεοτόκου, ἡ πάντων ζωὴ, καὶ Ἀνάστασις.

Δόξα, καὶ νυν. ἦχος, β'.

Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν. σῶζε τοὺς Βασιλεῖς, καὶ τὴν Πόλιν σου, ἱκετεύοντας διὰ τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν α'. ξιλο. κα. ἦχος, δ'.

Ταχὺ προκατάλαβε.

Τὰ πάντα ἐφώτισε τῇ παρουσίᾳ Χριστὸς, τὸν Κόσμον ἀνεκαίνισε Πνεύματι Θείῳ

αὐ-

αὐτοῦ, ψυχαὶ ἐγκαινίζονται. οἶκος γὰρ ἀνετέθη, νῦν εἰς δόξαν Κυρίου, ἔνθα καὶ ἐγκαινίζει τῶν πιστῶν τὰς καρδίας, Χριστὸς ὁ Θεὸς ἡμῶν εἰς σωτηρίαν βροτῶν.

Δόξα, καὶ νῦν, τὸ αὐτό. μετὰ τὴν β'. ζιλὸ Ἕτερον κα. Ὅμοιον.

Ἑόρπος σήμερον τῶν Ἐγκαινίων πιστοὶ, ἡμέρα κατέλαβεν ἡμᾶς προτρέπουσα, τὴν ἐκλογὴν τοῦ Χριστοῦ, πάντας ἐγκαινισθῆναι, καὶ φαιδρῷ τῷ προσώπῳ, ᾄσματα τῷ Δεσπότῃ, ἐκ μυχοῦ τῆς καρδίας, αἰνέσαι πιστῶς ὡς λυτρωτῇ, καὶ ἡμᾶς ἐγκαινίζοντι.

Οἱ Κανόνες, ὁ Προέορτιος τοῦ Σταυροῦ, καὶ τῶν Ἐγκαινίων.

Κανὼν ὁ Προεόρπος, οὗ ἡ ἀκροστ. κτ. Ἀλφάβητον, ἄνευ τῶν Θεοτοκίων.

Ὠδὴ, α'. ἦχος, δ'. Ὁ Εἱρμός.

» Πριστάτας κραταιοὺς, ὁ τεχθεὶς ἐκ Παρ-
» θένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς
» τὸ τριμερὲς, καταπόντισον δέομαι· ὅπως
» σοι ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώ-
» ματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Ἀγάλλου Οὐρανὲ, καὶ ἡ γῆ εὐφραινέσθω, ὁ πανάγιος Σταυρὸς, προέρχεται ἡμᾶς, ἁγιάζων ἐν χάριτι, τοῦτον κατασπαζομένους, ὡς πηγὴν ἁγιάσματος, καὶ τῆς πάντων θεώσεως αἴτιον.

Βαδίζειν εὐσεβῶς, τὴν οὐράνιον τρίβον, ἐνδυνάμωσον ἡμᾶς, Πανάγιε Σταυρὲ, τοὺς πιστῶς προσκυνοῦντάς σε· ὅπως τὰ τῶν ἐναντίων, ἀποκλίναντες βάραθρα, κοινωνοὶ θείας δόξης γενώμεθα.

Ἕνωσοι τῷ Ποιητῇ, διὰ σοῦ γεγονότες, πανσεβάσμιε Σταυρὲ, καρδίᾳ καὶ ψυχῇ, προσπτυοσόμεθα πάντοτε, σὲ προκείμενον ὁρῶντες, καὶ τὸν νοῦν φωτιζόμεθα, τὸν παναίτιον Λόγον δοξάζοντες. θε.

Ἡ Πόλις τοῦ Θεοῦ, τὸ τοῦ Παμβασιλέως, θεοδόχον εὐαγὲς, κειμήλιον σεπτὸν, Θεοτόκε Πανάμωμε, φρούρησον σὴν κληρουχίαν, τὴν ἀεὶ εὐφημοῦσάν σε, καὶ γεραίρουσαν πίστει τὸν Τόκον σου.

Ἕτερος Κανὼν τῶν Ἐγκαινίων, ἦχος, δ'. Ὠδὴ, α'. Θαλάσσης, τὸ ἐρυθραῖον.

Ἰωάννου Μοναχοῦ.

Ὁ Στύλῳ, καθοδηγῶν τὸ πρότερον, τὸν ἐκλεκτὸν Ἰσραὴλ, διὰ λουτροῦ Βαπτίσματος Χριστὲ. ἐν Σιὼν κατεφύτευσας, τὴν Ἐκκλησίαν κράζουσαν· ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Ἡμέρον, τῆς ἀπροσίτου δόξης σου, ἡ ἐπιφοίτησις, τὸν ἐπὶ γῆς παγεντα σοι Ναὸν, Οὐρανὸν κατεσκεύασεν. ἐν ᾧ συμφώνως ψάλλομεν· ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Οὐ νόμῳ, ἡ Ἐκκλησία Κύριε, ἐγκαλλωπίζεται, οὐ δουλικῶν ἐκτάσεσι χειρῶν· τοῦ Σταυροῦ δὲ τῇ χάριτι, ἐγκαυχωμένη ψάλλει σοι· ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν. Θεοτοκίον.

Ἀσπόρως, τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ Θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς Ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ Ἀπάτορα.

Ἕτερος Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς.

Τῶν θαυμάτων σου τὸ κλέος μέλπω Μάκαρ.

Ἰωσήφ. Ὠδὴ, α'. ἦχος, π. α'. Ἵππον καὶ ἀναβάτην.

Παύτην σου τὴν φωσφόρον, καὶ θείαν κοίμησιν, καὶ ὑπέρλαμπρον Μνήμην, καὶ ἱεραὶ πανήγυριν, τοὺς πανηγυρίζοντας, ταῖς εὐχαῖς σου φώτισον, Ἱεράρχα θεομακάριστε.

Ὤφθης καὶ πρὸ τελείας, σοφὲ μυήσεως, ταῖς ἐλεημοσύναις, καὶ ταῖς εὐχαῖς Κορνήλιε, χολάζων πανόλβιε, καὶ τὸν πάντων Κύριον, διανοίας ζητῶν εὐθύτητι.

Νόμους τοὺς σωτηρίους, σαφῶς ἐξέμαθες, τοῦ σαρκὶ ἐνωθέντος, δι' ἄκραν ἀγαθότητα, τοῦ τῶν Ἀποστόλων σε, Κορυφαίου νεύσεσι, τοῦ Δεσπότου Μάκαρ μυήσαντος. θε.

Θέλγεις πιστῶν καρδίας, ἀεὶ δοξάζειν σε, ἀκορέστῳ ἐφέσει, Θεογεννῆτορ Δέσποινα. δόξα χρηματίζεις γὰρ, τῶν ἀνθρώπων τέξασα, τὸν τῆς δόξης Κύριον Ἄχραντε.

Ὠδὴ, γ'. Ὁ Εἱρμός.

Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ »
καυχώμεθα· ἀλλ' ἐν σοὶ τῇ τοῦ Πα- »
τρὸς, ἐνυποστάτῳ Σοφίᾳ Θεοῦ. οὐ γάρ ἐ- »
στιν Ἅγιος, πλὴν σου φιλάνθρωπε. »

Δόξαν Χριστοῦ σε, χρηματίσαντα πίστει δοξάζομεν, δοξαζόμενοι ταῖς σαῖς, δεδοξασμένε Κυρίου Σταυρὲ, σεπταῖς περιπτύξεσι, καὶ φωτιζόμενοι.

Ἐν εὐφροσύνῃ, προσελθόντες πιστοὶ ἀρυσώμεθα, ὡς ἐκ κρήνης καθαρᾶς, Σταυροῦ ἀείζωα νάματα· καὶ διασωζόμενοι, Θεὸν ὑμνήσωμεν.

Ὢν ὑπάρχων, Ἰησοῦς κρεμασθεὶς τεθνάθωται, ἐπὶ ξύλου τοῦ Σταυροῦ· ὃν νῦν πιστῶς προσκυνοῦμενοι, πάθη ἀποφεύγομεν, θανάτου πρόξενα. Θεοτοκίον.

Ἐπιφανεῖσα, τῆς ψυχῆς μου τὸ σκότος ἀπέλασον, ἁμαρτίας τὰς σειράς, Ἁγνὴ Παρθενε διάρρηξον. σῴζόν με κυήσασα, τὸν πανοικτίρμονα.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Ἵστασας ἐπὶ γῆς, τιμῶ Ἐκκλησίαν σου Χειρὶ Πνεύματι, χρίσας αὐτὴν σήμερον, σῆς ἀγαλλιάσεως ἔλαιον.

Ἐμελίσσησε Χειρὶ, ἡ Ἐκκλησία ἀρραγὲς ἔχουσα, πρὸς σῷ Σταυρῷ σέφεται, ὡς Βασιλικῷ διαδήματι.

Νέδειξας Ἁγαθὲ, τιμῶ χειροποίητον σκηνὴν σήμερον, τῆς ὑπὲρ νοῦν δόξης σου, οἰκονομικῶς οἰκητήριον. Θεοτοκίον.

Τί μόνῃ τοῖς ἐπὶ γῆς, βροτοῖς ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας. ὅθεν σοὶ τὸ χαῖρε προσάγομεν.

Ἄλλος. Ὁ πήξας ἐπ' ὕδατος.

Τίς τὸν φωτισμὸν, μεταλαβὼν Πνεύματος, καὶ τιμῶν θείαν χάριν ἐκ θείου σώματος, ὅλῳ ἀσταδὲξῳ πιστοχρὶ, τὰ θείου Κορυφαίου, ἐπισασίως καταγγέλλοντος, τὰ σωτηριώδη διδάγματα.

Ὑψώθης ταῖς ἀρεταῖς, ὡς κέδρος ὑψίκομος, καὶ καρπὸς δώδεκας ἡμῖν προσήνεγκας, τιμῶν τῶν διδαγμάτων παροχὴν, τὴν χάριν τῶν θαυμάτων, καὶ ἰαμάτων τὴν ἐνέργειαν, μάκαρ Ἱεράρχα Κορνήλιε.

Εἰσῆς ἀξιωθεὶς, ὑπερκλεὴς Κορνήλιε, σὺν τῷ Κορυφαίῳ καὶ ἄλλοις πλείοσιν, ἔδραμες κηρύττων παντοχῆ, τὸ κήρυγμα τὸ Θεῖον, δι' οὗ ἡμεῖς φωταγωγούμενοι, σκότος ἀγνωσίας ἐρρύσθημεν.

Θεοτοκίον.

Θεὰς φωτοειδὲς, γεγένησαι σκήνωμα, καὶ τὸν φωτοδότην φέρας σαρκούμενον, Ἄνθρωπον ὀφθέντα καθ' ἡμᾶς, διὰ φιλανθρωπίαν, καὶ τὴν φθορὰν ἐξαφανίσαντα, Ἄφθορε βροτῶν ἡ ἀνάκλησις.

Κα. ἦχ. πλ. Τὸ προσταχθέν.

Οὗ μαρτυρεῖ τὴν Σκηνὴν Χειρὸς παρέδειξε, καὶ ὁ Θεσπέσιος Μωσῆς ἐν γῇ ἐπήξατο, καὶ Ναὸν ἐγκαινίζει Σολομὼν ἐν θυσίαις. ἡμεῖς δὲ πρὸς τὴν Νέαν Ἱερουσαλὴμ, τῇ πίστει καταφυγόντες Δαβιτικῶς, δῶμεν θείαν ἀνύμνησιν, τῷ Σταυρωθέντι δι' ἡμᾶς, αἰτούμενοι συγχώρησιν, πάντων ὧν περ ἡμάρτομεν.

Δόξα τῇ Ἁγίᾳ, ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Ἐν Παρχὴν Ἁγίαν σε ἡ Ἐκκλησία, ἐξ Ἐθνῶν ἐδέξατο, καταφωτίζουσα αὐτὴν, ταῖς εὐαρέστοις σου πράξεσιν, Ἱερομύσα, Θεόφρον Κορνήλιε.

Καὶ νῦν. Ταχὺ προκατάλαβε.

Ἐν πίστει τὰ Ἐγκαίνια, ἐπιτελοῦμεν φαιδρῶς, τὸ οἶκόν σου Ἄχραντε, ἀλλογημένη Ἁγνὴ, Παρθενε πανύμνητε, χαίροντες τῇ ἐλπίδι, τῇ εἰς σὲ Θεοτόκε, αἰτούμενοι σε πρεσβεύειν, τῷ Σωτῆρι ἀπαύστως, αὐτῷ τῷ Σταυρωθέντι ἐν σοὶ, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἀγάπησιν Οἰκτίρμον τῆς σῆς εἰκόνος, ἐπὶ Σταυροῦ σου ἔδειξας, καὶ ἐπίκτησαι Ἔθνη. σὺ γὰρ εἶ Φιλάνθρωπε, ἰσχύς μου καὶ ὕμνησις. Λιθόμορφος ὁρώμενος προσκυνεῖται, ὑπὸ πιστῶν ἀνθρώπων, ὁ Σταυρὸς τοῦ Κυρίου. ὃν καταπαύζομενοι, ψυχὰς φωτιζόμεθα. Θεὸς Κύριος σαρκούμενος ἐπεφάνη, καὶ ὑψωθεὶς ἐν Ξύλῳ, τοὺς αὐτὸν προσκυνοῦντας, φωτίζει ἑκάστοτε, δεινῶν ῥυσαμένους. Ἄφεσιν ἡμῖν καὶ ἄφεσιν τῶν πταισμάτων, Λόγε Θεοῦ παράσχου, τοῖς πιστῶς προσκυνοῦσι, σήμερον προκείμενον, Σταυρόν σου τὸν τίμιον. Θεοτοκίον.

Ἡ κυήσασα τὸν Πατρῷον ὁ Λόγος κόλπον, σοῦ ἐν τοῖς κόλποις Κόρη, ἀνεκλήθη ὡς βρέφος, θέλων ἀναπλάσαι με, φθορᾷ ὑποκείμενον.

Ἄλλος. Ἐπαρθεύτα σε.

Οὐκ ἐν θύμασιν ἀλόγων ἡ Ἐκκλησία, ἀλλὰ τῷ σῷ πνεύματι, ἐκ πλευρᾶς ζωηφόρου, Αἵματι ῥαντίζεται, εἰκότως κραυγάζουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Τὰ σκηνώματα Κυρίου ἠγαπημένα, τοῖς καθαροῖς ποθοῦσιν ἀνακεκαλυμμένως, τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, συμφώνως κραυγάζουσι· δόξα τῇ δυνάμει σου Κύριε.

Εἰκονίζουσα τὴν χρῖσιν ἡ Ἐκκλησία, τοῦ ἐκλεκτοῦ λαοῦ σου τὸ πολύτιμον μύρον, σήμερον ἀλείφεται, τὴν Θείαν τοῦ Πνεύματος, χάριν ἀοράτως λαμβάνουσα.

Θεο-

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας, ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ἄλλος. Τὴν θείαν ἐννοήσας σου.

Τοῦ Πνεύματος τὴν χάριν δεξάμενος, Ἥλιος ὥσπερ φωταυγὴς, τὴν γῆν ἐπῆλθες Κορνήλιε, ἀποδιώκων τὸ σκότος, τῆς εἰδωλομανίας πανεύφημε.

Ὡς μέγας ποταμὸς ἐκπεπόρευσαι, ἅπαν τὸ πρόσωπον τῆς γῆς, ἀρδεύων Θείοις διδάγμασι, καὶ τὰ ζιζανία πνίγων, τὰ τῆς πολυθείας Κορνήλιε.

Νεκρὸς παντὶ τῷ Κόσμῳ γενόμενος, τοῦ νεκρωθέντος δι' ἡμᾶς, τὴν Θείαν Ἔγερσιν ἅπασι, τοῖς ἐκ παθῶν νεκρωθεῖσι, διήγγειλας παμμάκαρ Κορνήλιε. θτ.

Σοφίας καθαρὸν ἐνδιαίτημα, τῆς τοῦ Πατρὸς ὑπερφυῶς, Ἁγνὴ Παρθένε γεγένησαι. δι' ἧς ἡμεῖς τῆς κακίας, νυνὶ τοῦ σοφιστοῦ ἐλυτρώθημεν. Ὠδὴ, ε. Ὁ Εἱρμός.

» Τὸν φωτισμόν σου Κύριε, κατάπεμψον
» ἡμῖν, καὶ τῆς ἀχλύος ἡμᾶς τῶν πται-
» σμάτων, λύσον ἀγαθὲ, τὴν σὴν εἰρήνην
» οὐρανόθεν δωρούμενος.

Κατὰ παθῶν ἐνίσχυσον, ἡμᾶς φθοροποιῶν, τοὺς σὲ τιμῶντας, καὶ ἀσπαζομένους τίμιε Σταυρὲ, ἁγίου Πάθους, ἁγιώτατον σύμβολον.

Ἐλαμπρυσμένοι σήμερον, καρδίας καὶ ψυχὰς, καλῶν ἰδέαις, προσέλθωμεν πιστοί. τὸ Ἱερὸν καὶ Θεῖον Ξύλον, τοῦ Σταυροῦ προσκυνήσωμεν.

Μερρᾶς γλυκαίνει πρότερον, τὰ ὕδατα Μωσῆς, σημαίνων ξύλῳ, σὲ τίμιε Σταυρὲ, δι' οὗ γλυκασμὸν σωτηριώδη, τοῖς βροτοῖς ἐναπέσταξας. Θεοτοκίον.

Ὑπὲρ ἡμῶν δυσώπησον, Χριστὸν τὸν ἐκ τῶν σῶν, ἁγνῶν αἱμάτων, Πανάχραντε Κόρη, σάρκα ὑλικὴν ἠμφιεσμένον, καὶ βροτοὺς ἀναπλάσαντα.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Σὺ πάλαι ἐν Σινᾷ, σκηνὴν ἀχειροποίητον, ὑπέδειξας τῷ Θεόπτῃ, Μωϋσῇ διαγράφων, Χριστὲ τὴν Ἐκκλησίαν σου.

Σὺ Κύριε Σκηνὴν, ἐπὶ γῆς κατεσκεύασας, σὺ τάξεσιν Οὐρανίαις, τῶν βροτῶν τὰς χορείας, συνάπτεις τῇ δυνάμει σου.

Σὲ Κύριε πηγὴν, τῆς ζωῆς ἐπιστάμεθα, σὺ ἅγιε τὴν εἰρήνην, ἐλθὼν εὐηγγελίσω, Χριστὲ τῇ Ἐκκλησίᾳ σου. Θεοτοκίον.

Σὲ ὅπλον ἀρραγὲς, κατ' ἐχθρῶν προβαλλόμεθα. σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν Σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ἄλλος. Ὁ ἀναβαλλόμενος.

Ὅλος ἀνακείμενος, τῷ Παντοκράτορι, κωφοῖς ξοανοῖς Ἱερομῦστα, σέβας οὐ προσένειμας ὑπὸ μιαιφόνων, ἀνθρώπων συνωθούμενος.

Ὕψιστον ἀόρατον, Θεὸν Κορνήλιε, ἐν ἀτεκνίᾳ ἐπεκαλέσω, καὶ ναὸν ἠδάφισας, βδελυκτῶν ξοανῶν, μεγάλως θαυμαζόμενος.

Τὸ τοῦ Παντοκράτορος, φυλάττων πρόσταγμα, ἐφυλακίσθης δεσμὰ ὑπέστης, καὶ δεσμῶν ἀπέλυσας, τῆς κακοπιστίας τοὺς ἄφρονας Θεόσοφε. Θεοτοκίον.

Ὄμβρισόν μοι Πάναγνε, πταισμάτων ἄφεσιν. ἐπίσκεψαί με τὸν ἀσθενοῦντα, καὶ κλυδωνιζόμενον συμφοραῖς τοῦ βίου, καὶ πάθεσι τοῦ σώματος. Ὠδὴ, ς. Ὁ Εἱρμός.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ »
κατεπόντισέ με, καταιγὶς πολλῶν ἁ- »
μαρτημάτων. ἀλλ' ὡς Θεὸς ἐκ φθορᾶς ἀνά- »
γαγε, τὴν ζωήν μου ὡς φιλάνθρωπος. »

Νυγεὶς ἐπὶ σοὶ πλευρὰν ὁ Κτίστης, Σταυρὲ ἐθελουσίως, ἀναρτώμενος Αἷμα καὶ ὕδωρ, ἀποκενοῖ δι' ὧν ἀνεπλάσθημεν, οἱ πιστῶς σε ἀσπαζόμενοι.

Ζύλον ζωοδώρητον Κυρίου, πηγὴ ἀθανασίας, ἀπολύτρωσις παντὸς τοῦ Κόσμου, σῷζε ἡμᾶς, τοὺς ἀσπαζομένους σε, ὡς φρουρὸν ἡμῶν σωτήριον.

Ὅπλον ἡμῖν ἄρρηκτον ἐδόθης, δι' οὗ νικῶμεν πάσας, τὰς ἐνέδρας τῶν ἀντικειμένων, Θεῖε Σταυρὲ, οἱ ψυχῆς εὐθύτητι, ἱερῶς σε ἀσπαζόμενοι. Θεοτοκίον.

Ἅγιος Ναὸς τοῦ ἐν Ἁγίοις, ἐπαναπεπαυμένου, ἐχρημάτισας Θεογεννῆτορ. ὅθεν ἡμᾶς, τοὺς πιστῶς ὑμνοῦντάς σε, ἁγιάζεις Μητροπάρθενε.

Ἄλλος. Θύσω σοι, μετὰ φωνῆς.

Τοῦ κάλλους, ὁ Βασιλεὺς Χριστὸς ἐπεθύμησε, νυν τῆς σεπτῆς Ἐκκλησίας, καὶ Ἐθνῶν Μητέρα ἀπέδειξεν, ἐκ δουλείας, ὑποθετουμένων διὰ τοῦ Πνεύματος.

Φρίττουσι, τῶν δυσμενῶν δαιμόνων αἱ φάλαγγες, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, τοῦ

Σταυ-

Σταυρȣ̃ τῷ τύπῳ σημειȣμένην, ϗ σκιάζει, ἁγιαστικὴ τȣ̃ Πνεύματος ἔλλαμψις.

Ο Υ' ψάμμον, ἀλλὰ Χριστὸν θεμέλιον ἔχȣσα, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, στεφανȣ̃ται κάλλει τῷ ἀπροσίτῳ, ϗ διαδήματι, τῆς Βασιλείας ἐγκαλλωπίζεται. Θεοτοκίον.

Ὦ Θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειρανδρως συλλαβȣ̃σα, ȣ̓κ ἐστενοχώρησεν.

Ἄλλος. Μαινομένην κλύδωνι.

Κ Αθαρῶς ποιȣ́μενος, τὰς εὐχάς σȣ, Ἄγγελον Θεȣ̃, φανερῶς τεθέασαι μυȣ̃ντά σε, τὰ κρείττονα, ϗ σωτηρίας ἐχόμενα.

Λ Αμπρυνθεὶς τῷ πνεύματι, φωτοβόλος γέγονας ἀστήρ· φωτοβόλοις λάμψεσι τὰ πέρατα, φωταγωγῶν, Ἱερομῦστα Κορνήλιε.

Ε Ἰπιγνȣ̀ς τὸν Κύριον, ὁ τῇ πλάνῃ πρώην σκοτισθεὶς, ἀνανεύεις Μάκαρ τῇ ἐντεύξει σȣ, καὶ πανοικὶ, θείαν εἰσδέχεσαι κάθαρσιν. Θεοτοκίον.

Ο Τῆς δόξης Κύριος, ἐξ αἱμάτων σȣ παρθενικῶν, ἐσαρώθη μόνος ὡς ἐπίσταται, Πανύμνητε, σώζων ἡμᾶς ἀγαθότητι.

Κοντάκ. ἦχος, δ'. Ἐπεφάνης σήμερον.

Ο Υ'ρανὸς πολύφωτος, ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας, φωταγωγȣ̃σα τοὺς Πιστȣ́ς, ἐν ᾧ ἑστῶτες κραυγάζομεν· τȣ̃τον τὸν Οἶκον στερέωσον Κύριε. Ὁ Οἶκος.

Ε Ἰπιδημήσαντος ἡμῖν, τȣ̃ Λόγȣ κατὰ σάρκα, ὁ τῆς βροντῆς μὲν γόνος, φησὶ καθυπογράφων· ἐθεασάμεθα φαιδρῶς τὴν δόξαν, ἣν εἶχεν ὁ Υἱὸς παρὰ Πατρὸς, ἐν ἀληθείας χάριτι. Ὅσοι δὲ πίστει τȣ̃τον ἐλάβομεν, ἔδωκε τοῖς πᾶσιν ἐξȣσίαν, τȣ̃ γενέσθαι τέκνα Θεȣ̃· οἳ ȣ̓κ ἐξ αἱμάτων, ȣ̓ δὲ ἐκ θελήματος σαρκὸς ἀναγεννηθέντες, ἀλλ' ἐκ Πνεύματος Ἁγίȣ ἐπαυξηνθέντες, Οἶκον προσευχῆς ἐπήξαμεν, ϗ βοῶμεν· Τȣ̃τον τὸν Οἶκον στερέωσον Κύριε.

Τῷ αὐτῷ Μηνὶ ιγ'. Μνήμη τῶν Ἐγκαινίων τῆς Ἁγίας τȣ̃ Χριστȣ̃, ϗ Θεȣ̃ ἡμῶν Ἀναστάσεως.

ξ. Νόμον παλαιὸν Ἰσραὴλ πληρῶν Νέος,
Ἐγκαινίοις σοι τὸν τάφον τιμᾷ Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τȣ̃ Ἁγίȣ Κορνηλίȣ τȣ̃ Ἑκατοντάρχȣ.

ξ. Ζωῆς ἀπίστȣ Κορνήλιον ἐξάγεις,
Πιστῶν ἀπαρχὴ τῶν ἐξ Ἐθνῶν Χριστέ μȣ.

Ο Υ'τος ἐν τοῖς τῶν Ἁγίων Ἀποστόλων χρόνοις ὑπῆρχεν. ὃς βίον μετερχόμενος ἀνεπίληπτον, εἶδεν Ἄγγελον προτρεπόμενον αὐτῷ, τὸν Ἀπόστολον Πέτρον μετακαλέσασθαι, ϗ παρ' αὐτȣ̃ ἀκȣ̃σαι ἃ δεῖ. ϗ τȣ̃ Πέτρȣ παραγενομένȣ πρὸς αὐτὸν. ϗ τὸν Λόγον τȣ̃ Κυρίȣ τοῖς συνεληλυθόσι, ϗ αὐτῷ προσειπὼν, κατηχήσας τε, ϗ βαπτίσας, τὴν προστασίαν τῆς Σκέψεως Πόλεως ἐγχειρίζει. ἣν εὑρὼν κατείδωλον, χάριτι Χριστȣ̃ πάντας ἐβάπτισε, ϗ αὐτὸν τὸν Ἄρχοντα Δημήτριον πανοικὶ τῷ Χριστῷ πεπιστευκότα. ὅθεν ἀποστολικῶς τὸν βίον διανύσας, πρὸς Κύριον ἀπέρχεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρρύρων Κρονίδȣς, Λεοντίου, Σεραπίωνος, Στράτωνος, ϗ Σελεύκȣ.

Ε Ἐν τῇ Ἀλεξανδρέων Μητροπόλει τȣ̃ μακαρίȣ Κρονίδȣς Διακόνȣ ἀναλάμψαντος, ἐπίστευσαν δι' αὐτὸν Λεόντιος, ϗ Σεραπίων. ἐν δὲ Γαλατίᾳ τῇ βαρβάρῳ ϗ ἀπίστῳ, Σέλευκος ϗ Οὐαλεριανός. Μακρόβιος, ϗ Γορδιανός. Στράτων δὲ ἐν Νικομηδείᾳ τῆς Βιθηνίας. ϗ ὁ μὲν Μακρόβιος, Κρονίδης, Λεόντιος, ϗ Σεραπίων ἐν Αἰγύπτῳ μετὰ πλείστȣς βασανȣς, δεθέντες χεῖρας ϗ πόδας, ἐν τῇ θαλάσσῃ ἀπερρίφησαν, ϗ τὰ τȣ́των Λείψανα τῇ ξηρᾷ διασωθένα, δι' ὀπτασίας Ἄγγελοι πιστοῖς ἀνδράσι τῇ γῇ καλύψαι προσέταξαν. Οἱ δὲ ἐν Γαλατίᾳ Σέλευκος, ϗ Οὐαλεριανὸς, Μακρόβιος, ϗ Γορδιανὸς, διὰ τȣ̃ ἐκεῖ σε Ἄρχοντος, πυρὶ ϗ ξίφει διαφόροις τε στρέβλαις τιμωρηθέντες, τέλος θηρίοις βορὰ ἐξετέθησαν, καὶ τὰς ψυχὰς τῷ Θεῷ παρέθεντο. Ὁ δὲ τῆς Βιθηνίας Ἄρχων, δύο φυτῶν κλάδȣς ἐπὶ τὸ αὐτὸ κυρτώσας, μετὰ τὸ πολλὰ τιμωρήσασθαι τὸν Ἅγιον Στράτωνα, ἑκατέρας αὐτȣ̃ τὰς χεῖρας ἐν αὐτοῖς προσέδησε. ϗ ἀθρόον κελεύσαντος ἀπολυθῆναι τȣ̀ς κλάδȣς, εἰς τὸν ἴδιον τόπον, διεμερίσαντο τὸν Ἅγιον, ϗ ȣ̓τω τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Γορδιανȣ̃, Μακροβίȣ, Ἠλεῖ, Ζωτικȣ̃, Λȣκιανȣ̃, καὶ Οὐαλεριανȣ̃.

ξ. Ποθῶν τὸν ἐν σοὶ Χριστέ μȣ μακρὸν βίον,
Ὁ Μακρόβιος τὸν βραχὺν λείπει ξίφει.

Ο Υ'τοι ἤθλησαν ἐπὶ Λικινίȣ. ὑπῆρχον δὲ ὁ μὲν Γορδιανὸς Καππαδόκης, ὁ δὲ Μακρό-

κρόβιος ἐκ τῆς τῶν Παφλαγόνων χώρας. νέαν ἄγοντες τὴν ἡλικίαν, καὶ τὴν εἰς Χριστὸν Πίστιν τέλειοι. καὶ οὗτοι μὲν ὡς προεγράφη ἐτελειώθησαν. ὁ δὲ Ζωτικὸς, Ἠλεῖ, καὶ ὁ Λουκιανὸς, κατὰ τὴν τομαίων Πόλιν προστάξει Μαξίμου τοῦ Ἡγεμόνος, μετὰ πολλὰς τὰς βασάνους, ξίφει ἐτελειώθησαν. ὁ δὲ Οὐαλεριανὸς ἐπὶ τῷ τάφῳ τῶν Ἁγίων θρηνῶν, ἐτελειώθη.

Ὠδὴ, ζ'. Ὁ Εἱρμός.

„ Νέοι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα
„ τυραννικὸν, εἰς φλήναφον θέμενοι,
„ μέσον τοῦ πυρὸς ἀνεβόων· εὐλογητὸς εἶ ὁ Θεὸς
„ ὁ τῶν Πατέρων ἡμῶν.

Πάλαι ἐν ταῖς εὐλογίαις, τῶν Παίδων ὁ Ἰακὼβ, σὲ προδιεχάραττε τίμιε Σταυρέ. ἀλλ' ἡμεῖς σε νῦν προσκυνοῦντες πάντοτε, φωτισμὸν ἀρυόμεθα.

Ἑάβδῳ σε προεικονίζει, Θεῖος πάλαι Μωϋσῆς, Σταυρὲ τέμνων θάλασσαν. ἡμεῖς δὲ σὲ νῦν προσκυνοῦντες, παθῶν ἀβρόχως πέλαγος, χαλεπὸν περαιούμεθα.

Στόματί σε καὶ καρδίᾳ, πανσεβάσμιε Σταυρὲ, νῦν περιπτυσσόμενοι, τὸν ἁγιασμὸν, τὴν ὑγείαν, τὴν σωτηρίαν πάντοτε, ἀπαντλοῦμεν ψυχῆς τε καὶ σώματος.

Θεοτοκίον.

Παρθένε εὐλογημένη, πρέσβευε ὑπὲρ ἡμῶν, καθικετεύοντων σε. εἰς σὲ γὰρ ἐλπίζομεν πάντες, καὶ σοὶ βοῶμεν· Δέσποινα, μὴ παρίδῃς τὴν Ποίμνην σου.

Ἄλλος. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Δροσοβόλος μὲν ἡ καμινιαία φλὸξ ἐδείχθη ποτέ. νῦν δὲ οὐξ ἐλαίου χρίσμα πνευματικὸν, ἁγιάζει τοὺς κραυγάζοντας· εὐλογημένος εἶ ἐν τῷ ναῷ, τῆς δόξης σου Κύριε.

Ὡς ἐν καμίνῳ τῇ θεοδόχῳ ταύτῃ νέᾳ σκηνῇ, πάντες οἱ οὐξ Ἰσραὴλ τοῦ πνευματικοῦ, δροσιζόμενοι βοήσωμεν εὐλογημένος εἶ ἐν τῷ ναῷ, τῆς δόξης σου Κύριε.

Οἱ τετρωμένοι τῷ γλυκυτάτῳ Θείῳ ἔρωτι, δεῦτε ἐν παστάδι ταύτῃ Βασιλικῇ, συναφθῶμεν τῷ Νυμφίῳ Χριστῷ. εὐλογημένος εἶ ἐν τῷ ναῷ, τῆς δόξης σου Κύριε. Θτ.

Μὸ τοῦ Ὑψίστου ἡγιασμένον Θεῖον Σκηνώμα, χαῖρε. διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις Πανάμωμε Δέσποινα.

Ἄλλος. Ὁ ὑπερυψούμενος.

Σὺ Ἐθνῶν γεγένησαι, ἀπαρχὴ Κορνήλιε. πρῶτος γὰρ τὸ Βάπτισμα, ἐδέξω τὸ Ἅγιον, καὶ Πνεύματος τὴν χάριν, ὡς τὸ πρὶν οἱ Θεηγόροι.

Μέγιστα τεράστια, τελῶν Θείᾳ χάριτι, πρὸς Πίστιν ἐζώγρησας, τοὺς πάλαι κακόφρονας, διδάξας ἀναμέλπειν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἐν τῇ γῇ κρυπτόμενος, καὶ βάτῳ σκεπόμενος, θείαις εἰσηγήσεσι, Σοφὲ πεφανέρωσαι, θαυμάτων βρύων χάριν, καὶ νοσήματα διώκων.

Ἄυρα μελῳδήσασα, δόγματα σωτήρια, καὶ πάντων Κορνήλιε, ψυχὰς ἐνηδύνουσα, ἐδείχθης ἀναμέλπων· ὁ Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

Πάντες τρισυπόστατον, μονάδα δοξάσωμεν, Πατέρα προάναρχον. Υἱὸν ὁμοούσιον, καὶ Πνεῦμα μελῳδοῦντες· ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὤφθης τὸ ἀνθρώπινον, φύραμα θεώσασα, τῇ θείᾳ Γεννήσει σου, Παρθένε Πανάμωμε. διό σε κατὰ χρέος, οἱ πιστοὶ δοξολογοῦμεν.

Ὠδὴ, η'. Ὁ Εἱρμός.

Ἄυτρωτὰ τοῦ παντὸς Παντοδύνμε, τοὺς „
ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγ- „
καταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν· „
πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον. „

Μὸ σωτήριον ὅπλον, καὶ ἄῤῥηκτον, τῶν πιστῶν τὴν ἑτοίμην βοήθειαν, τὴν κραταιὰν ἀντίληψιν, τὸν Σταυρὸν τοῦ Κυρίου, νῦν προσκυνοῦμεν, κατενώπιον πάντων προκείμενος.

Ὑψηλῶς ἐπὶ ξύλου ἀνήρτησεν, ἐγκαρσίως τὸν ὄφιν ὡς γέγραπται, ὁ Μωϋσῆς προγράφων σε, πανσεβάσμιον Ξύλον. δι' οὗ τῆς πλάνης, νοητῶν ἐκλυτρούμεθα ὄφεων.

Φωτισμὸς τῶν ψυχῶν ἡμῶν πέφυκας, φωτοδότα Σταυρὲ πανσεβάσμιε. σὲ γὰρ περιπτυσσόμενοι, τὰς ἀρχάς τε τοῦ σκότους, καὶ οὐξουσίας, ἐκτρεπόμεθα Θείᾳ δυνάμει σου.

Θεοτοκίον.

Μὴν Ἁγνὴν καὶ Παρθένον τιμήσωμεν, τὴν τὸν ἄναρχον Λόγον καὶ ἄκτιστον, ὑπερφυῶς κυήσασαν, εἰς ἡμῶν σωτηρίαν, ἀναβοῶντες· εὐλογοῦμεν Παρθένε τὸν Τόκον σου.

Ἄλλος. Χεῖρας ἐκπετάσας Δανιήλ.

Σήμερον χιτῶνα νοητὸν, τὸν ἄνωθεν ὑφαντὸν ἐκ Θείας χάριτος, ἡ Ἐκκλησία σου

Κύ-

Κύριε, ὥσπερ νύμφη ἐστολίσατο, καὶ τοὺς οἰκείους συγκαλεῖ πρὸς εὐφροσύνην λαοὺς, ἐκβοῶν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

ΕΗ'μερον ὁ δεύτερος Ἀδὰμ, Χριστὸς ἀνέδειξε, Παράδεισον νοητὸν, τὴν νέαν ταύτην σκηνὴν, φέρουσαν, κατὰ ξύλου τοῦ τῆς γνώσεως, τὸ ζωηφόρον τοῦ Σταυροῦ, ὅπλον τοῖς ψάλλουσιν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Τριαδικόν.

ΠΑτρὸς ἐξ ἀνάρχου σε Υἱόν, καὶ Πνεῦμα Ἅγιον, μίαν Θεότητα, τελείαν ἄναρχον ἄτμητον, ὁμοούσιον ἀσύγχυτον, ἐν ὑποστάσεσι τρισὶ, σέβοντες ψάλλομεν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

ΕΥ' μόνη ἐν πάσαις γενεαῖς, Παρθένε Ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ. σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα Πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ, τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ἄλλος. Σοὶ τῷ παντουργῷ.

ΜΟ'νον ἐκ ψυχῆς, τὸν ἐπὶ γῆς ὀφθέντα, Θεὸν ἐξεζήτησας, νοὸς εὐθύτητι. ὅθεν ἐγένου, ἀπαρχὴ Θεοφόρε, τῶν ἐθνῶν τιμία, καὶ Πνεύματος δοχεῖον.

ΑΝθρακι τῶν σῶν, Μάκαρ ἐμπύρων λόγων, τὴν ὕλην κατέφλεξας, τῆς ματαιότητος. ὅθεν πρὸς φέγγος, ἀνέσπερον μετέβης, πάντας καταυγάζων, τοὺς πόθῳ σε ὑμνοῦντας.

ΚΛῆρος καὶ μερὶς, καὶ βοηθὸς καὶ ῥύστης, ἰσχύς τε ὕμνησις, καὶ φῶς σοι γέγονε, Λόγος ὁ πάντα καλῶν ἐκ τοῦ μὴ ὄντος, καὶ χειραγωγία, Κορνήλιε Θεόφρον. Τριαδικόν.

ΑΓιε Πατὴρ, Ἅγιε Λόγε Πνεῦμα, Παναγία ἄκτιστε, Τριὰς ἀμέριστε, σῶζε τοὺς πόθῳ, ὑμνοῦντάς σου τὸ κράτος, καὶ τὴν Βασιλείαν, καὶ τὴν μεγαλωσύνην. Θτ.

ΡΆνον ἐφ' ἡμᾶς, τὰ σὰ ἐλέη Κόρη, συνήθως καὶ αἴτησαι, Ἁγνὴ συγχώρησιν, πάντων πταισμάτων, ἐν γνώσει καὶ ἀγνοίᾳ, ἐξ ἀπροσεξίας, ἡμῖν ἐπισυμβάντων.

Ὠδὴ, θ. Ὁ Εἱρμός.

Ὁ Τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος ὡς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συναναστράφη. σὲ Θεοτόκε, διὸ πάντες μεγαλύνομεν.

ΧΡιστὸς ἐπὶ σοὶ ἀνηρτημένος τὸν Κόσμον ἀνύψωσε πεσόντα, εἰς βυθὸν ἀπωλείας, ἀληθῶς Σταυρὲ Κυρίου. ὅθεν, σὲ πόθῳ νῦν προσκυνοῦμεν, καὶ τιμῶμεν καὶ δοξάζομεν.

ΨΥχὰς ἁγνισθῶμεν καὶ καρδίας, καλῶν ἐπιμόνοις ἐργασίαις, καὶ προκείμενον μέσον τὸ σωτήριον, ὁρῶντες τοῦ Σταυροῦ Ξύλον, πίστει καὶ πόθῳ, θεοφρόνως προσκυνήσωμεν.

ΩΣ Ἥλιος μέγας ταῖς ἀκτῖσι, ταῖς σαῖς καταυγάζεις τοὺς ἐν σκότει, καὶ τοὺς δαίμονας φλέγεις, ὡραιότατε Σταυρέ. ὅθεν φώτισον πάντας, τοὺς ἐν πίστει προσκυνοῦντάς σε. Θεοτοκίον.

ΦΩτί με καταύγασον τῷ θείῳ, φωτὸς οἰκητήριον Παρθένε, τῶν παθῶν μου τὸ σκότος, καὶ τῶν ἡδονῶν τὴν βαθυτάτην ὄντως νύκτα, Θεοκυῆτορ Παναγία ἀπελαύνουσα.

Ἄλλος. Λίθος ἀχειρότμητος ὄρους.

ΛΕῦτε καθαρᾷ τῇ καρδίᾳ, καὶ νηφαλαίοις ὄμμασι νοὸς, τῆς τοῦ Βασιλέως Θυγατρὸς, τῆς Ἐκκλησίας τὴν ὡραιότητα, ὑπὲρ χρυσίον λάμπουσαν, κατανοοῦντες μεγαλύνωμεν.

ΧΑῖρε καὶ εὐφραίνου ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου, κατοπτριζομένη τηλαυγῶς, τοῦ σοῦ Νυμφίου τὴν ὡραιότητα, σὺν τῷ λαῷ σου κράζουσα· σὲ Ζωοδότα μεγαλύνομεν.

ΨΗ'ν ἐξ ὕψους ἄμυναν Σῶτερ, τῇ Ἐκκλησίᾳ σου παράχου. ἄλλον γὰρ οὐκ οἶδεν, εἰ μὴ σὲ, τὸν ὑπὲρ ταύτης τὴν σὴν, πάλαι ψυχὴν προθέμενον, ἐν ἐπιγνώσει μεγαλύνουσαν. Θεοτοκίον.

ΧΑῖρε καχαριτωμένη ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου. ὅτι διὰ σοῦ τῆς κατάρας, τῆς Εὔας πάντες ἁγνὴ ἐῤῥύσθημεν, καὶ τὴν ζωὴν εὑράμεθα, ἐν τῇ κυήσει σου Ἀνύμφευτε.

Ἄλλος. Ἡ σαΐα χόρευε.

ΙΕραὶ πανήγυριν, Ἐκκλησία πᾶσα συγκροτεῖ, τῇ μνήμῃ σου τῇ σεπτῇ, κῆρυξ τοῦ Χριστοῦ. σὺ γὰρ ἰσοστάσιος, τῶν Ἁγίων ὤφθης Μαθητῶν, Πνεῦμα τὸ Ἅγιον, ὡς ἐκεῖνοι κληρωσάμενος.

ΩΡαιώθης δόγμασιν, εὐσεβείας ὡς Ἱερουργός. ἐξωμοιώθης Θεοῦ, Θείοις λειτουργοῖς. πηγάζεις δὲ πάντοτε, ἰαμάτων μάκαρ ποταμούς. παύων νοσήματα, τῶν ἀνθρώπων Ἱερώτατε.

ΕΤολισθεὶς ἱμάτιον, σωτηρίου ὅπερ ὁ Χριστὸς, ἐξύφανε σαρκωθεὶς, νῦν περιχαρῶς, τὰ ἄνω βασίλεια, περιπολεῖς, βλέπων καθαρῶς, κάλλος ἀμήχανον, τοῦ Νυμφίου Ἀξιάγαστε.

Ἡ Τι-

Τιμία θήκη σε, ὥσπερ κρίνη βρύει τοῖς πιστοῖς, ἰάματα δαψιλῶς, καὶ ἀποσοβεῖ, Κορνήλιε πνεύματα, τὰ πονηρὰ, καὶ φυγαγωγεῖ, παντῶν τὰ ὄμματα, τῶν ἐν πίστει δοξαζόντων σε. Θεοτοκίον.

Ὦσπερμόν μοι αἴτησαι, ἡ τεκοῦσα φῶς τὸ ἐκ φωτὸς, ἐκλάμψαν τὸν σκοτασμὸν, πόρρω ἀπ' ἐμοῦ, ἐναποδιώκουσα, καὶ πειρασμῶν καὶ τῶν ἡδονῶν, Ἄλλαντε Δέσποινα, προσασία ἀκαταίσχυντε.

Ἕξαπος. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἐν Γολγοθᾷ ὁ Κύριος, ὑψωθεὶς ἑκουσίως, ἐπὶ Σταυροῦ ἐργάσατο, τὴν ἡμῶν σωτηρίαν, καινίσας πᾶσαν τὴν Κτίσιν. τάφῳ δὲ ζωοδόχῳ, ἐτέθη καὶ τριήμερος, ὡς Θεὸς ἔξανέστη, ἐκ τῆς λαμπρᾶς, καὶ σεπτῆς Ἐγέρσεως ἐκπελῶμεν, σὺν Ἀσωμάτοις τάξεσι, τὰ Ἐγκαίνια πάντες. Ἕτερον. Ὅμοιον.

Ἐσον τῆς γῆς ὁ Κύριος, καὶ Θεὸς κατ' σάρκα, διὰ Σταυροῦ ἐργάσατο, σαρκωθεὶς ἑκουσίως, εἰς ἀνακαίνισιν Κόσμου· τάφῳ δὲ κατετέθη, ἔξαναστὰς τριήμερος, καὶ ζωῆς αἰωνίου, τὴν ἑαυτοῦ, προδεικνύων Ἔγερσιν. ἧς ἐν πίστει, τελοῦμεν τὰ Ἐγκαίνια· τοῦ Θεοῦ σὺν Ἀγγέλοις.

Θεοτοκίον. Ὅμοιον.

Ἐτ' ἀφροσύνης κράζομεν, σοὶ τὸ χαῖρε Παρθένε. χαῖρε ἀρᾶς ἡ λύτρωσις, τοῦ Ἀδὰμ καὶ τῆς Εὔας. Χαῖρε δι' ἧς ἀνυψώθη, τῷ βροτῷ ἡ οὐσία, πρὸς δόξαν ὑπερκόσμιον, τοῦ Υἱοῦ καὶ Θεοῦ σου. χαῖρε δι' ἧς, ὑπ' Ἀγγέλων παύστοτε προσκυνεῖται, ἐν Οὐρανοῖς πανύμνητε, Θεοτόκε Μαρία.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἦχος πλ. δ. καὶ ψάλλομεν ἑξ. προσόμοια, ἦχος δ'.

Ἐδωκας σημείωσιν.

Ἡμέρον ὁ εὐθεος καὶ ἱερὸς καὶ σεβάσμιος, τῆς Χριστοῦ Ἀναστάσεως, φαιδρῶς ἐγκαινίζεται, φωτοφόρος Οἶκος, καὶ μένει ἐν Κόσμῳ, Τάφος ὁ Θεῖος τῇ Ζωῇ, καὶ ἐμπαρέχει πηγὴν ἀθανάτου. βλυσάνει ῥεῖθρα χάριτος, θαυμάτων βρύει τὰ νάματα, καὶ δωρᾶται ἰάματα, τοῖς αὐτὸν πίστει μέλπουσιν.

Στραφὲν ἡ αὐγὴ θεν, φωτοφανὴς αἴγλη λάμπουσα, καὶ τὰ πάντα φωτίζουσα. πιστῶς δὲ τιμήσωμεν, τῇ Χριστοῦ τῷ Κτίστῃ, Ἀνάστασιν πάντες, καὶ Ἐγκαινίων ἱερῶν, τὴν ζωηφόρον θέαν παυηγυρίζειν, ἐν ὕμνοις ἑορτάσωμεν, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν, ὅπως ἵλεων εὕρωμεν, τὸν Σωτῆρα καὶ Κύριον.

Ἐσον γῆς ὑψούμενον, προκαπδᾶνέφιέμενοι, τῷ Σταυρῷ σκήπτρον Ἅγιον, ψυχὰς προκαθάρωμεν, ἀσραφθῶμεν φρένας, φωτὶ λαμπρυνθῶμεν. καὶ ἐν δυνάμει Θείᾳ, καταυγασθέντες Χριστὸν ὑμνήσωμεν, τῷ Ξύλῳ τῷ σεπτῷ αὐτοῦ, ἁγιασμὸν παρεχόμενον, τοῖς ἐν πίστει κραυγάζουσι, καὶ θερμῶς αὐτὸν μέλπουσιν.

Ἕτερα Ἰδιόμ. ἦχος α'. Ἰωάννου Μοναχοῦ.

Γηγανίζε ἐγκαινίζε ἡ Νέα Ἱερουσαλήμ. ἧκει γάρ σε τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. τοῦτον τ' Οἶκον ὁ Πατὴρ ᾠκοδόμησε. τοῦτον τὸν Οἶκον ὁ Υἱὸς ἐσεμνύνατο. τοῦτον τὸν Οἶκον τὸ Πνεῦμα τὸ Ἅγιον ἀνεκαίνισε, τὸ φωτίζον καὶ σηκάζον καὶ ἁγιάζον πὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός. Ἀναστασίου.

Ἀλλα μὲν ἐγκαινίζων τὸν Ναὸν ὁ Σολομὼν, ἀλόγων ζώων θυσίας, καὶ ὁλοκαυτώματα προσέφερε Κύριε. ὅτε δὲ ηὐδόκησας Σωτὴρ τοὺς τύπους μὲν ἀργῆσαι, γνωσθῆναι δὲ τὴν ἀλήθειαν, ἀναιμάκτοις θυσίαις, τὰ σπέρματα τῷ Κόσμῳ προσφέρει τῇ δόξῃ σου. πάντων καὶ δεσπόζων, τὰ πάντα ἁγιάζεις τῷ Ἁγίῳ Πνεύματι.

Ἦχος δ'. Ἰωάννου Μοναχοῦ.

Γκαινίζεται σήμερον ἡ ἐξ Ἐθνῶν Ἐκκλησία, τῷ τιμίῳ καὶ ζωηρρύτῳ Αἵματι, τῆς ἀχράντου καὶ ἀκηράτου Πλευρᾶς, τοῦ σαρκωθέντος ἐκ τῆς Ἁγίας Παρθένου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. διὸ ἀθροισθῶμεν τῇ Πιστῶν αἱ χορεῖαι, δοξάσωμεν τὸν Πατέρα καὶ Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν μίαν Θεότητα, τὴν κρατοῦσαν τὰ σύμπαντα. Δόξα, ἦχος γ'.

Πρὸς ἑαυτὸν ἐπανάγαγε ἄνθρωπε, γενοῦ καινὸς ἀντὶ παλαιοῦ, καὶ ψυχῆς ἑόρταζε τὰ ἐγκαίνια. ἕως καιρὸς, ὁ βίος ἐγκαινιζέσθω σοι, πάσης πολιτείας ὁδός. τὰ ἀρχαῖα παρῆλθον, ἰδοὺ γέγονε τὰ πάντα καινά. τοῦτο τῇ Ἑορτῇ καρποφόρησον, τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούμενος. ὅπως ἐγκαινίζεται ἄνθρωπος· ὅπω τιμᾶται ἡ τῶν Ἐγκαινίων ἡμέρα.

Καὶ νῦν. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Ρισε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐκούσιον Σταύρωσιν, εἰς κοινὴν ἐξανάστασιν, τοῦ γένους τῶν ἀνθρώπων καταδεξάμενος· καὶ τῷ καλάμῳ τοῦ Σταυροῦ, βαφαῖς ἐρυθραῖς τοὺς σταυτοῦ δακτύ-

τύλους αἱματώσας, τοῖς ἀφεσίμοις ἡμῖν βασιλικῶς ὑπογράψαι φιλανθρωπεύσαμενος. μὴ παρίδῃς ἡμᾶς κινδυνεύοντας, καὶ πάλιν τὴν ἀπὸ σοῦ διάστασιν. ἀλλ' οἰκτείρησον μόνε μακρόθυμε, τὸν ἐν περιστάσει λαόν σου, καὶ ἀνάστηθι πολέμησον, τοὺς πολεμοῦντας ἡμᾶς ὡς παντοδυνάμος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων. Ὠδὴ γ'. καὶ ς'.

Προκείμενον, ἦχος δ'. Τῷ οἴκῳ σου πρέπει. ζι. Ὁ Κύριος ἐβασίλευσεν. Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους. Ἀδελφοὶ, οἱ Ἅγιοι κλήσεως ἐπουρανίου. Ἀλληλούϊα, ἦχος α'. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς. ζι. Δεδοξασμένα ἐλαλήθη. Εὐαγγέλιον κτ. Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας. Ζήτει Ἰουνίῳ κθ'. Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον. Καὶ εἰ βούλει. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.

ΤΥΠΙΚΟΝ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μετὰ τὴν Ἀπόλυσιν τοῦ μικροῦ Ἑσπερινοῦ, ἀπέρχεται ὁ Ἱερεὺς, καὶ ὁ Ἐκκλησιάρχης σὺν τῷ κανδηλάπτῃ ἐν τῷ σκευοφυλακίῳ μετὰ λαμπάδων, καὶ θυμιάματος, καὶ λαμβάνουσι τὸ Τίμιον Ξύλον τοῦ Σταυροῦ, ψάλλοντες καὶ Τροπάριον, Σῷσον Κύριε τὸν λαόν σου. Καὶ φέρουσιν εἰς τὴν Ἐκκλησίαν. Καὶ ἐπιτιθέασιν αὐτὸ ἐπάνω τῆς ἁγίας Τραπέζης, καὶ ἅπτει κηρὸς ἔμπροσθεν δι' ὅλης τῆς νυκτός.

Μηνὶ τῷ αὐτῷ ΙΔ'.

Ἡ Παγκόσμιος Ὕψωσις τοῦ Τιμίου, καὶ Ζωοποιοῦ Σταυροῦ.

Καὶ ἡ Κοίμησις τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Διὰ δὲ τὴν Ἑορτὴν τῆς Ὑψώσεως, μετετέθη ἡ τούτου Μνήμη ἐν τῇ ιγ'. τοῦ Νοεμβρίου Μηνός.

Ἰστέον, ὅτι εἰ τύχῃ ἡ παροῦσα Ἑορτὴ ἐν Κυριακῇ, οὐδὲν τῶν Ἀναστασίμων ψάλλεται, οὔτε Εὐαγγέλιον Ἑωθινὸν, ἀλλὰ πάντα τοῦ Σταυροῦ.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ζι. δ'. καὶ ψάλλομεν ζι. προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὑψουμένου σου Δέσποτα, ἐν Σταυρῷ συνανύψωσας, τοῦ Ἀδὰμ τὴν ἔκπτωτον, φύσιν ἅπασαν. διὸ ὑψοῦντες τὸν ἄχραντον, Σταυρόν σου φιλανθρωπε, τὴν ἐξ ὕψους σου ἰσχὺν, ἐξαιτοῦμεν κραυγάζοντες· σῷσον ὕψιστε, ὡς Θεὸς ἐλεήμων τοὺς τιμῶντας, τὴν σεπτήν τε καὶ φωσφόρον, τοῦ σοῦ Σταυροῦ θείαν Ὕψωσιν. Ὅμοιον.

Ψαλμικῶς νυνὶ βλέπομεν, ὑποπόδιον Δέσποτα, ἔνθα πόδες ἔστησαν, σοῦ οἱ ἄχραντοι σήμερον πόθῳ ὑψούμενον, Σταυρόν σου τὸν τίμιον, καὶ ὑψοῦντες εὐσεβῶς, δυσωποῦμέν σε κράζοντες· πάντας ὕψιστε, τῷ Σταυρῷ σου τῷ θείῳ ἁγιάσας, σῆς ἀφάτου εὐσπλαγχνίας, μετόχους δεῖξον καὶ χάριτος. Ὅμοιον.

Ὡς ἀήττητον τρόπαιον, θυρεὸν ἀπροσμάχητον, καὶ ὡς σκῆπτρον ἔνθεον, προσκυνοῦμέν σου, Σταυρὸν Χριστὲ τὸν πανάγιον, δι' οὗ Κόσμος σέσωσται, καὶ χορεύει ὁ Ἀδὰμ, γηγενῶν τὰ συστήματα. τοῦτον ᾄσμασιν, εὐφημοῦντες τιμῶμεν, καὶ τὴν τούτου, θείαν Ὕψωσιν τελοῦντες, τὸν ἱλασμὸν ἐξαιτούμεθα.

Δευτεροῦντες τὸ α'. Δόξα, καὶ νυν. ἦχος β'.

Σύμου σκέπη κραταιὰ, ὑπάρχεις ὁ τριμερὴς Σταυρὸς τοῦ Χριστοῦ. ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει καὶ πόθῳ, προσκυνῶ, καὶ δοξάζω σε.

Ἀποζι. ζι. ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Σήμερον τοῦ Χριστοῦ, ὁ Σταυρὸς ἀνυψοῦται, τὸ ζωηφόρον Ξύλον, ἐν ᾧ σαρκὶ ἐπάγη, πάντας ἀνακαλούμενος.

ζι. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ξύλον τὸ τοῦ Σταυροῦ, ὑψούμενον ὁρῶντες, μεγαλωσύνην δῶμεν, Θεῷ τῷ σταυρωθέντι, σαρκὶ δι' ἀγαθότητα.

ζι. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Χαίροις τὸ τῶν πιστῶν, φυλακτήριον θεῖον, ἀπροσμάχητον τεῖχος, Σταυρὸς ὁ τοῦ Κυρίου, δι' οὗ ἀπὸ γῆς ᾔρθημεν.

Δόξα, καὶ νυν. Ὅμοιον.

Λεῦτε χαρμονικῶς, ἀσπασώμεθα πάντες, τὸ σωτήριον Ξύλον, ἐν ᾧ ἐξετανύθη, Χριστὸς ἡ ἀπολύτρωσις.

Τροπάριον, ἦχος α'.

Σῷσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κτ. βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ.

Μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν, εἰ μὲν ἐςι Κυριακὴ, ςιχολογοῦμεν τὸ, Μακάριος ἀνὴρ, τὸ ϗ. ὅλον. εἰδ' οὔ, μετὰ τὸν Προοιμιακὸν, εὐθὺς τὸ, Κύριε ἐκέκραξα, ἱςῶμεν δὲ ϗ. ἡ. καὶ ψάλλομεν ϗ. ἦχος π. β'.

Ὅλην ἀποθέμενοι.

Σταυρὸς ἀνυψούμενος, τοῦ ἐν αὐτῷ ὑψωθέντος, τὸ Πάθος τὸ ἄχραντον, ἀνυμνεῖν προτρέπεται Κτίσιν ἅπασαν. ἐν αὐτῷ κτείνας γὰρ, τὸν ἡμᾶς κτείναντα, νεκρωθέντας ἀνεζώωσε, καὶ κατεκάλλυνε, καὶ εἰς Οὐρανοὺς πολιτεύεσθαι, ἠξίωσεν ὡς εὔσπλαγχνος, δι' ὑπερβολὴν ἀγαθότητος. ὅθεν γεγηθότες, ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ. καὶ τὴν αὐτοῦ μεγαλυνώμεν, ἄκραν συγκατάβασιν.

Μωσῆς προετύπωσε, χεῖρας ἐκτείνας εἰς ὕψος, καὶ κατατροπούμενος, Ἀμαλὴκ τὸν τύραννον, Σταυρὲ τίμιε. τῶν Πιςῶν καύχημα, Ἀθλητῶν ςήριγμα, Ἀποςόλων ἐγκαλλώπισμα, Δικαίων πρόμαχε, πάντων τῶν Ὁσίων διάσωσμα. διόσε ἀνυψούμενον, βλέπουσα ἡ Κτίσις εὐφραίνεται, καὶ πανηγυρίζει, δοξάζουσα Χριςὸν τὸν διὰ σοῦ, τὰ διεςῶτα συνάψαντα, ἄκρᾳ ἀγαθότητι.

Σταυρὲ πανσεβάσμιε, ὃν περιέπουσι τάξεις, Ἀγγέλων γηθόμεναι. σήμερον ὑψούμενος Θείῳ νεύματι, ἀνυψοῖς ἅπαντας, τοὺς κλοπῇ βρώσεως, ἀπωσθέντας καὶ εἰς θάνατον, κατολισθήσαντας. ὅθεν σε καρδίᾳ καὶ χείλεσι, πιςῶς περιπτυοσόμενοι, τὸν ἁγιασμὸν ἀρυόμεθα. ὑψοῦτε βοῶντες, Χριςὸν τὸν ὑπεράγαθον Θεόν. καὶ τὸ αὐτοῦ προσκυνήσωμεν, θεῖον ὑποπόδιον.

Δόξα, καὶ νυν. ἦχος β'.

Λεῦτε ἅπαντα τὰ Ἔθνη, τὸ εὐλογημένον Ξύλον προσκυνήσωμεν, δι' οὗ γέγονεν ἡ αἰώνιος Δικαιοσύνη. τὸν γὰρ Προπάτορα Ἀδὰμ ὁ ἀπατήσας ἐν ξύλῳ, τῷ Σταυρῷ δελεάζεται. καὶ πίπτει κατενεχθεὶς πτῶμα οὐξαίσιον, ὁ τυραννίδι κρατήσας τοῦ Βασιλείου πλάσματος. Αἵματι Θεοῦ, ὁ ἰὸς τοῦ ὄφεως ἀποπλύνεται. καὶ κατάρα λέλυται, καταδίκης δικαίας, ἀδίκῳ δίκῃ τοῦ δικαίου κατακριθέντος. Ξύλῳ γὰρ ἔδει τὸ ξύλον ἰάσασθαι, καὶ Πάθει τοῦ ἀπαθοῦς, τὰ ἐν ξύλῳ λῦσαι πάθη τοῦ κατακρίτου. ἀλλὰ δόξα Χριςὲ Βασιλεῦ τῇ περὶ ἡμᾶς σου φρικτῇ οἰκονομίᾳ. δι' ἧς ἔσωσας πάντας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Ἐξῆρε Μωϋσῆς τοὺς Υἱοὺς Ἰσραὴλ ἀπὸ θαλάσσης ἐρυθρᾶς, καὶ ἦγεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ. καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ, καὶ οὐχ εὕρισκον ὕδωρ ὥςε πιεῖν. Ἦλθον δὲ εἰς Μερρὰν, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς. πικρὸν γὰρ ἦν. διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Πικρία. Καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωϋσῆ, λέγοντες· τί πιώμεθα; Ἐβόησε δὲ Μωϋσῆς πρὸς Κύριον, καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ. ἐκεῖ ἔθετο αὐτῷ δικαιώματα καὶ κρίσεις, καὶ ἐκεῖ αὐτὸν ἐπείραζε, καὶ εἶπεν· Ἐὰν ἀκοῇ ἀκούσῃ Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ ἀρεςὰ ἐνώπιον αὐτοῦ ποιήσῃς, καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτοῦ, καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ. ἐγὼ γάρ εἰμι Κύριος ὁ ἰώμενός σε. Καὶ ἦλθον εἰς Ἐλεὶμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα ςέλεχοι φοινίκων. Παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα. ἀπῆραν δὲ ἐξ Ἐλεὶμ, καὶ ἦλθε πᾶσα ἡ Συναγωγὴ Υἱῶν Ἰσραὴλ, εἰς τὴν ἔρημον Σὴμ, ὃ ἐςὶν ἀναμέσον Ἐλεὶμ, καὶ ἀναμέσον Σινᾶ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει. μαςιγεῖ δὲ πάντα Υἱὸν, ὃν παραδέχεται. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐςι λίθων πολυτελῶν. οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν. εὔγνωςός ἐςι πᾶσι τοῖς ἀγαπῶσιν αὐτήν. πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐςί. Μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς. ἐν δὲ τῇ ἀριςερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ ςόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον, ἐπὶ γλώσσης φορεῖ. Αἱ ὁδοὶ αὐτῆς, ὁδοὶ καλαὶ, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς μετ' εἰρήνης.

Ξύλον

Ξύλον ζωῆς ἐςὶ πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν, ὡς ἐπὶ Κύριον ἀσφαλής.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. ξ. 11. ΤΑ'δε λέγει Κύριος· ἀνοιχθήσονται αἱ πύλαι σου Ἱερουσαλὴμ διὰ παντὸς, ἡμέρας, καὶ νυκτὸς, καὶ οὐ κλεισθήσονται τοῦ εἰσαγαγεῖν πρὸς σὲ δύναμιν Ἐθνῶν, καὶ Βασιλεῖς αὐτῶν ἀγομένους. Τὰ γὰρ Ἔθνη καὶ οἱ Βασιλεῖς, οἵ τινές σοι οὐ δουλεύσουσιν, ἀπολοῦνται, καὶ τὰ Ἔθνη ἐρημίᾳ ἐρημωθήσονται. Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει, ἐν κυπαρίσσῳ, καὶ πεύκῃ, καὶ κέδρῳ, ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου, καὶ τὸν τόπον τῶν ποδῶν μου δοξάσω. Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες οἱ Υἱοὶ τῶν ταπεινωσάντων σε, καὶ παροξυνάντων σε, καὶ προσκυνήσουσιν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν σου πάντες οἱ παροξυνάντες σε. καὶ κληθήσῃ Πόλις Κυρίου Σιὼν τοῦ Ἁγίου Ἰσραὴλ, διὰ τὸ γεγενῆσθαί σε καταλελειμμένην, καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν σοι. καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεαῖς γενεῶν. Καὶ θηλάσεις γάλα Ἐθνῶν, καὶ πλοῦτον Βασιλέων φάγεσαι. καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος ὁ σώζων σε, καὶ ὁ ἐξαιρούμενός σε ὁ Θεὸς Ἰσραήλ.

Εἰς τὴν Λιτὴν ᾄ. Ἰδιόμελ. ἦχος α'.
Ἀνδρέου Ἱεροσολυμίτου.

ΣΗ'μερον ὡς ἀληθῶς, ἡ ἁγιόφθογγος ῥῆσις τοῦ Δαβὶδ πέρας εἴληφεν. ἰδοὺ γὰρ ἐμφανῶς τὸ τῶν ἀχράντων ποδῶν σου προσκυνοῦμεν ὑποπόδιον. καὶ ἐν τῇ τῶν πτερύγων σου ἐλπίζοντες σκιᾷ, Πανοικτίρμον βοῶμέν σοι· σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου. τοῦ ὀρθοδόξου λαοῦ σου τὸ κέρας ἀνυψῶν, τῇ τοῦ τιμίου Σταυροῦ σου Ἀνυψώσει, Χριστὲ πολυέλεε.

Ὁ αὐτός.

ΤΟ' φυτευθὲν ἐν κρανίῳ τόπῳ Ξύλον τῆς ὄντως ζωῆς, ἐν ᾧ εἰργάσατο σωτηρίαν ὁ τῶν αἰώνων Βασιλεὺς, ἐν μέσῳ τῆς γῆς ὑψούμενον σήμερον, ἁγιάζει τοῦ Κόσμου τὰ πέρατα, καὶ ἐγκαινίζεται τῆς Ἀναστάσεως ὁ Οἶκος. ἀγάλλονται Ἄγγελοι ἐν Οὐρανῷ, καὶ εὐφραίνονται ἄνθρωποι ἐπὶ τῆς γῆς Δαβιτικῶς βοῶντες, καὶ λέγοντες· ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι Ἅγιος ἐςίν. ὁ παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

ΠΡοτυπῶν τὸν Σταυρόν σου Χριστὲ ὁ Πατριάρχης Ἰακὼβ, τοῖς ἐγγόνοις τὴν εὐλογίαν χαριζόμενος, ἐπὶ ταῖς κάραις ἐναλλὰξ τὰς χεῖρας πεποίηκε. τοῦτον δὲ Σωτὴρ ἡμεῖς σήμερον ἀνυψοῦντες κραυγάζομεν· δώρησαι τῷ φιλοχρίστῳ Βασιλεῖ τὸ νῖκος, ὡς Κωνσταντίνῳ τὸ τρόπαιον.

Ἦχος β'. Θεοφάνους.

ΘΕῖος θησαυρὸς ἐν γῇ κρυπτόμενος, τοῦ Ζωοδότου ὁ Σταυρὸς, ἐν Οὐρανοῖς ἐδείκνυτο Βασιλεῖ εὐσεβεῖ, καὶ νίκας κατ' ἐχθρῶν, ὑπογραμμὸς δηλῶν νοερῶς. ὃν γεγηθὼς πίστει καὶ φόβῳ, θεόθεν ἀναδραμὼν, πρὸς θεωρίας ὕψωσιν· σπουδῇ δὲ τοῦτον ἐκ γῆς λαγόνων ἀνέθωρεν, εἰς Κόσμου λύτρον, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός. Κυπριανοῦ.

ΗΤῶν χειρῶν ἐναλλαγὴ τοῦ Πατριάρχου Ἰακὼβ, ἐπ' εὐλογίᾳ τῶν τέκνων, τὸ κραταιὸν τοῦ Σταυροῦ σου προεδήλωσε σύμβολον, ὅνπερ ἡμεῖς κατέχοντες ἀῤῥαγὲς φυλακτήριον, τὴν τῶν δαιμόνων πανσθενῶς ἐκδιώκομεν φάλαγγα, καὶ τοῦ Βελίαρ ἐν αὐτῷ, τὴν ὀφρὺν καταβαλόντες, τοῦ ἐχθίστου Ἀμαλὴκ τροπούμεθα τὴν πανώλεθρον δύναμιν. αὐτὸν καὶ νῦν ἀνυψούμενον εὐσεβοφρόνως οἱ πιστοὶ, εἰς ἱλασμὸν ἁμαρτιῶν, τῇ σῇ ἀγαθότητι, ἐν πολλῷ πλείονι φωνῇ βοῶντες προσφέρομεν· Κύριε ἐλέησον, ὁ ἐκ Παρθένου σαρκωθείς. οἴκτειρον τὸ τῶν χειρῶν σου ἀγαθὲ σοφὸν δημιούργημα.

Ὁ αὐτός. Λέοντος Δεσπότου.

ΣΥ'μου σκέπη κραταιὰ, ὑπάρχεις ὁ τριμερὴς Σταυρὸς τοῦ Χριστοῦ. ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει, καὶ πόθῳ προσκυνῶ, καὶ δοξάζω σε.

Ἦχος δ'.

ΚΡοτήσωμεν σήμερον ἀσματικὴν πανήγυριν, καὶ φαιδρῷ τῷ προσώπῳ, καὶ τῇ γλώττῃ τρανῶς βοήσωμεν· ὁ δι' ἡμᾶς Χριστὲ κρίσιν καταδεξάμενος, καὶ ἐμπτυσμοὺς καὶ μάστιγας, καὶ τὸ κόκκινον περιβαλλόμενος, καὶ ἐν Σταυρῷ ἀνελθών· ὃν ἰδὼν ὁ Ἥλιος καὶ ἡ Σελήνη, τὸ φέγγος ἀπέκρυψε, καὶ τῷ φόβῳ γῆ ἐσείετο, καὶ τὸ καταπέτασμα τοῦ Ναοῦ ἐσχίσθη διχῶς· αὐτὸς καὶ νῦν δώρησαι τὸν Σταυρόν σου τὸν τίμιον, ἡμῖν φρουρὸν καὶ φύλακα, καὶ ἐλατῆρα τῶν δαιμόνων. ἵνα πάντες

προσπτυοσόμενοι, βοῶμεν αὐτῷ· σῶσον ἡμᾶς Σταυρὲ τῇ δυνάμει σου, ἁγίασον ἡμᾶς τῇ λαμπρότητί σου τίμιε Σταυρὲ, καὶ κραταίωσον ἡμᾶς τῇ Ὑψώσει σου, ὅτι φῶς ἡμῖν δεδώρηται, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός. Ἀνατολίου.

Φωτολαμπὴς Ἀστέρων τύπος, προεδείκνυε Σταυρὲ, τρόπαιον νίκης εὐσεβεῖ Ἄνακτι τῷ πάνυ. οὗ ἡ Μήτηρ Ἑλένη ἀνευραμένη κοσμοφανῆ πεποίηκε. καὶ σὲ σήμερον ἀνυψοῦντες τῶν Πιστῶν χορεῖαι κραυγάζομεν· φώτισον ἡμᾶς τῇ ἐλλάμψει σου Σταυρὲ ζωηφόρε, ἁγίασον ἡμᾶς τῇ ἰσχύϊ σου πανσέβαστε Σταυρὲ, καὶ κράτυνον ἡμᾶς τῇ Ὑψώσει σου, ὑψούμενος πρὸς παράταξιν ἐχθρῶν.

Δόξα, καὶ νῦν. ὁ αὐτός. Ἀνατολίου.

Ποῦ τιμίου Σταυροῦ σου Χριστὲ τὴν ἐνέργειαν, προδιατυπώσας Μωϋσῆς, ἐτροπώσατο τὸν ἐναντίον Ἀμαλὴκ, ἐν τῇ ἐρήμῳ Σινᾷ. ὅταν γὰρ ἐφήπλου τὰς χεῖρας, Σταυροῦ τὸν τύπον ποιῶν, ἐνίσχυεν ὁ λαός. νυνὶ δὲ τῶν πραγμάτων ἡ ἔκβασις εἰς ἡμᾶς πεπλήρωται. σήμερον Σταυρὸς ὑψοῦται, καὶ δαίμονες φυγαδεύονται. σήμερον ἡ Κτίσις πᾶσα ἐκ τῆς φθορᾶς ἠλευθέρωται. πάντα γὰρ διὰ Σταυροῦ, ἐπέλαμψεν ἡμῖν τὰ χαρίσματα. διὸ γηθόμενοι πάντες, προσπίπτομέν σοι λέγοντες· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, δόξα σοι.

Εἰς τὸν ξι. ξι. προσόμοια, ἦχος πλ. α.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ζωηφόρος Σταυρὸς, τῆς εὐσεβείας τὸ ἀήττητον τρόπαιον, ἡ θύρα τοῦ Παραδείσου, ὁ τῶν Πιστῶν στηριγμὸς, τὸ τῆς Ἐκκλησίας περιτείχισμα. δι' οὗ ἐξηφανίσται, ἡ φθορὰ καὶ κατήργηται, καὶ κατεπόθη, τοῦ θανάτου ἡ δύναμις, καὶ ὑψώθημεν, ἀπὸ γῆς πρὸς Οὐρανία. ὅπλον ἀκαταμάχητον, δαιμόνων ἀντίπαλε, δόξα Μαρτύρων Ὁσίων, ὡς ἀληθῶς ἐγκαλλώπισμα, λιμὴν σωτηρίας, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

ξι. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Χαίροις ὁ τοῦ Κυρίου Σταυρὸς, δι' οὗ ἐλύθη τῆς ἀρᾶς τὸ ἀνθρώπινον, τῆς ὄντως χαρᾶς σημεῖον, ὁ καταράσσων ἐχθροὺς, ἐν τῇ σῇ Ὑψώσει πανσεβάσμιε. ἡμῶν ἡ βοήθεια, Βασιλέων κραταίωμα, σθένος Δικαίων, Ἱερέων εὐπρέπεια· ὁ τυπούμενος, καὶ δεινῶν ἐκλυτρούμενος. ῥάβδος ἡ τῆς δυνάμεως, ὑφ' ἧς ποιμαινόμεθα, ὅπλον εἰρήνης ἐν φόβῳ, ὃ περιέπουσιν Ἄγγελοι. Χριστοῦ θεία δόξα, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

ξι. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Χαίροις ὁ τῶν τυφλῶν ὁδηγὸς, τῶν ἀσθενούντων ἰατρὸς, ἡ ἀνάστασις, ἁπάντων τῶν τεθνεώτων, ὁ ἀνυψώσας ἡμᾶς, εἰς φθορὰν πεσόντας, Σταυρὲ τίμιε. δι' οὗ διαλέλυται, ἡ φθορὰ, καὶ ἐξηύθησεν, ἡ ἀφθαρσία, καὶ βροτοὶ ἐθεώθημεν, καὶ διάβολος, παντελῶς καταβέβληται. σήμερον ἀνυψούμενον, χερσὶ καθορῶντές σε, Ἀρχιερέων ὑψοῦμεν, τὸν ὑψωθέντα ἐν μέσῳ σου, καὶ σὲ προσκυνοῦμεν, ἀρυόμενοι πλουσίως τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. ἦχος πλ.

Ἰωάννου Μοναχοῦ.

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο· καὶ Δαβὶδ ὁ μελῳδὸς, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο, τίμιον Σταυρόν σου Χριστὲ ὁ Θεὸς, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν χείλεσιν ἀναξίοις. σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμέν σοι. Κύριε σὺν τῷ Λῃστῇ, τῆς Βασιλείας σου ἀξίωσον ἡμᾶς.

Τροπάριον, ἦχος α.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· νίκας τοῖς Βασιλεῦσι κατὰ Βαρβάρων δωρούμενος· καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Ἐκ τρίτου.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. ξιλό. κα. ἦχος α.

Τοῦ λίθου σφραγισθέντος.

Ποῦ Σταυροῦ σου τὸ Ξύλον προσκυνοῦμεν φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων. Παράδεισον ἠνέῳξας Σωτὴρ, τῷ πίστει προσελθόντι σοι Λῃστῇ, καὶ τρυφῆς κατηξιώθη, ὁμολογῶν σοι· μνήσθητί μου Κύριε. δέξαι ὥς περ ἐκεῖνον καὶ ἡμᾶς, κραυγάζοντας ἡμάρτομεν, πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς. Δίς.

Μετὰ τὴν β'. ξιλό. ἦχος πλ. β'.

Μόνον ἐπάγη τὸ Ξύλον Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθη τοῦ θανάτου Κύριε. ὃν γὰρ κατέπιε πόθῳ ὁ ᾅδης, ἀπ[illegible]σε τρόμῳ. ἔδειξας ἡμῖν, τὸ σωτη-

ριόν

ριόν σου Ἅγιε, καὶ δοξολογοῦμέν σε Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς. Δίς.

Ἕτερον Κάθισμα, μτ. τὸν Πολυέλεον, ἦχος πλ. Τὸ προσαχθέν.

ΠΡοδιετύπου μυστικῶς πάλαι τῷ χρόνῳ, ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ, Σταυροῦ τὸν τύπον. ὡς τὰς χεῖρας ἐξέτεινε σταυροφανῶς Σωτήρμου, καὶ ἔστη ὁ Ἥλιος ἕως ἐχθροὺς ἀνεῖλεν, ἀνθισταμένους σοὶ τῷ Θεῷ. νῦν γὰρ ἔδυνεν ἐπὶ Σταυροῦ σε ὁρῶν. καὶ κράτος θανάτου λύσας, πάντα Κόσμον συνήγειρας.

Οἱ Ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον. ἦχος δ'.

ζ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πᾶσα πνοή. Καὶ τὸ Εὐαγγέλιον.

Δεῖ εἰδέναι, ὡς εἰ τύχῃ ἡ σεβάσμιος αὕτη Ἑορτὴ ἐν Κυριακῇ, οὐ λέγεται Εὐαγγέλιον Ἑωθινὸν, ἀλλὰ τὸ τῆς Ἑορτῆς. ἀλλ' οὐδέτις ἑτέρα Ἀκολουθία Ἀναστάσιμος γίνεται, ἀλλ' ἡ τῆς Ἑορτῆς καὶ μόνης. Λέγομεν δὲ κἂν ὁποίᾳ ἡμέρᾳ τύχῃ, τὸ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, τὸν Ν'. Καὶ τὸ Ἰδιόμελ. ἦχος πλ. β'.

Λέοντος Δεσπότου.

ΕΤαυρὲ τοῦ Χριστοῦ, Χριστιανῶν ἡ ἐλπὶς, πεπλανημένων ὁδηγὲ, χειμαζομένων λιμὴν, ἐν πολέμοις νῖκος, Οἰκουμένης ἀσφάλεια, νοσούντων Ἰατρὲ, νεκρῶν ἡ ἀνάστασις, ἐλέησον ἡμᾶς.

Καὶ εὐθὺς ὁ Κανὼν, ὃς τὴν δὲ τὴν ἀκροστιχίδα φέρει.

Σταυρῷ πεποιθὼς, ὕμνον ἐξερεύγομαι.

Ποίημα τοῦ Κυρίου Κοσμᾶ. Λέγομεν δὲ τοὺς Εἱρμοὺς ἐκ β'. τὰ δὲ Τροπάρια ὁμοῦ εἰς ιβ'. ὕστερον δὲ πάλιν τὸν Εἱρμόν.

Ὠδὴ α'. ἦχος πλ. Ὁ Εἱρμός.

ΕΤαυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι κροτήσας ἤνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

ΜΟν τύπον πάλαι Μωσῆς, τοῦ ἀχράντου Πάθους, ἐν ἑαυτῷ προέφηνε, τῶν Ἱερῶν μεσούμενος. Σταυρῷ δὲ σχηματισθεὶς, τεταμέναις τρόπαιον, παλάμαις ἤγειρε, τὸ κράτος διολέσας, Ἀμαλὴκ τοῦ πανώλους. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

ΑΝέθηκε Μωϋσῆς, ἐπὶ στήλης ἄκος, φθοροποιοῦ λυτήριον, καὶ ἰοβόλου δείγματος· καὶ ξύλῳ τύπῳ Σταυροῦ, τὸν πρὸς γῆν συρόμενον ὄφιν προσέδησεν, ἐγκάρσιον ἐν τούτῳ, θριαμβεύσας τὸ πῆμα. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

ΥΠέδειξεν οὐρανὸς, τοῦ Σταυροῦ τὸ τρόπαιον, τῷ εὐσεβείας Κράτορι, καὶ Βασιλεῖ θεόφρονι. ἐχθρῶν ἐν ᾧ δυσμενῶν, κατεβλήθη φρύαγμα, ἀπάτη ἀνετράπη δέ. καὶ Πίστις ἐφηπλώθη, γῆς τοῖς πέρασι Θεία. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Καταβασία. Σταυρὸν χαράξας Μωσῆς.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

ΡΆβδος εἰς τύπον, τοῦ Μυστηρίου παραλαμβάνεται. τῷ βλαστῷ γὰρ προκρίνει τὸν Ἱερέα. τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξηύθησε, Ξύλον Σταυροῦ εἰς κράτος, καὶ στερέωμα.

ΩΣ ἐπαφῆκε, ῥαπιζομένη ὕδωρ ἀκρότομος, ἀπειθοῦντι λαῷ, καὶ σκληροκαρδίῳ, τῆς Θεοκλήτου ἐδήλου Ἐκκλησίας τὸ Μυστήριον· ἧς ὁ Σταυρὸς τὸ κράτος, καὶ στερέωμα.

ΠΛευρᾶς ἀχράντου, λόγχῃ τρωθείσης ὕδωρ σὺν Αἵματι, ἐξεβλήθη ἐγκαινίζον διαθήκην, καὶ ῥυπτικὸν ἁμαρτίας. τῶν πιστῶν γὰρ Σταυρὸς καύχημα, καὶ βασιλέων κράτος, καὶ στερέωμα. κα. ἦχος πλ. Τὸ προσαχθέν.

ΕΝ Παραδείσῳ μὲν τὸ πρὶν, ξύλῳ ἐγύμνωσεν, ἐπὶ τῇ γεύσει ὁ ἐχθρὸς, εἰσφέρων νέκρωσιν. τοῦ Σταυροῦ δὲ τὸ ξύλον, τῆς ζωῆς τὸ ἔνδυμα, ἀνθρώποις φέρον ἐπάγη ἐπὶ τῆς γῆς, καὶ Κόσμος ὅλος ἐπλήσθη πάσης χαρᾶς. ὃν ὁρῶντες ὑψούμενον, Θεῷ ἐν πίστει λαοὶ, συμφώνως ἀνακράξωμεν. πλήρης δόξης ὁ οἶκός σου Δίς.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

ΕΙσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδοξασάσου τὴν Θεότητα.

ΠΙκρογόνους μετέβαλε, ξύλῳ Μωϋσῆς πηγὰς ἐν ἐρήμῳ πάλαι, τῷ Σταυρῷ πρὸς τὴν εὐσέβειαν, τῶν Ἐθνῶν προφαίνων τὴν μετάθεσιν.

ΟΒυθῷ κολπωσάμενος, τέμνουσαν ἀνέδωκεν Ἰορδάνης ξύλῳ, τῷ Σταυρῷ καὶ τῷ Βαπτίσματι, τὴν τομὴν τῆς πλάνης τεκμαιρόμενος.

Ἱερῶς προςοιβάζεται, ὁ τετραμερὴς λαὸς προηγούμενος, τῆς ἐν τύπῳ μαρτυρίου σκηνῆς, ςαυροτύποις τάξεσι κλεϊζόμενος.

Θαυμαςῶς ἐφαπλούμενος, τὰς ἡλιακὰς βολὰς ἐξηκόντισεν, ὁ Σταυρὸς, καὶ διηγήσαντο, Οὐρανοὶ τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Ὦ Τρισμακάριςον Ξύλον, ἐν ᾧ ἐτάθη
„ Χριςὸς ὁ Βασιλεὺς, καὶ Κύριος· δι' οὗ
„ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δε-
„ λεασθεὶς, Θεῷ τῷ προσπαγέντι σαρκὶ, τῷ
„ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Σὲ τὸ ἀοίδιμον Ξύλον, ἐν ᾧ ἐτάθη Χριςὸς, ἡ τὴν Ἐδὲμ φυλάττουσα, ςρεφομένη ῥομφαία, Σταυρὲ ᾐδέσθη. τὸ φρικτὸν δὲ Χερουβὶμ, εἶξε τῷ σοὶ παγέντι Χριςῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὑποχθονίων δυνάμεις, ἀντίπαλοι τοῦ Σταυροῦ, φρίττουσι χαραττόμενον, τὸ σημεῖον ἐν ἀέρι ᾧ πολοῦσιν. Οὐρανίων γηγενῶν, γένος δὲ γόνυ κάμπτει Χριςῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Μαρμαρυγαῖς ἀκηράτοις, φανεὶς ὁ Θεῖος Σταυρὸς, ἐσκοτισμένοις Ἔθνεσι, τοῖς ἐν πλάνῃ ἀπάτης τὸ Θεῖον φέγγος, ἀπαςράψας οἰκειοῖ, τῷ ἐν αὐτῷ παγέντι Χριςῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

„ Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλά-
„ μας Ἰωνᾶς ςαυροειδῶς διεκπετάσας,
„ τὸ Σωτήριον Πάθος προδιετύπου σαφῶς.
„ ὅθεν τριήμερος ἐκδὺς, τὴν ὑπερκόσμιον
„ Ἀνάςασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προ-
„ σπαγέντος Χριςοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ
„ Ἐγέρσει, τὸν Κόσμον φωτίσαντος.

Ὁ Γήρα καμφθεὶς καὶ νόσῳ τρυχωθεὶς, ἀνωρθοῦτο Ἰακὼβ χεῖρας ἀμείψας, τὴν ἐνέργειαν φαίνων τοῦ ζωηφόρου Σταυροῦ. τὴν παλαιότητα καὶ γὰρ, τοῦ νομικοῦ σκιώδους, γράμματος ἐκαινογράφησεν, ὁ ἐν τούτῳ σαρκὶ προσπαγεὶς Θεὸς, καὶ τὴν ψυχόλεθρον νόσον, τῆς πλάνης ἀπήλασε.

Νεαζούσαις θεὶς παλάμας, ὁ θεῖος Ἰσραὴλ ςαυροειδῶς κάραις ἐδήλου. ὡς πρεσβύτερον κλέος ὁ νομολάτρις λαὸς, ὑποπτεύθεις ὅθεν οὕτως ἐξηπατῆσθαι, οὐκ ἠλλοίωσε τὸν ζωηφόρον τύπον. ὑπερέξει λαὸς γὰρ Χριςοῦ τοῦ Θεοῦ, νεοπαγεὶς ἀνεβόα, Σταυρῷ τειχιζόμενος. Κοντάκιον, ἦχος δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριςὲ ὁ Θεός. εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιςοὺς Βασιλεῖς ἡμῶν. νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον. Ὁ Οἶκος.

Ὁ Μετὰ τρίτον Οὐρανὸν, ἀρθεὶς ἐν Παραδείσῳ, καὶ ῥήματα ἀκούσας τὰ ἄῤῥητα καὶ θεῖα, ἃ οὐκ ἐξὸν γλώσσαις λαλεῖν, τί τοῖς Γαλάταις γράφει· ὡς ἐραςαὶ τῶν Γραφῶν, ἀνέγνωτε, καὶ ἔγνωτε. ἐμοί φησι καυχᾶσθαι μὴ γένοιτο, πλὴν εἰμὴ ἐν μόνῳ τῷ Σταυρῷ τῷ τοῦ Κυρίου. ἐν ᾧ παθὼν ἔκτεινε τὰ πάθη. αὐτὸν οὖν καὶ ἡμεῖς βεβαίως κρατῶμεν τοῦ Κυρίου τὸν Σταυρὸν καύχημα πάντες. ἔςι γὰρ σωτήριον ἡμῖν τοῦτο τὸ Ξύλον, Ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Τῷ αὐτῷ Μηνὶ ΙΔ'. Ἡ παγκόσμιος Ὕψωσις τοῦ Τιμίου, καὶ Ζωοποιοῦ Σταυροῦ.

ξι. Τὰς ἐν λάρυγγι Σῶτερ ὑψώσεις φέρει, Ὑψούμενον βλέπουσα τὸν Σταυρὸν Κτίσις. Ὑψώθη δεκάτῃ Σταυροῦ ξύλον, ἠδὲ τετάρτῃ.

Κωνςαντῖνος ὁ Μέγας καὶ πρῶτος ἐν Χριςιανοῖς Βασιλεὺς εἶχε ποτὲ πόλεμον, ὡς μέντινες λέγουσι, τῶν τὰς ἱςορίας συγγραψαμένων, ἐν τῇ Ῥώμῃ κατὰ Μαγνεντίου, πρὸ τοῦ κρατῆσαι τῆς Βασιλείας. Ὡς δὲ ἕτεροι, εἰς τὸν Δανούβιν ποταμὸν κατὰ τῶν Σκυθῶν. Ὁρῶν δὲ τὴν τῶν ἐναντίων πληθὺν ὑπὲρ τὸν οἰκεῖον οὖσαν ςρατὸν, ἀπορίᾳ καὶ φόβῳ συνείχετο. Οὕτως οὖν ἔχοντι, τύπος αὐτῷ Σταυρικὸς μεσούσης ἡμέρας ἐφάνη κατ' Οὐρανὸν δι' ἀςέρων, καὶ γραφὴ περὶ τὸν Σταυρὸν Ῥωμαϊκοῖς ςοιχείοις, καὶ αὐτοῖς δι' ἀςέρων τυπουμένοις, καὶ φράζουσιν· Ἐν τούτῳ νίκα. Ἐκ χρυσοῦ τοίνυν χεδιάσας αὐτίκα Σταυρὸν κατὰ τὸν φανέντα τύπον αὐτῷ, καὶ τοῦτον κελεύσας τῆς ςρατιᾶς αὐτοῦ προπορεύεσθαι, τοῖς ἐναντίοις συῤῥήγνυται, καὶ ὑπερτερεῖ, ὡς τοὺς πλείους ἐκείνων ἀναιρεθῆναι, τοὺς δὲ λοιποὺς, φυγὴν ἀπιδεῖν. Ἐντεῦθεν τὴν τοῦ ἐν αὐτῷ Σταυρωθέντος δυνάμιν ἐννοήσας, καὶ τοῦτον μόνον ἀληθῆ πιςεύσας Θεὸν, καὶ τῷ εἰς τοῦτον Βαπτίσματι τειχισθεὶς, μετὰ τῆς οἰκείας Μητρὸς, εἰς Ἱεροσόλυμα ταύτην ἐκπέμ-

πέμπα, δῦρᾶν τὸν Σταυρὸν τῦ Χεῖρῦ. Η῎τις
ϗ εὗρεν αὐτὸν κεκρυμμένον, ϗ τὰς ἑπέρας
δύο Σταυρὰς, ἃς ἔς οἱ Λῆσαὶ ἐσωρώθησαν.
ἀλλὰ δὴ ϗ τὰς ἥλας. Διαπορήσης δὲ τῆς
Βασιλίσσης, τίς ἂν εἴη ὁ τῦ Κυρίῦ Σταυρὸς,
διὰ τῆς ἀς θανᾶσαν γυναῖκα χῆραν θαυμα-
τεργίας δείκνυται῎ ἢ ϗ αὐέση τῇ τότε προσ-
ψαύσα. Τῶν δὲ λοιπῶν δύο Σταυρῶν τῇ
Λῆσῶν μηδενὶ ἀς τῦτο ἐνδεξαμενῶν ἀς θαυ-
ματοποιΐας ὑπόδαγμα. Ο῏ν δὴ τίμιον
Σταυρὸν προσεκυνήσεν ἡ Βασίλισσα, ϗ
ἠσπάσατο μετ᾽ τῆς Συγκλήτῦ ἀπάσης. Ζη-
πῶν δὲ ϗ ὁ κοινὸς λαὸς προσκυνῆσαι, ὐκ
ἠδυήσατο, ϗ ἠτήσαντο κἂν ἰδεῖν αὐτόν. Τό-
τε αὐῆλθεν ὁ μακάριος Πατριάρχης Ἱερο-
σολύμων, ϗ ὕψωσεν ἐπὶ τῦ ἄμβωνος τὸν
τίμιον Σταυρόν· ϗ ἰδόντες, ἤρξατο ὁ λαὸς
κράζειν, τὸ, Κύριε ἐλέησον. Καὶ ἔκτοτε
ἐπεκράτησεν ἡ τιμία Ἑορτὴ τῆς Ὑψώσεως.

Τῇ αὐτῇ ἡμέρᾳ, Η῾ Κοίμησις τῦ ἐν Ἁγίοις
Πατρὸς ἡμῶν Ἰωάννε Ἀρχιεπισκόπε Κων-
σταντινοπόλεως τῦ Χρυσορόμε. ὃν ταύτῃ
γὰρ αὐεπαύσατο· ἀλλὰ διὰ τὴν Ἑορτὴν τῦ
τιμίε Σταυρῦ, μεπετέθη ἡ τότε Ἑορτὴ,
ἀς τὸν Νοέμβριον Μῆνα.

Καὶ μνήμη, Τῆς Εὐσεβεςάτης Βασιλίσ-
σης Πλακίλης, συζύγε γενομένης τῦ με-
γάλε Βασιλέως Θεοδοσίε.

ϛ. Φθαρτὸν λιπῦσα σέμμα γῆς ἡ Πλακίλα,
Ἐν ὐρανοῖς ἄφθαρτον εὗρηκε σέφος.

Τ῎τη παύπα τὸν τῆς ζωῆς χρόνον ἐν δ᾽-
σεβείᾳ, ϗ τῇ τῦ νοσάντων ἐπιμελείᾳ
διανύσασα, πρὸς Κύριον ᾠχετήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ,

Μνήμη τῦ ἐν Ἁγίοις Πατέρων ἡμῶν,
τῦ συνελθόντων ἐν τῇ Ἁγίᾳ καὶ
Οἰκυμενικῇ Ἑ῎κτῃ Συνόδῳ, ἐπὶ τῆς Βασι-
λείας Κωνσταντίνε τῦ Πωγωνάτε, υἱῦ Ἰωσι-
νιανῦ τῦ μικρῦ τῦ ῥινοτμήτε, Σεργίε τὴν
Ἐκκλησίαν Κωνσταντινοπόλεως ἰθυύοντος,
ϗ Ἀγάθωνος τῦ Ῥωμαίων. Η῾θροίσθη δὲ
ἐν τῷ Τρύλλῳ τῦ Παλατίε τῷ λεγομένῳ,
Ἑπτακλίνῳ, ἀναθέματι καθυποβαλῦσα Σέρ-
γιον, ϗ Πύῤῥον, ϗ Πέτρον, ϗ Παῦλον,
Ἐπισκόπυς γενομένυς Κωνσταντινοπόλεως,
Μακρόβιόν τε τὸν Ἀντιοχείας, ϗ Κῦρον τὸν
Ἀλεξανδρείας, ϗ Ὀνώριον τὸν Ῥώμης, Στέ-
φανόν τε ϗ Πολυχρόνιον ϗ τὰς συνῦ αὐτοῖς.
῞ητις ἁγία Συνόδος, ἐπὶ μὲν τῦ δηλωθέν-
τος Κωνσταντίνε τῦ Πωγωνάτε σωνηθροί-
σθη, ἡ δὲ τῇ Κανόνων ἔκδοσις, ἐπὶ Ἰωσι-
νιανῦ τῦ Τίῦ αὐτῦ γέγονε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῦ Ἁγίε Μάρτυρ. Πάπα.

ϛ. Η῾ δᾶτο Πάπας πρὸς τὰ σίγματα σεῖσαν,
Βοηθὸν ἔγγυς τὸν Θεὸν κεκτημένος.

Ο῾ τος ἐπὶ τῆς Βασιλείας Μαξιμιανῦ
ϗ Μάγνε Η῾γεμόνος, Πόλεως Λαρανδρων, ϛ Λυκαόνων Ἐπαρχίας. ὁ δὲ τρόπος ϛ
αὐτῦ μαρτυρίας, ποικίλος· πληγαὶ ϗ συντε-
ρβαὶ σαγόνων, αὐαρτήσεις, σιδηρῶν ὀνύ-
χων ξεσμοὶ, καρφίδων σιδηρῶν καθηλώσεις,
ϗ τρέχειν σὺν τότοις ἔμπροσθεν ἵππων αὐαγ-
καζθεὶς, παρέδωκε τὴν ψυχὴν τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ο῾ Ἅγιος Μάρτυς Θεο-
κλῆς, ξίφει τελειῦται.

ϛ. Πρὸς κλῆσιν ἦκε ϗ Θεοκλῆς τὴν αὖω,
Ἔχων ἄχημα τὴν τομὴν τὴν ἐκ ξίφες.

Τῇ αὐτῇ ἡμέρᾳ, Ο῾ Ἅγιος Βαλεριανὸς
τὸ νήπιον ξίφει τελειῦται.

ϛ. Βαλεριανῷ τῷ μικρῷ Θεὸς μέγας,
Ἐν Οὐρανῷ δέδωκε παμμεγα σέφος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Ο῾ Εἱρμός.

῞Κνοον πρόσαγμα Τυραννε, δυσεβοῦς „
λαὸς ἐκλόνησε· πνέον ἀπειλῆς ϗ δυσφη- „
μίας θεοςυγὸς. ὅμως τρεῖς Παῖδας ὐκ ἐδα- „
μάτωσε, θυμὸς θηριώδης, ὁ πῦρ βρόμεον. „
ἀλλ᾽ αὐτηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ „
σωιόντες ἔψαλλον· ὁ ὑπερύμνητος, τῇ Πα- „
τέρων ϗ ἡμῶν, Θεὸς ᾿Υλογητὸς εἶ. „

Ζῆλε γελάσμενος ὁ πρῶτος, σὺ βροτοῖς
φθορᾷ παρώκησε· ῥίψιν γὰ ζωῆς ἀτι-
μοπάτως κατακειθεὶς, ὅλῳ τῷ γένει σωμα-
τοφθόρος τις, ὡς λύμη τῆς νόσε μεπέδωκεν.
ἀλλ᾽ ᾿Δρηκόπες γηγενεῖς αὐάκλησιν, Σταυρῷ
τὸ ξύλον κράζομεν· ὁ ὑπερύμνητος, τῇ
Πατέρων ϗ ἡμῶν, Θεὸς ᾿Υλογητὸς εἶ.

῞Λυσε πρόσαγμα Θεῦ παρακοὴ, ϗ ξύ-
λον ἰῶεγκε θανάτον βροτοῖς, τὸ μὴ ᾿Δ-
καίρως μεπαλαφθεὶ· σὺ ἀσφαλείᾳ τῆς ἐμ-
τίμε δὲ, σὺ πεῦδον ζωῆς τὸ Ξύλον ἔργετο.
ὁ πυκτιλόχε δυσθανῦς ἰυέφξεν, ᾿Δγνωμο-
συνῃ κράζοντος· ὁ ὑπερύμνητος, τῇ Πα-
τέρων ϗ ἡμῶν, Θεὸς ᾿Υλογητὸς εἶ.

῞Αβδε προαντύσεται τὸ ἄκρον, Ἰωσὴφ
ὁ γενησόμενος, βλέπων Ἰσραὴλ τὴν

Βασιλείας τὸ κραταιὸν, ὅπως συνέξει ὁ ὑπερένδοξος Σταυρὸς προδηλῶν. οὗτος γὰρ τοῖς Βασιλεῦσι, τροπαιοῦχον καύχημα, καὶ φῶς τοῖς πίστει κράζουσιν· ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ ἡ. Ὁ Εἱρμός.

Ἐυλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα, Θεὸν ὑμνεῖτε, τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα Πανάγιον εἰς τοὺς αἰῶνας.

Ὑψουμένου Ξύλου, ῥαντισθέντος ἐν Αἵματι, τοῦ σαρκωθέντος Λόγου Θεοῦ, ὑμνεῖτε, αἱ τῶν Οὐρανῶν δυνάμεις, βροτῶν τὴν ἀνάκλησιν ἑορτάζουσαι. λαοὶ προσκυνεῖτε Χριστοῦ τὸν Σταυρὸν, δι' οὗ τῷ Κόσμῳ ἀνάστασις εἰς τοὺς αἰῶνας.

Ἡγενεῖς παλάμαις, Οἰκονόμοι τῆς χάριτος, Σταυρὸν οὗ ἐστι Χριστὸς ὁ Θεὸς ὑψοῦτε, ἱεροπρεπῶς καὶ λόγχην, Θεοῦ Λόγου σῶμα ἀντιτορήσασαν. ἰδέτωσαν Ἔθνη πάντα τὸ σωτήριον, τοῦ Θεοῦ δοξάζοντα εἰς τοὺς αἰῶνας.

Οἱ τῇ θείᾳ ψήφῳ, προκριθέντες ἀγάλλεσθε, Χριστιανῶν πιστοὶ Βασιλεῖς, καυχᾶσθε, τῷ τροπαιοφόρῳ ὅπλῳ, λαχόντες Θεόθεν, Σταυρὸν τὸν τίμιον. ἐν τούτῳ γὰρ φῦλα πολέμων, θράσος ἐπιζητοῦντα, σκεδαννύνται εἰς τοὺς αἰῶνας.

Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται, ἀλλ' οὐδὲ ἐν τῇ Ἀποδόσει. δίδονται δὲ κηρία τοῖς Ἀδελφοῖς.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Μυστικὸς εἶ Θεοτόκε, Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν. ὑφ' οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον. δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν!

Ἀγαλλέσθω τὰ δρυμοῦ, ξύλα σύμπαντα, ἁγιασθείσης τῆς φύσεως αὐτῶν, ὑφ' οὗπερ ἐξ ἀρχῆς ἐφυτεύθη, Χριστοῦ πανυθέντος, ἐν Ξύλῳ. δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν.

Ἱερὸν ἠγέρθη κέρας θεόφροσι, τῆς κεφαλῆς τῶν ἁπάντων ὁ Σταυρός· ἐν ᾧ ἁμαρτωλῶν νοουμένων, συνθλῶνται τὰ κέρατα πάντα. δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν.

Εἱρμὸς ἄλλος.

Ὁ Διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον. τῆς γὰρ Προμήτορος ἡ παγγενὴς, κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς ἁγνῆς Θεομήτορος. ἣν πᾶσαι αἱ Δυνάμεις, τῶν Οὐρανῶν μεγαλύνουσι.

Μὴ τὴν πικρίαν τὴν τοῦ ξύλου, ἐάσας ἀναιρέσιμον Κύριε, διὰ Σταυροῦ τελείως ἐξήλειψας. ὅθεν καὶ ξύλον ἔλυσε ποτὲ, πικρίαν ὑδάτων Μερρᾶς, προτυποῦν τοῦ Σταυροῦ τὴν ἐνέργειαν. ἣν πᾶσαι αἱ Δυνάμεις, τῶν Οὐρανῶν μεγαλύνουσιν.

Ἀδιαλείπτως βαπτομένους, τῷ ζόφῳ τοῦ Προπάτορος Κύριε, διὰ Σταυροῦ ἀνύψωσας σήμερον. ὡς γὰρ τῇ πλάνῃ ἄγαν ἀκρατῶς, ἡ φύσις προκατηνέχθη, παγκλήρως ἡμᾶς πάλιν ἀνώρθωσε, τὸ φῶς τὸ τοῦ Σταυροῦ σου· ὃν οἱ πιστοὶ μεγαλύνομεν.

Ἵνα τὸν τύπον ἀποδείξῃς, τῷ Κόσμῳ προσκυνούμενον Κύριε, τὸν τοῦ Σταυροῦ ἐν πᾶσιν ὡς ἔνδοξον, ἐν Οὐρανῷ ἐμόρφωσας, φωτὶ ἀπλέτῳ ἠγλαϊσμένον, Βασιλεῖ πανοπλίαν ἀήττητον. διό σε αἱ Δυνάμεις, τῶν Οὐρανῶν μεγαλύνουσιν.

Ἐξαποστειλάριον.

Τῶν μαθητῶν ὁρώντων. Λέγεται Δίς.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς Οἰκουμένης. Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας. Σταυρὸς Βασιλέων τὸ κραταίωμα. Σταυρὸς Πιστῶν τὸ στήριγμα. Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Ἕτερον Ἐξαποστειλάριον, ὃ λέγεται ἅπαξ.

Πρὸς τὸ, Γυναῖκες ἀκουτίσθητε.

Σταυρὸς ὑψοῦται σήμερον, καὶ Κόσμος ἁγιάζεται. ὁ γὰρ Πατρὶ συνεδρεύων, καὶ Πνεύματι τῷ Ἁγίῳ, ἐν τούτῳ χεῖρας ἁπλώσας, τὸν Κόσμον ὅλον εἵλκυσας, πρὸς σὴν Χριστὲ ἐπίγνωσιν. τοὺς οὖν εἰς σὲ πεποιθότας, θείας ἀξίωσον δόξης.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοὴ, ἱστῶμεν ξι. δ'. καὶ ψάλλομεν ξι. προσόμοια, ἦχος πτ.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος. τὸ ζωηφόρον φυτὸν, ὁ Σταυρὸς ὁ πανάγιος, εἰς ὕψος αἰρόμενος, ἐμφανίζεται σήμερον. δοξολογοῦσι πάντα τὰ πέρατα. ἐκδειματοῦνται δαίμονες ἅπαντες. ὢ οἷον δώρημα.

μα, τοῖς βροτοῖς κεχάρισται. δι' οὗ Χριστὲ, σῷσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Δίς. Ὅμοιον.

Ὦ Τοῦ παραδόξου θαύματος. ὡς βότρυν πλήρης ζωῆς, ὁ βαστάσας τὸν Ὕψιστον, ἀπὸ γῆς ὑψούμενος, Σταυρὸς ὁρᾶται σήμερον. δι' οὗ πρὸς Θεὸν πάντες εἱλκύσθημεν, καὶ κατεπόθη εἰς τέλος θάνατος. ὦ Ξύλον ἄχραντον, ὑφ' οὗ ἀπελάβομεν τῆς ἐν Ἐδὲμ, ἀθανάτου βρώσεως, Χριστὸν δοξάζοντες. Ὅμοιον.

Ὦ Τοῦ παραδόξου θαύματος. εὖρος καὶ μῆκος Σταυροῦ, Οὐρανοῦ ἰσοστάσιον, ὅτι Θείᾳ χάριτι, ἁγιάζει τὰ σύμπαντα. ἐν τούτῳ Ἔθνη βάρβαρα ἥττηνται· ἐν τούτῳ σκῆπτρα Ἀνάκτων ἥδρασται. ὦ Θείας Κλίμακος, δι' ἧς ἀνατρέχομεν εἰς Οὐρανοὺς, ὑψοῦντες ἐν ᾄσμασι, Χριστὸν τὸν Κύριον.

Δόξα, καὶ νῦν. ἦχος π. β'.

Ἔμερον προέρχεται ὁ Σταυρὸς τοῦ Κυρίου, καὶ πιστοὶ εἰσδέχονται αὐτὸν ἐκ πόθου, καὶ λαμβάνουσιν ἰάματα ψυχῆς τε καὶ σώματος, καὶ πάσης μαλακίας. αὐτὸν ἀσπασώμεθα τῇ χαρᾷ καὶ τῷ φόβῳ. φόβῳ μὲν διὰ τὴν ἁμαρτίαν, ὡς ἀνάξιοι ὄντες· χαρᾷ δὲ διὰ τὴν σωτηρίαν, ἣν παρέχει τῷ Κόσμῳ, ὁ ἐν αὐτῷ προσπαγεὶς Χριστὸς ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δοξολογία μεγάλη.

Ψαλλομένης δὲ τῆς μεγάλης Δοξολογίας, ἀλλάσσει ὁ Ἱερεὺς πᾶσαν τὴν Ἱερατικὴν στολὴν, καὶ εἰσέρχεται μετὰ τοῦ Θυμιατοῦ ἐν τῇ Ἁγίᾳ Τραπέζῃ, καὶ θυμιῶν τὸν Τίμιον Σταυρὸν σταυροειδῶς, αἴρει αὐτὸν μετὰ δίσκου ἐπὶ τῆς κεφαλῆς. καὶ προπορευομένων δύο λαμπάδων, φέρει αὐτὸν μέχρι τῶν Βασιλικῶν πυλῶν τοῦ Ναοῦ, κἀκεῖσε ἵσταται. Καὶ πληρουμένης τῆς Δοξολογίας, καὶ τοῦ Τρισαγίου, λέγει ὁ Ἱερεὺς μεγαλοφώνως. Σοφίᾳ ὀρθῇ. Καὶ ἀρχόμεθα τοῦ Τροπαρίου. Σῷσον Κύριε τὸν λαόν σου. Καὶ οὕτως εἰσοδεύει μετὰ τοῦ Τιμίου Σταυροῦ. καὶ ὄντος ηὐτρεπισμένου Τετραποδίου, τίθεται ὁ Τίμιος Σταυρὸς ἐπάνω. Καὶ θυμιᾷ σταυροειδῶς ὁ Ἱερεύς. Εἶθ' οὕτω βαλὼν μετανοίας τρεῖς, κἂν ὁποία καὶ ἔστιν ἡμέρα. Καὶ λαβὼν ἐπὶ χεῖρας τὸν Τίμιον Σταυρὸν γυμνὸν μετὰ Βασιλικῶν κλάδων, ἵσταται ἔμπροσθεν τοῦ Τετραποδίου, βλέπων κατὰ Ἀνατολάς.

Καὶ λέγει εἰς ἐπήκοον πάντων.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον. Καὶ ἀρχόμεθα τῆς πρώτης Ἑκατοντάδος τοῦ, Κύριε ἐλέησον. Σφραγίζοντος τοῦ Ἱερέως ἐν ταῖς ἐνάρξεσι μετὰ τοῦ Τιμίου Σταυροῦ, τρίς. Εἶτα κλίνει τὴν κεφαλὴν, ὅσον σπιθαμὴν ἀπέχειν τῆς γῆς. Καὶ κατὰ μικρὸν ἀνίσταται ἄχρι τῆς συμπληρώσεως τῆς Ἑκατοντάδος. Ἡνίκα δὲ φθάσῃ εἰς τὸ ἐννενηκοστὸν ἕβδομον, Κύριε ἐλέησον. Ὑψοῖ τὴν φωνὴν ὁ Ἐκκλησιάρχης. Καὶ αἰσθόμενος ὁ Ἱερεὺς τέλος λαμβάνειν τὴν Ἑκατοντάδα, σφραγίζει πάλιν τρίς. Εἶτα στραφεὶς ἐπὶ τὸ Νότιον μέρος, λέγει.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων Βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν. καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπιπλέον συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν, πάντα ἐχθρὸν, καὶ πολέμιον.

Καὶ ἀρχόμεθα τῆς δευτέρας Ἑκατοντάδος. καὶ ποιεῖ ὁ Ἱερεὺς τὴν δευτέραν ὕψωσιν, ὡς προγέγραπται. Εἶθ' οὕτω στραφεὶς ἐπὶ Δυσμὰς, λέγει.

Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ, τοῦ Πατρὸς ἡμῶν (δεῖνος, ἤγουν τοῦ Προεστῶτος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος, εἴπωμεν.

Καὶ ἀρχόμεθα τῆς τρίτης Ἑκατοντάδος. πληρουμένης δὲ αὐτῆς, στρέφεται ὁ Ἱερεὺς ἐπὶ τὸ Βόριον μέρος, καὶ λέγει.

Ἔτι δεόμεθα ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν, ὑγείας, καὶ σωτηρίας, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν.

Καὶ γίνεται ἡ τετάρτη ὕψωσις, καὶ αὖθις στρέφεται κατὰ Ἀνατολὰς, καὶ λέγει.

Ἔτι δεόμεθα ὑπὲρ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ Ἁγίᾳ Μονῇ ταύτῃ, ὑγείας, σωτηρίας, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν, εἴπωμεν.

Καὶ ἀρχόμεθα τῆς πέμπτης Ἑκατοντάδος. Μετὰ δὲ τὴν πέμπτην ὕψωσιν, ψάλλομεν τὸ Κοντάκιον. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Εἶθ' οὕτω, Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, τρίς. Ψαλλόντων δὲ τῶν Ἀδελφῶν, ἀποτίθησιν ὁ Ἱερεὺς τὸ Τίμιον Ξύλον ἐν τῷ

Τε-

Τετραποδίῳ. Καὶ ἄρχονται προσκυνεῖν ὅ, τε Ἱερεὺς, καὶ ὁ Προεςὼς, βάλλοντες μετανοίας γ'. κατενώπιον τοῦ Τιμίου Σταυροῦ. εἶτα ἀσπάζονται αὐτόν. Καὶ μετὰ τὸ ἀσπάσασθαι, βάλλουσι μίαν μετάνοιαν. Εἶτ' ὄπισθεν εἰς τοὺς χορεὺς δεξιά, καὶ ἀριστερά. Εἶτα εἰσέρχονται οἱ Ἀδελφοὶ δύο δύο, κατὰ τάξιν, καὶ προσκυνοῦσι, καὶ ἀσπάζονται ὁμοίως. Ψάλλομεν δὲ καὶ ᾱ. Ἰδιόμελα, ἕως ὅ προσκυνήσουσιν οἱ Ἀδελφοί.

Ἦχος β'.

Δεῦτε Πιστοὶ, τὸ ζωοποιὸν Ξύλον προσκυνήσωμεν· ἐν ᾧ Χριστὸς ὁ Βασιλεὺς τῆς δόξης ἑκουσίως χεῖρας ἐκτάνας, ὕψωσεν ἡμᾶς εἰς τὴν ἀρχαίαν μακαριότητα. ὃς πρὶν ὁ ἐχθρὸς, διὰ ἡδονῆς συλήσας, ἀξρείστους Θεοῦ πεποίηκε. δεῦτε Πιστοὶ Ξύλον προσκυνήσωμεν· δι' ὃ ἠξιώθημεν, τῇ ἀοράτῳ ἐχθρῶν σωτηρίᾳ τὰς καρδίας. δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν Ἐθνῶν, τὸν Σταυρὸν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν. Χαίροις Σταυρὲ, τὰ πεπόντος Ἀδὰμ ἡ παλαιὰ λύτρωσις. ἐν σοὶ οἱ πιστοὶ πατέρες Βασιλεῖς ὑμῶν καυχῶνται, ὡς τῇ σῇ δυνάμει, Ἰσμαηλίτην λαὸν κραταιῶς ὑποπίσοντες. σὲ νῦν μετὰ φόβου Χριστιανοὶ ἀσπαζόμενοι, τὸν ἐν σοὶ προσαγείσαν Θεὸν δοξάζομεν λέγοντες· Κύριε ὁ ἐν αὐτῷ σωρωθεὶς, ἐλέησον ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἦχος δ'.

Δεῦτε λαοὶ τὸ παράδοξον θαῦμα καθορῶντες, τῷ Σταυρῷ τῷ ζωοποιῷ προσκυνήσωμεν. ὅτι ξύλον ἐν Παραδείσῳ θάνατον ἐβλάστησεν· τὸ δὲ, τῷ ξύλῳ τῆς ζωῆς ἠξιώθησαν, ἀναμάρτητον ἔχον προσηλωμένον τὸν Κύριον. ἐξ οὗ πάντα τὰ Ἔθνη, ἀφθαρσίαν τρυγῶντες κραυγάζομεν· ὁ διὰ Σταυροῦ θάνατον καταργήσας, καὶ ἡμᾶς ἐλευθερώσας, δόξα σοι. Ὁ αὐτός.

Φωνῇ τῇ Προφητῶν σε, Ἡσαΐα καὶ Δαβὶδ ἐπληρώθη ὁ Θεὸς ἡ λέγουσα· ἤξουσι πάντα τὰ Ἔθνη Κύριε, καὶ προσκυνήσουσιν ἐνώπιόν σου. ἰδοὺ γὰρ ὁ λαὸς, ὃς τῆς σῆς ἀγαθὲ χάριτος πεπλήρωται, ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. ὁ Σταυρὸν ὑπομείνας ὑπὲρ ἡμῶν, καὶ τῇ Ἀναστάσει σου ζωοποιῶν, φύλαξον καὶ σῶσον ἡμᾶς. Ἦχ. Πλ. β'.

Ἡμέρων τὸ φυτὸν τῆς ζωῆς, ἐκ τῆς τῆς γῆς ἀδύτων ἀνεσάμενον, τῷ ὄντι αὐτῷ παγέντος Χριστοῦ, πιστοὶ τῷ Ἀναστάσιν, καὶ ἀνυψούμενον χερσὶν ἱεραῖς, τὴν αὐτοῦ πρὸς Οὐρανὸς καταγγέλλει ἀνύψωσιν. δι' ἧς τὸ ἡμέτερον φύραμα, ἐκ τῆς εἰς γῆν καταπτώσεως, εἰς Οὐρανὸς πολιτεύεται. διὸ βοήσωμεν· Κύριε ὁ ὑψωθεὶς ἐν αὐτῷ, καὶ δι' αὐτοῦ συνανυψώσας ἡμᾶς, τῆς Οὐρανίου χαρᾶς ἀξίωσον τοὺς ὑμνοῦντάς σε. Ὁ αὐτός.

Τετραπέρατος Κόσμος σήμερον ἀγιάζεται, τῷ πεταμερεῖ ὑψωμένῳ Σταυρῷ, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ τὸ κέρας τῆς Πίστεως σεσωμένον Βασιλέων ἡμῶν, ἐν αὐτῷ τῇ δυσμενῶν συντριβέντων τὰ κέρατα. μέγας εἶ Κύριε, καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου. Ὁ αὐτός.

Ταῖς τοῦ Χριστοῦ, Χριστιανῶν ἡ ἐλπὶς, πεπλανημένων ὁδηγὲ, καμαζομένων λιμενὶ, ἐν πολέμοις νῖκος, Οἰκουμένης ἀσφάλεια, νοσούντων Ἰατρὲ, νεκρῶν ἡ ἀνάστασις, ἐλέησον ἡμᾶς. Ὁ αὐτός.

Ὧν Προφητῶν αἱ φωναὶ, τὸ Ξύλον τὸ Ἅγιον προκατήγγελαν. δι' ὃ τῆς ἀρχαίας ἠλευθερώθη κατάρας, τῆς τοῦ θανάτου ὁ Ἀδὰμ. ἡ δὲ Κτίσις σήμερον, ὑψωμένου τούτου, συνυψοῖ τῷ φωνῷ, τὸ ἐκ Θεοῦ αἰτησάμενον πλέον ἔλεος. ἀλλ' ὁ μόνος ἐν ἐλέει ἀμέτρητος Δέσποτα, ἱλασμὸς γενοῦ ἡμῖν, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος τῆς.

Φωνὴ τοῦ Προφήτου σε Μωϋσέως ὁ Θεὸς, πεπλήρωται ἡ λέγουσα· ὄψεσθε τὴν Ζωὴν ἡμῶν κρεμαμένην ἀπεναντί τῶν ὀφθαλμῶν ἡμῶν. σήμερον Σταυρὸς ὑψοῦται, καὶ Κόσμος ἐκ πλάνης ἠλευθέρωται. σήμερον τῷ Χριστῷ ἡ Ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται, ἐν κυμβάλοις Δαβιτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· ἀργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ Θεὸς, Σταυρὸν καὶ τὴν Ἀνάστασιν. δι' ὧν ἡμᾶς ἔσωσας, ἀγαθὲ καὶ φιλάνθρωπε, παντοδύναμε Κύριε δόξα σοι.

Καὶ μετὰ τὸ προσκυνῆσαι πάντας, λέγει ὁ Ἱερεὺς, Σοφία. Καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Ἀντίφωνα.

Ἀντίφωνον α'. Ἦχος α'.

Ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

Ταῖς

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Ὁ Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Σὺ δὲ ἐν Ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Δόξα. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Καὶ νῦν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον β'. ἦχος β'.

Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος;
Σῷσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ σταυρωθεὶς, ψάλλοντάς σοι, Ἀλληλούϊα.
Μνήσθητι τῆς Συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς.
Σῷσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ σταυρωθείς.
Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.
Σῷσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ σταυρωθείς.
Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων.
Σῷσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ σταυρωθείς.

Δόξα.

Σῷσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ Σαρκὶ σταυρωθείς.

Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

Ἀντίφωνον γ'. ἦχος α'.

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.
Σῷσον Κύριε τὸν λαόν σου.
Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστι.
Σῷσον Κύριε τὸν λαόν σου.
Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ. Σῷσον Κύριε τὸν λαόν σου.
Εἰσοδικόν. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.
Σῷσον Κύριε τὸν λαόν σου.
Δόξα, καὶ νῦν. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα.
Προκείμενον τοῦ Ἀποστόλου, ἦχος βαρύς.
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.
ϛι. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Ὁ Ἀπόστολος. Πρὸς Κορινθίους α'.

Ἀδελφοὶ, ὁ λόγος ὁ τοῦ Σταυροῦ.

Ἀλληλούϊα, ἦχος α'.

Μνήσθητι τῆς Συναγωγῆς σου.
ϛι. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων.

Εὐαγγέλιον κτ. Ἰωάννην.

Συμβούλιον ἐποίησαν.
Κοινωνικόν. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε.

Ἰστέον ὅτι ἢ ἂν ἡμέρᾳ τύχῃ ἡ Σεβάσμιος αὕτη Ἑορτὴ, εἴτε Κυριακῇ, εἴτε Σαββάτῳ, τυρὸν, ἢ ᾠὸν, ἢ ἰχθὺν οὐκ ἐσθίομεν, εἰμὴ μόνον ἔλαιον καὶ οἶνον. Ὅρα, ὅτι ταύτην τοῦ Σταυροῦ τὴν Νηστείαν, περιεκτικὴν ἔχει, καθώς τινες παραδιδόασι, τὴν ποιότητα μὲν παραδηλῶν τῶν βρωμάτων, οὐχὶ δὲ καὶ τῆς ὥρας.
Κυριακῇ μτ. τὴν Ὕψωσιν, ἀναγινώσκεται τὸ Συνοδικὸν τῆς ς'. Συνόδου ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ. Ὁ Ἀπόστολος πρὸς Γαλάτας.
Ἀδελφοὶ, εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος.
Ζήτει Κυριακῇ κα'. Ἀλληλουϊάριον, ἦχ. β'.
Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Εὐαγγέλιον κτ. Μάρκον.

Εἶπεν ὁ Κύριος· ὅς τις θέλει ὀπίσω μου ἀκολουθεῖν. Ζήτει Κυριακῇ γ'. τῶν Νηστειῶν.
Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.
Δεῖ γινώσκειν, ὅτι ἀπὸ τῆς β'. ἥτις Κυριακὴ μτ. τὴν Ὕψωσίν ἐστιν, ἄρχεται ἀναγινώσκεσθαι τὸ κτ. Λουκᾶν Ἅγιον Εὐαγγέλιον. τότε γὰρ καὶ ἰσημερία γίνεται, ὃ καλεῖται νέον Ἔτος.

Τῷ αὐτῷ Μηνὶ ΙΕ'.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Νικήτα.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ϛι. ς'. καὶ ψάλλομεν ϛι. προσόμοια, τῆς Ἑορτῆς τρία, καὶ τοῦ Ἁγίου τρία, ἦχος π. α'.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ζωηφόρος Σταυρὸς, τῆς εὐσεβείας τὸ ἀήττητον τρόπαιον, ἡ θύρα τοῦ Παραδείσου, ὁ τῶν πιστῶν στηριγμὸς, τὸ τῆς Ἐκκλησίας περιτείχισμα. δι' οὗ ἐξηφανίσται, ἡ φθορὰ καὶ κατήργηται, καὶ κατεπόθη, τοῦ θανάτου ἡ δυνάμις, καὶ ὑψώθημεν, ἀπὸ γῆς πρὸς Οὐρανία. ὅπλον ἀκαταμάχητον, δαιμόνων ἀντίπαλε, δόξα Μαρτύρων Ὁσίων, ὡς ἀληθῶς ἐγκαλλώπισμα, λιμὴν σωτηρίας, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Χαίροις ὁ τοῦ Κυρίου Σταυρὸς, δι' οὗ ἐλύθη τῆς ἀρᾶς τὸ ἀνθρώπινον, τῆς ὄντως χαρᾶς σημεῖον, ὁ καταράσσων ἐχθροὺς, ἐν τῇ σῇ ὑψώσει πανσεβάσμιε, ἡμῶν ἡ βοήθεια, Βασιλέων κραταίωμα, σθένος Δικαίων, Ἱερέων εὐπρέπεια, ὁ τυπούμενος, καὶ δεινῶν ἐκλυτρού-

λυτρούμενος, ῥάβδος ἡ τῆς δυνάμεως, ὑφ' ἧς ποιμαινόμεθα, ὅπλον εἰρήνης ἐν φόβῳ, ὃ περιέπουσιν Ἄγγελοι, Χριστοῦ θεία δόξα, τοῦ παρέχοντος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

ΧΑίροις ὁ τῶν τυφλῶν ὁδηγὸς, τῶν ἀσθενούντων Ἰατρὸς ἡ ἀνάστασις, ἁπάντων τῶν τεθνεώτων, ὁ ἀνυψώσας ἡμᾶς, εἰς φθορὰν πεσόντας, Σταυρὲ τίμιε. δι' οὗ διαλέλυται, ἡ φθορὰ καὶ ἠχρείωθησεν, ἡ ἀφθαρσία, καὶ βροτοὶ ἐθεώθημεν, καὶ διάβολος, παντελῶς καταβέβληται. σήμερον ἀνυψούμενον, χερσὶ καθορῶντές σε, Ἀρχιερέων ὑψοῦμεν, τὸν ὑψωθέντα ἐν μέσῳ σου, καὶ σὲ προσκυνοῦμεν, ἀρυόμενοι πλουσίως, τὸ μέγα ἔλεος.

Ἕτερα τοῦ Μάρτυρος, ἦχος α'.

Τῶν Οὐρανίων ταγμάτων.

ΤΟν ἀλιτήριον Μάρτυς, κατεπολέμησας, τῇ παναλκίμῳ πίστει, τοῦ Σωτῆρος θεόφρον, ὑποίσας ἀλγηδόνας. ὅθεν σοφὲ, τοὺς βαρβάρους ἐπέστρεψας, πρὸς τὸν τῶν ὅλων Δεσπότην καὶ ποιητὴν, καὶ δοξάζουσιν αὐτὸν εὐσεβῶς.

ΤΑ' ἀκροθήνια Μάρτυς, ἐκ τῶν βαρβάρων Χριστῷ, δόξαν προσάξας ὤφθης, ἀθλητὰ Θεηγόρε, θανὼν ὑπὲρ Τριάδος. ὅθεν σαφῶς, καὶ τὸ στέφος ἀπείληφας, καὶ ὡς φωστὴρ διαλάμπεις θεοπρεπῶς, ἐν τῷ Κόσμῳ ἀξιάγαστε.

ΤΗν εὐσεβῆ πανοπλίαν, ἀμφιασάμενος, πρὸς πόλεμον ἐδείχθης, Χριστοῦ τοῦ Βασιλέως, Νικῆτα Ἀθλοφόρε, ὥς περ ποτὲ, Γεδεὼν ὁ παγκράτιστος, τῶν ἀλλοφύλων τὰ στίφη καταβαλὼν, ῥωμαλαίῳ παῤῥησίᾳ σου.

Δόξα, ἦχος π. β'. Θεοφάνους.

ΦΩστῆρα τῶν φωστήρων σε ἔγνωμεν, Νικῆτα τοῦ Χριστοῦ Ἀθλητά. σὺ γὰρ τοῦ ἐπὶ γῆς ἀξιώματος, τὴν δόξαν καταλείψας, καὶ πατρικὴν ἀθεΐαν βδελυξάμενος, τοὺς θεοὺς αὐτῶν συνέτριψας, καὶ νικητικῶς τοὺς βαρβάρους κατῄσχυνας, ὑπὲρ Χριστοῦ τὸ μαρτύριον τῆς ὁμολογίας ἐκπληρώσας, καὶ στρατιώτης τοῦ Ἐπουρανίου Θεοῦ γέγονας. ὑπὲρ ἡμῶν δυσωπῶν τὸν εὐεργέτην τοῦ παντὸς, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

ΤΩν Προφητῶν αἱ φωναὶ, τὸ Ξύλον τὸ Ἅγιον προκατήγγειλαν. δι' οὗ τῆς ἀρχαίας, ἠλευθερώθη κατάρας, τῆς τοῦ θανάτου ὁ Ἀδάμ. ἡ δὲ Κτίσις σήμερον ὑψουμένου τούτου, συνυψοῖ τὴν φωνὴν, τὸ ἐκ Θεοῦ αἰτουμένη πλούσιον ἔλεος. ἀλλ' ὁ μόνος ἐν ἐλέει ἀμέτρητος Δέσποτα, ἱλασμὸς γενοῦ ἡμῖν, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Προκείμενον, ἦχος βαρύς.

Ὁ Θεὸς ἡμῶν ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν, ὁ Κύριος ἐποίησεν.

ϛ. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου.

ϛ. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν.

ϛ. Τίσοι ἔστι θάλασσα, ὅτι ἔφυγες;

Εἰς τὸν ϛ. ϛ. προσόμοια, ἦχος π. β'.

Ὅλην ἀποθέμενοι.

ΣΤαυρὸς ἀνυψούμενος, τοῦ ἐν αὐτῷ ὑψωθέντος, τὸ Πάθος τὸ ἄχραντον, ἀνυμνεῖν προτρέπεται Κτίσιν ἅπασαν. ἐν αὐτῷ κτείνας γὰρ, τὸν ἡμᾶς κτείναντα, νεκρωθέντας ἀνεζώωσε, καὶ κατεκάλλυνε, καὶ εἰς Οὐρανοὺς πολιτεύεσθαι, ἠξίωσεν ὡς εὔσπλαγχνος, δι' ὑπερβολὴν ἀγαθότητος. ὅθεν γεγηθότες, ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ, καὶ τὴν αὐτοῦ μεγαλυνώμεν, ἄκραν συγκατάβασιν.

ϛ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

ΜΩσῆς προετύπωσε, χεῖρας ἐκτείνας εἰς ὕψος, καὶ κατατροπούμενος, Ἀμαλὴκ τὸν τύραννον, Σταυρὲ τίμιε. τῶν Πιστῶν καύχημα, Ἀθλητῶν στήριγμα, Ἀποστόλων ἐγκαλλώπισμα, δικαίων πρόμαχε, πάντων τῶν Ὁσίων διάσωσμα, διό σε ἀνυψούμενον, βλέπουσα ἡ Κτίσις εὐφραίνεται, καὶ πανηγυρίζει, δοξάζουσα Χριστὸν τὸν διὰ σοῦ, τὰ διεστῶτα συνάψαντα, ἄκρᾳ ἀγαθότητι.

ϛ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

ΣΤαυρὲ πανσεβάσμιε, ὃν περιέπουσι τάξεις, Ἀγγέλων γηθόμεναι. σήμερον ὑψούμενος θείῳ νεύματι, ἀνυψοῖς ἅπαντας, τοὺς κλοπῇ βρώσεως, ἀπωσθέντας καὶ εἰς θάνατον, κατολισθήσαντας. ὅθεν σε καρδίᾳ καὶ χείλεσι, πιστῶς περιπτυσσόμενοι, τὸν ἁγιασμὸν ἀρυόμεθα. ὑψοῦτε βοῶντες, Χριστὸν τὸν ὑπεράγαθον Θεὸν, καὶ τὸ αὐτοῦ προσκυνήσωμεν, Θεῖον ὑποπόδιον.

Δόξα, ἦχος πλ.

ΤΗς νίκης ἐπώνυμος, ἀνεδείχθης Μάρτυς Νικῆτα πανσεβάσμιε. ἐν σταδίῳ κηρύξας Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ ἐναντίον Βασιλέων καὶ Τυράννων, αὐτὸν ὁμολογήσας. διὸ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ εἰρήνης τοῦ Κόσμου, καὶ τῶν φιλοχρίστων

Ἀνάκ-

Ἀνάκτων, καὶ πάντων τῶν τὴν μνήμην σου πλούντων πιστῶς, τὸν μόνον φιλάνθρωπον, λυτρωθῆναι πάσης ὀργῆς.

Καὶ νῦν. Ὁ αὐτός.

Ἡ Φωνὴ τοῦ Προφήτου σου Μωϋσέως ὁ Θεὸς, πεπλήρωται ἡ λέγουσα· ὄψεσθε τὴν Ζωὴν ἡμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν. σήμερον Σταυρὸς ὑψοῦται, καὶ Κόσμος ἐκ πλάνης ἠλευθέρωται. σήμερον τοῦ Χριστοῦ ἡ Ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλεται· ἐν κυμβάλοις Δαβιτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ Θεὸς, Σταυρὸν καὶ τὴν Ἀνάστασιν· δι' ὧν ἡμᾶς ἔσωσας, ἀγαθὲ καὶ φιλάνθρωπε. παντοδύναμε Κύριε, δόξα σοι.

Τροπάριον, τοῦ Ἁγίου, ἦχος δ'.

Ὁ Μάρτυς σου Κύριε ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν. ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς Τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. αὐτοῦ ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ τῆς Ἑορτῆς. Σῶσον Κύριε τὸν λαόν σου. Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ἑλλ. Ὁ Κανὼν τῆς Ἑορτῆς εἰς στ. μτ. τῶν Εἱρμῶν. καὶ τοῦ Ἁγίου εἰς δ'. Ὁ Κανὼν τοῦ Ἁγίου.

Οὗ ἡ ἀκροστιχίς.

Νίκης σε μέλπω τὸν φερώνυμον πρόμον.

Θεοφάνους. Ὠδὴ α'. ἦχος δ'.

Θαλάσσης, τὸ ἐρυθραῖον.

Ἐκρώσας, τὸ τῆς σαρκός σου φρόνημα, τὸν νοῦν καταύγασον, φωτιστικῇ λαμπρότητι τὴν σὴν, ἀνυμνῆσαι πανήγυριν, ὡς νικητὴς πανάριστος, καθικετεύων ὦ Νικῆτα Χριστόν.

Ὃν, τὸν ἐκ τῶν παθῶν γενόμενον, ἀποτιθέμενος, τοὺς αἰκισμοὺς ὑπέμεινας στερρῶς, καὶ χιτῶνα τὸν ἔντιμον, μαρτυρικῶς ἐνδέδυσαι, ἐκ τῶν αἱμάτων ὑφαινόμενον.

Καινήν τε, καὶ θαυμασίαν ἔδειξας, ὁδὸν ἀθλήσεως, ὑπὲρ ἡμῶν τῷ Ξύλῳ προσπαγείς. ἀπαρχὴ γὰρ γεγένησαι, τῆς τῶν Μαρτύρων Δέσποτα, ὁμολογίας καὶ στερρότητος.

Θεοτοκίον.

Ἡ Πύλη, τῆς πρὸς ἡμᾶς σου Κύριε, συγκαταβάσεως; Ἀνατολὴν καὶ Ἥλιον καὶ φῶς, μυστικῶς σε καλούμενον, ὑπερφυῶς ἐξήστραψε, διπλοῦν τῇ φύσει τὸν φιλάνθρωπον

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ἐτερρότητι τῆς ψυχῆς, τὰς τῶν Τυράννων ἀπειλὰς ἔφερες, Μάρτυς Χριστοῦ ἔνδοξε, θείᾳ δυναστείᾳ ῥωννύμενος.

Ἐαρκός σου τὸν σκορπισμὸν, καὶ τῶν μελῶν τὴν ἐκκοπὴν ἠνέγκας, Μάρτυς Χριστοῦ τῷ ἔρωτι, ἃ σοῦ τὴν ψυχὴν συνεκρότησαν.

Εὐφραίνεται ἐπὶ σοὶ, ὁ τῶν Μαρτύρων τοῦ Χριστοῦ σύλλογος, μνήμην τὴν σὴν σήμερον, ἐπιτελουμένην θεώμενος. θτ.

Μαρία τὸ καθαρὸν, τῆς παρθενίας καὶ σεπτὸν σκήνωμα, τὰ χαλεπὰ τραύματα, τῆς ἐμῆς καρδίας θεράπευσον.

ΜΕ. ἦχος δ'. Ταχὺ προκατάλαβε.

Μοῖς πόνοις μακάριε, κατατρυφῶν τῆς σαρκὸς, τὴν θείαν καὶ ἄπονον, ἐν Παραδείσῳ τρυφὴν, ἀξίως ἀπείληφας. στέφος ἀθανασίας, ἐκ Θεοῦ δεδεγμένος. ὅθεν καὶ ἰαμάτων, ποταμοὺς ἀναβλύζεις, τοῖς πόθῳ καταφεύγουσι Μάρτυς τῇ σκέπῃ σου.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. θτ. Ὅμοιον.

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν. ἄνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας. γνώτωσαν πῶς ἰσχύει, Ὀρθοδόξων ἡ Πίστις, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἐνηδόμενος Κυρίου τῇ θεωρίᾳ, καὶ ταῖς αὐτοῦ λαμπρότησιν, ἐντρυφῶν ὁ Μάρτυς, πάσχων οὐκ ἠσθάνετο, καὶ χαίρων ἐκραύγαζε· δόξα τῇ δυνάμει σου Κύριε.

Ἐλυτρωμένος τῷ Αἵματι τοῦ Δεσπότου, ὁ Ἀθλητὴς Νικήτας, τὸ ἴδιον αἷμα, χαίρων προσκομίζει Χριστῷ. δι' ὃν ἀναιρούμενος, δόξα σοι Θεέ μου ἐκραύγαζε.

Ἐπυρσευμένος τῷ Αἵματι τοῦ Σωτῆρος, εἰδωλικὴν ὁ Μάρτυς, κατεπάτησε φλόγα, πᾶσάν τε δαιμόνων ἰσχὺν, καὶ κράζει τῷ Κτίσαντι· δόξα τῇ δυνάμει σου Κύριε. θτ.

Ὡραϊσμένος ποικίλῃ φωτοχυσίᾳ, ὁ Οὐρανὸς ὁ ἔμψυχος, σοῦ τοῦ Βασιλέως, τῶν Βασιλευόντων Χριστὲ, Παρθένος ἡ ἄχραντος, νῦν ὡς Θεοτόκος δοξάζεται.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Τίς δύναται λαλεῖν, σοῦ Νικῆτα τὰ ἔπαθλα; πανεύφημε τοὺς στεφάνους, οὓς δωρεῖται Χριστός σοι, ὑπὲρ αὐτοῦ ἀθλήσαντι.

Ὁ

Οἱ Μάρτυρες ἐν γῇ, τοὺς ἀγῶνας ἀνύσαντες, Οὐρανίον ἐν ὑψίστοις, παρὰ σοῦ Ζωοδότα, τὴν ἀντίδοσιν ἔλαβον.

Νῦν λάμπεις ὡς φωστὴρ, ὦ Νικῆτα πανεύφημε, φῶς δεύτερον χρηματίσας, τῷ φωτὶ τῷ μεγάλῳ, ἐνδόξως παριστάμενος. θ'.

Φῶς ἄχρονον ἡμῖν, ὑπὸ χρόνον γενόμενον, ἐγέννησας Θεομῆτορ, τοῖς ἐν σκότει τοῦ βίου, καὶ Κόσμον κατεφώτισας.

Ὠδὴ ς'. Θύσω σοι, μετὰ φωνῆς.

Ἐθέλχθης, ταῖς καλλοναῖς τοῦ Κτίσαντος ἔνδοξε, καὶ τὰς ἐκεῖθεν ἐμφάσεις, δεδεγμένος Μάκαρ, ἀνεπτερώθης, καὶ θανάτου, ἀλογήσας αὐτῷ προσεχώρησας.

Ῥεόντων, λογισμῷ χρησάμενος ἔμφρονι, τὰ μὴ κενούμενα Μάρτυς, προτιμήσας σου ταῖς βασάνοις, ὦ Νικῆτα, μετ' εὐφροσύνης χαίρων παρέδωκας. Θεοτοκίον.

Ὡς μῆλον, ἐν τῷ δρυμῷ σὲ μόνην εὑράμενος, καὶ καθαρώτατον κρῖνον, καὶ κοιλάδων αἶθος ὦ Θεομῆτορ, ὁ Νυμφίος, ὁ νοητὸς ἐν σοὶ κατεσκήνωσε.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Μῆς πλανῆς τεμὼν, τὸ κράτος τῇ ἐνστάσει σου, καὶ νίκης λαβὼν, τὸ στέφος τῇ ἀθλήσει σου, τοῖς Ἀγγέλοις ἔνδοξε, συναγάλλῃ Νικῆτα φερώνυμε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν. Ὁ Οἶκος.

Ἐνῶσιν ἐνθεὶς τῇ ψυχῇ μου, κάθαρόν μου τὴν φρένα, καὶ τῶν σῶν ἐντολῶν ἐργάτην Σῶτερ ἀνάδειξον, ἵνα ἰσχύσω καταπαλαῖσαι τὰς ποικίλας τῶν παθῶν μου ἐπαναστάσεις, νικητικὸν ἀφθαρσίας βραβεῖον δεξάμενος, πρεσβείαις τοῦ σοῦ γενναίου Ἀθλοφόρου Νικήτα φιλάνθρωπε. καὶ γὰρ αὐτὸς ἡμᾶς ἐν τῇ μνήμῃ αὐτοῦ συνεκαλέσατο, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ ΙΕ'. Ἄθλησις τοῦ Ἁγίου Μεγαλομάρτυρος Νικήτα.

ξ'. Φλέγῃ Νικῆτα, καὶ γίνῃ νικηφόρος,
Ἢ μᾶλλον εἰπεῖν, φυρπόρος νικηφόρος.
Πέμπτῃ καὶ δεκάτῃ καμίνῳ βλήθη Νικήτας.

Οὗτος ἦν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, γεννηθεὶς, καὶ τραφεὶς ἐν τῇ χώρᾳ τῶν Βαρβάρων, τῶν καλουμένων Γότθων, πέραν τοῦ Ἴστρου. οὐ μὴν ἐκοινώνει τοῖς βαρβάροις, ἀλλὰ τῶν εὐσεβούντων ἦν, ὡς καὶ γένει καὶ περιουσίᾳ προέχων. οὗτος συλληφθεὶς ὑπὸ Ἀθαναρίχου Ἄρχοντος τοῦ Ἔθνους, διὰ τὴν εἰς Χριστὸν πίστιν, καὶ αἰκισθεὶς σφόδρα, διὰ πυρὸς τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φιλοθέου Πρεσβυτέρου τοῦ θαυματουργοῦ.

ξ'. Ζήσας ὁ Φιλόθεος ὡς Θεῷ φίλος,
Ζωὴν ἄληκτον εὗρε σὺν Θεοῦ φίλοις.

Οὗτος ὑπῆρχεν ἀπὸ χωρίου Μάρμηκος καλουμένου, θέματος Ὀψικίου τοῦ πατρικοῦ ὀνόματος κατάλληλον τὴν κλῆσιν ἔχων. Θεοφίλης καὶ ἐλέγετο. γάμῳ δὲ προσομιλήσας, καὶ Παίδων Πατὴρ γεγονὼς, τῆς Ἱερωσύνης καταξιοῦται. καὶ ἔκτοτε νηστεύων, καὶ ταῖς προσευχαῖς προσκατερῶν, θαυμάτων μεγίστων αὐτουργὸς γέγονεν, ἀπόροις πεινῶσιν ἄρτον παρέσχε, καὶ ποτάμιον ὕδωρ εἰς οἶνον μετέβαλε, καὶ λίθον μέγιστον λόγῳ μετέθηκε, καὶ μετὰ ἐνιαυτὸν τῆς κοιμήσεως αὐτοῦ μετατιθεμένου ἐν ἑτέρῳ τόπῳ, τὰς χεῖρας ὡσεὶ ζῶν ἐκτείνας, καὶ τῶν ὤμων δραξάμενος τῶν δύο Ἱερέων τῶν βουλομένων αὐτὸν μεταθῆναι, ἀνέστη, καὶ τρεῖς βάσεις βηματίσας, κατετέθη ἐν ᾧ τόπῳ κεῖται. ὃς καὶ βλύζει πηγὴν ἀείναον μύρου, θαυμαστήν τινα καὶ ἐξαίσιον καὶ ξένην τῆς πολιτείας αὐτοῦ παρέχων ἀπόδειξιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Πορφυρίου τοῦ ἀπὸ Μίμων.

ξ'. Βάπτισμα παῖξαι προτραπεὶς, παίζεις πλανήν.
Ῥύπτῃ δὲ Πορφύριε, καὶ τέμνῃ ξίφει.

Ὃς ὑπὸ Ἰουλιανοῦ κελευσθεὶς τῶν γενεθλίων αὐτοῦ τελουμένων διασῦραι, καὶ καταπαῖξαι τὰ Χριστιανῶν, ἐν τῷ μέλλειν αὐτὸν εἰς ὕδωρ καταδῦναι, καὶ βαπτίζεσθαι, ὀξεβόησε. βαπτίζεται Πορφύριος εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. καὶ ἀναδὺς, καὶ ἀναδυσάμενος ἱμάτια λευκὰ, καὶ Χριστιανὸν ἑαυτὸν ὁμολογήσας, καὶ παρρησιασάμενος, ξίφει τὴν κεφαλὴν τέμνεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Εὕρεσις τοῦ Λειψάνου τοῦ Ἁγίου Ἀκακίου Ἐπισκόπου Μελιτινῆς.

ξ'. Τιμῶντες ἡμεῖς Εὕρεσιν σοῦ Λειψάνου,
Εὕροιμεν Ἀκάκιε τῶν κακῶν λύσιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Μάξιμος ξίφει τελειοῦται.

ξ'. Θεὸν θεωρῶν σοὶ προτείνοντα στέφος,
Τὴν σὴν προτείνεις Μάξιμε ξίφει κάραν.

Τῇ

Τῇ αὐτῇ ἡμέρᾳ, Αἱ Ἅγιαι δύο Κόραι ξίφει τελειοῦνται.

ϛ. Γνώμην ἔχουσαι καὶ προθυμίαν μίαν, Κόραι δύο κλίνουσιν αὐχένας ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Εὕρεσις τοῦ Λειψάνου τοῦ Ἁγίου Πρωτομάτυρος Στεφάνου.

ϛ. Εὕρημα κοινὸν ὁ Στέφανος τῇ Κτίσει, Θεοῦ μεγίστου πρωταγωνιστὴς μέγας.

Ταῖς τῶν σῶν Μαρτύρων εὐχαῖς Χριστὲ ὁ Θεὸς ἐλέησον, καὶ σῷσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Νῦν ἀπροσίτῳ, τῇ λαμπηδόνι καταυγαζόμενος, Μάρτυς τοὺς ὑμνοῦντας νῦν τὴν σὴν Ἑορτὴν, τῷ φωτί σου καταλάμπρυνον, εὐλογητὸς εἶ ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Ὑπερηγάσθη, σοῦ τὴν ἀνδρείαν τὰ στρατεύματα, μάκαρ, τῶν Ἀγγέλων βλέποντα καρτερῶς, ἐναθλοῦντά σε, καὶ λέγοντα· εὐλογητὸς εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Μετὰ τῆς ἄνω, χοροστασίας ὁ ἀσώματος, χαῖρε Θεοτόκε Πάναγνε Γαβριὴλ, ἀγαλλόμενος κραυγάζει σοι· εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις Πανάμωμε Δέσποινα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὁ Λόκληρον θῦμα καὶ δεκτὸν, σαυτὸν προσήγαγες Μάρτυς ἀήττητε, καὶ ὁλοκάρπωμα γέγονας, εὐωδίας τῷ Δεσπότῃ σου, καὶ Σταυρωθέντι δι' ἡμᾶς, μετ' εὐφροσύνης βοῶν· εὐλογεῖτε πάντα τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Νομίμως ὡς θεῖος ἀριστεὺς, ἐχθροῦ τὰς φάλαγγας καταστρεψάμενος, ἀξίως εἴληφας στέφανον, τὸν τῆς νίκης τὸν ἀμάραντον, ἐκ ζωηφόρου δεξιᾶς, ᾗ νῦν παρέστηκας, ἀναμέλπων· πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Ποθήσας ἀσχέτως τὸν Χριστὸν, τῷ τοῦ τοῦ Αἵματι, τὸ σὸν κατέμιξας, καὶ συντεμνόμενος μάστιξι, καὶ ποικίλως ἀναιρούμενος. ᾧ περ καὶ νῦν, ὡς μιμητὴς συμβασιλεύεις βοῶν· εὐλογεῖτε πάντα τὰ ἔργα, Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ῥύπον τὸν τῆς φύσεως ἡμῶν, Χριστὸν κυήσασα, τὸν μόνον Ἄχραντον, σοφῶς ἀπέπλυνας Ἄχραντε, Θεοτόκε Παναμώμητε. καὶ Χερουβὶμ καὶ Σεραφὶμ, γέγονας ὕπερθεν, τῶν βοώντων· πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Ὅλον ἐμαυτόν σοι προσφέρω, Θεομακάριστε Νικῆτα· ἵνα σε πλουτήσω προστάτην, πρὸς τὸν Δεσπότην σῴζειν δυνάμενον, ἐκ πάσης περιστάσεως, καὶ σωτηρίας θείας πρόξενον.

Μάρτυς ἀληθῶς χρηματίσας, τῆς ἀληθείας Ἀθλοφόρε, τῇ ἐνυποστάτῳ καὶ σεπτῇ, νῦν ἀληθείᾳ χαίρων παρίστασαι, τὰ τῶν ἀγώνων ἔπαθλα, σὺν παῤῥησίᾳ κομισάμενος.

Ὅρμῳ γαληνῷ προσωρμίσθης, ἀναπαυσάμενος τῶν πόνων, καὶ στεφανηφόρος χορεύεις, ἐν Παραδείσῳ μετὰ Μαρτύρων Χριστοῦ. τοίνυν ὡς θεοδόξαστον, πάντες ἀξίως σὲ δοξάζομεν.

Νέμοις μοι τὴν ἄφθονον χάριν, τῷ τῶν ἐπαίνων σοι τοῖς λόγοις, πλέξαντι προθύμως στεφάνους, ῥυόμενός με τῆς ἁμαρτίας μου, καὶ τῶν δεινῶν μου πράξεων, ταῖς σαῖς πρεσβείαις Παμμακάριστε. Θεοτοκίον.

Κόμων τῶν τῆς φύσεως δίχα, τὸν Νομοδότην ἀποτίκτεις, σάρκα γεγονότα ἀτρέπτως, δι' εὐσπλαγχνίαν ἀνεξιχνίαστον, εὐλογημένη Ἄχραντε, δυσὶν οὐσίαις γνωριζόμενον. Ἔξαπος. Τοῖς Μαθηταῖς.

Ὡς ἐτροπώσω πάνσοφε, τοῦ Σταυροῦ τῇ δυνάμει, βαρβαρικὴν θρασύτητα, καὶ Τυραννων μανίαν, Μεγαλομάρτυς Νικῆτα· καὶ ἡμῶν ταῖς εὐχαῖς σου, τὰ τῆς σαρκὸς κινήματα, καὶ παθῶν τὰς ἐφόδους, ἁμαρτιῶν, λύσιν παρεχόμενος Ἀθλοφόρε, ὡς παῤῥησίαν ἄπλετον, πρὸς Θεὸν κεκτημένος.

Τῆς Ἑορτῆς. Τῶν Μαθητῶν ὁρώντων σε.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς Οἰκουμένης. Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας. Σταυρὸς Βασιλέων τὸ κραταίωμα. Σταυρὸς Πιστῶν τὸ στήριγμα. Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Εἰς τὸν ϛ. στιχηρὰ, ἦχος β'.

Οἶκος τοῦ Ἐφραθᾶ.

Σήμερον τοῦ Χριστοῦ, ὁ Σταυρὸς ἀνυψοῦται, τὸ ζωηφόρον Ξύλον, ἐν ᾧ σαρκὶ ἐπάγη, πάντας ἀνακαλούμενος.

ϛ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Χαίροις τὸ τῶν Πιστῶν, φυλακτήριον θεῖον, ἀπροσμάχητον τεῖχος, Σταυρὸς ὁ τοῦ Κυρίου, δι' οὗ ἀπὸ γῆς ᾔρθημεν.

ϛ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Δεῦτε χαρμονικῶς, ἀσπασώμεθα πάντες, τὸ σωτήριον Ξύλον, ἐν ᾧ ἐξετανύθη, Χριστὸς ἡ ἀπολύτρωσις. Δόξα, ἦχος [illegible]

Σήμε-

Ἡμέρον ἡ Οἰκουμένη πᾶσα τῇ τῆ Ἀθλοφόρε ἀγάλλεται ἀθλήσει. καὶ ἡ τῆ Χερσῆ Ἐκκλησία, τοῖς αὐθεσιν ὡραϊζομένη, Χερσομάρτυς βοᾷ σοι· θεράπον Χερσῆ, καὶ προσάπα θερμότατε, μὴ ἐλλίπης πρεσβεύων ὑπὲρ τῆ δόλων σε. Καὶ νῦν. Ὁ αὐτός.

Ἡμέρον τὸ φυτὸν τῆς ζωῆς, ἐκ τῆ τῆς γῆς ἀδύτων ἀνισάμενον, τῆ ἐν αὐτῷ παγέντος Χερσῆ, πιστῆται τῳ Ἀνάσασιν. καὶ αὐτυψόμενον χερσὶν ἱεραῖς, τῳ αὐτῆ πρὸς Οὐρανὸς καταγγέλλει αὐύψωσιν· δι' ἧς τὸ ἡμέτερον φύραμα, ἐκ τῆς εἰς γῆν καταπτώσεως, εἰς Οὐρανοὺς πολιτεύεται. διὸ ἀκαείσως βοήσωμεν. Κύριε ὁ ὑψωθεὶς ἐν αὐτῷ, καὶ δι' αὐτῆ σωσανυψώσας ἡμᾶς, τῆς Οὐρανίε χαρᾶς ἀξίωσον τὲς ὑμνῶντάς σε.

Εἰς τῳ Λατρεγίαν, Τυπικά, καὶ ἀπὸ τῆ Κανόνος τῆς Ἑορτῆς, καὶ τῆ Ἁγίε. Προκείμενον, ἦχος βαρύς. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ ξ'. Εἰσάκουσόν ὁ Θεός. Ὁ Ἀπόστολος. Πρὸς Τιμόθεον Τέκνον Τιμόθεε, ἐνδυναμῶ. Ζήτα Ὀκτωβρίῳ κς'. Ἀλληλούϊα. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος· ἰδὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Τ Υ Π Ι Κ Ο Ν.

Ἀββάτῳ μετὰ τὴν Ὕψωσιν. Ἀδελφοί, βλέπετε τὴν κλῆσιν ὑμῶν. Ζήτα τῇ γ'. τῆς β'. Ἑβδομάδος τῆ Πάσχα.

Τριακῇ μετὰ τὴν Ὕψωσιν. Ἀναγινώσκεται τὸ συνοδικὸν τῆς ς'. Συνόδε ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ. Καὶ μνήμη τῆ Ἁγίε Συμεὼν τῆ κατὰ σάρκα συγγενοῦς τῆ Κυρίε. Προκείμενον, ἦχος βαρύς. Τίμιος ἐναντίον Κυρίε ὁ θάνατος. ξ'. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Ὁ Ἀπόστολος. Πρὸς Γαλάτας. Ἀδελφοί, εἰδότες ὅτι οὐ δικαιῶται ἄνθρωπος ἐξ ἔργων νόμε. Ζήτα Κυριακῇ κά. Ἀλληλούϊα ἦχος β'. Οἱ Ἱερεῖς σε Κύριε ἐνδύσονται δικαιοσύνην. Εὐαγγέλιον κατὰ Μάρκον. Εἶπεν ὁ Κύριος· ὅς τις θέλει ὀπίσω με. Ζήτα Κυριακῇ γ'. τῶν Νηστειῶν. Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Εἰ δὲ γινώσκειν, ὅτι ἀπὸ τῆς β'. ἥτις Κυριακὴ μετὰ τὴν Ὕψωσιν ἐστὶν, ἄρχεται ἀναγινώσκεσθαι τὸ κατὰ Λουκᾶν Ἅγιον Εὐαγγέλιον. Τότε γὰρ καὶ ἡ ἱσημερία γίνεται, ἣ καλεῖται νέον Ἔτος.

Μνεῖ τῷ αὐτῷ Ις'.

Τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Παναθήμε Εὐφημίας.

Εἰς τὸ Κύριε ἐκέκραξα, ἰδιόμελον ξ'. ς'. καὶ ψάλλομεν ξ'. τῆς Ἑορτῆς, ἦχος β'.

Ὅτε, ἐκ τῆ ξύλε.

Ὤφθη, ἡ τῆ ξύλε πυρὰ, γεῦσις ἐν Ἐδὲμ τοῖς Γοναρχαις, συμβᾶσα παλαι δεινῶς; θανάτον εἰσάξασα, παντὶ τῷ γένει βροτῶν. ἀλλὰ νῦν πρὸς ἀκήρατον, ζωὴν καὶ ἀμάνω, λῆξιν ἀνεκλήθημεν, διὰ τῆ θείε Σταυρῆ. ὑπὲρ αὐυψῶντες ὑμνῶμεν, τὸν αὐυψωθέντα ἐν τύτῳ, Κύριον καὶ Κόσμον συνυψώσαντα.

Ἦρας, τὸ πλανώμενον Σωτὴρ, πρόβατον ἐπ' ὤμων, καὶ τῦτο, τῷ σῷ προσῆγες Πατρὶ, διὰ τῆ τιμίε σε, καὶ ζωηφόρε Σταυρῆ, καὶ Ἀγγέλοις ἠρίθμησας, ἐν Πνεύματι Θεῖῳ. Ξύλον γὰρ αὐτὲ θάνατος, αὐτὶ τῆ ξύλε Χερσέ. ὃν νῦν αὐυψῶντες ἐν πίσει, σὲ τὸν ἐν αὐτῷ ὑψωθέντα, καὶ ἡμᾶς ὑψώσαντα δοξάζομεν.

Τῶμεν ἐν τῷ οἴκῳ τῆ Θεῆ, πράξεσι κοσμῶντες ἐνθέοις, καὶ τὸν Κρανίε Πιςοὶ, χῶρον ἐποπτεύσωμεν, καθαρωτάτῳ νοΐ, καὶ ὑψούμενον βλέψωμεν, βροτοὶ σὺν Ἀγγέλοις, Ξύλον τὸ παναγιον, ἐν ᾧ Χερσὸς ὁ Θεὸς, χεῖρας ἐκασίως ἁπλώσας, ἕλκυσεν ἐζώγρησε παύτας, καὶ πρὸς Οὐρανὸς ἡμᾶς αὐύψωσεν.

Ἕτερα τῆς Ἁγίας, ἦχος δ'. Ὡς γενναῖον.

Ἀρδευσίας ἐν κάλλεσι, καὶ Μαρτύρων ἐν αἵμασι, τῳ ψυχίῳ λαμπρύνασα Μάρτυς ἐνδοξε. κατεγγυήθης τῷ Κτίσαντι, τηρῆντί σε ἄφθορον εἰς αἰῶνα ἀληθῶς, περὶ τῆτον χορεύσσα, σὺν στρατεύμασιν, Ἀρχαγγέλων Ἀγγέλων, Ἀποστόλων, Προφητῶντε καὶ Μαρτύρων, χοροστασίαις παναθήμε.

Καὶ τροχοῖς ὁμιλήσασα, καὶ θηρσὶ προσαλαίσασα, καὶ πυρὶ καὶ ὕδατι σομωθεῖσά σε, τὸν λογισμὸν Θεῷ Πνεύματι, τῆ σκότες τὸν ἄρχοντα, ταῖς τῆ αἵματος ῥοαῖς, αὐθεμικῶς ἐναπέπνιξας, καὶ αὐέδραμες, νοητὲς πρὸς θαλάμες ὥσπερ προῖκα, τῷ Νυμφίῳ σε Παρθένε, προσαγαγοῦσα τῳ ἄθλησιν.

Καὶ θανοῦσα ἀέζωον, τῆ αἵματων τῳ πρόχυσιν, εἰς Κυρίε αἴνεσιν Μάρτυς ἔβλυ-

ἔβλυσας, τοὺς μὲν Πιϛοὺς καταρδεύουσα, καὶ γνώσει φωτίζουσα· τοὺς ἀπίϛους δὲ ἐχθροὺς, ἐν αὐτοῖς ἀποπνίγουσα. ὅθεν τόμος σοι, ἐμπιϛεύεται θεῖος, ὃν φυλάττεις, καὶ κρατυνεῖς εἰς αἰῶνας, τῆς Ἐκκλησίας τὰ δόγματα.

Δόξα, ἦχος, πλ. β'. Ἀνατολίου.

Ἡ Διηνθισμένη ταῖς ἀρεταῖς, καὶ πεφωτισμένη τὸν λογισμὸν, ἡ μῦρα προχέουσα, ἐν ταῖς καρδίαις τῶν Πιϛῶν, ἡ ἐκ τῆς Ἑώας ἀνατείλασα, ὡς ἀϛὴρ φαεινὸς, καὶ ἀθροισμὸν ποιήσασα, τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως, τοὺς Θείους Πατέρας. μὴ διαλίπῃς ὑπὲρ ἡμῶν δυσωποῦσα πρὸς Κύριον, Εὐφημία πανένδοξε, σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νυῦ. ὁ αὐτός.

Ὁ Τετραπέρατος Κόσμος, σήμερον ἁγιάζεται, τοῦ τετραμεροῦς ὑψουμένου σου Σταυροῦ, Χριϛὲ ὁ Θεὸς ἡμῶν. καὶ τὸ κέρας τῶν πιϛῶν συνυψοῦται Βασιλέων ἡμῶν, ἐν αὐτῷ τῶν δυσμενῶν συντριβέντων τὰ κέρατα. μέγας εἶ Κύριε, καὶ θαυμαϛὸς ἐν τοῖς ἔργοις σου, δόξα σοι.

Ἀποϛιχ. ϛιχ. ἦχος, πλ. β'. Τριήμερος ἀνέϛης.

Ἐ Ἀπίσματα ὑπήνεγκας, καὶ Σταύρωσιν Μακρόθυμε, καὶ ὀνείδη, θέλων πάντας ἐκ χειρὸς, λυτρώσασθαι τοῦ πλάνου, ὁ μόνος ζωοδότης, καὶ πανοικτίρμων καὶ φιλάνθρωπος.

ϛιχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ἰμῶ σου τὸν Σταυρὸν Ἀγαθὲ, τοὺς ἥλους καὶ τὴν λόγχην Σωτήρ· δι' ὧν πάντας, ἐλυτρώσω τῆς φθορᾶς, ὡς μόνος Ζωοδότης, καὶ πάντων εὐεργέτης, μόνε φιλάνθρωπε Σωτὴρ ἡμῶν.

ϛιχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Σταυρῷ προσηλωθεὶς δι' ἐμὲ, Σωτήρ μου ὑπεράγαθε, ἐῤῥαπίσθης, καὶ ὑβρίσθης Λυτρωτὰ, καὶ ὄξος ἐποτίσθης, καὶ λόγχῃ ἐκεντήθης, καὶ πάντα φέρεις ἀναμάρτητε.

Δόξα, ἦχος, πλ. Βυζαντίου.

Πᾶσα γλῶσσα κινείσθω πρὸς εὐφημίαν τῆς πανενδόξου Εὐφημίας. ἅπαν γένος, καὶ ἡλικία πᾶσα, Νεανίσκοι καὶ Παρθένοι, τὴν Χριϛοῦ Παρθενομάρτυρα ἐγκωμίοις ϛεφανώσωμεν. νομίμως γὰρ ἀνδρισαμένη, καὶ τὸ χαῦνον τοῦ θήλεος ἀπορρίψασα, δι' ἀθλητικῶν πόνων, τὸν Τύραννον ἐχθρὸν καταβέβληκεν. Οὐρανίῳ δὲ καὶ Θείῳ σθένει κοσμηθεῖσα, αἰτεῖται τῷ Νυμφίῳ καὶ Θεῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νυῦ. Ὁ αὐτός.

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο· καὶ Δαβὶδ ὁ μελῳδὸς, ὑποπόδιον σοι βοῶν, προσκυνεῖσθαι διετάξατο· τίμιον Σταυρόν σου Χριϛὲ ὁ Θεὸς, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες δεόμεθα· Κύριε συὺ τῷ Λῃϛῇ, τῆς Βασιλείας σου ἀξίωσον ἡμᾶς.

Ἀπολυτίκιον, τῆς Ἁγίας, ἦχος, δ'.

Ἡ Ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συϛαυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου, καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω ἐν σοὶ, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω συὺ σοί. ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι, αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῷσον τὰς ψυχὰς ἡμῶν.

Καὶ τῆς Ἑορτῆς. Σῷσον Κύριε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ϛιλο. μετὰ τὴν α'. ϛιλο. κα. τῆς Ἁγίας, ἦχος, δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὃν νυμφίον σου Χριϛὸν ἀγαπήσασα, καὶ τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας Πανεύφημε. ὅθεν εἰσελήλυθας, συὺ αὐτῷ εἰς τοὺς γάμους, τὸ ϛέφος τῆς ἀθλήσεως, παρ' αὐτοῦ δεξαμένη. ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας ἐν πίϛει τὴν μνήμην σου.

Δόξα, καὶ νυῦ. τῆς Ἑορτῆς.

Εἰς τὴν β'. ϛιλο. κα. τῆς Ἁγίας. Ὅμοιον.

Οἱ ἀγῶνές σου σεμνὴ καὶ ὁ ϛέφανος, οἱ ἱδρῶτές σου Ἁγνὴ καὶ τὰ θαύματα, τοῦ διαβόλου ἤσχυναν τὰ τρόπαια. Χριϛὸν γὰρ νυμφίον σου, ἐκ καρδίας ποθοῦσα, οὐ μάϛιγας, οὐ θάνατον, δι' αὐτὸν ἐπτοήθης· ἀλλ' ἀνετέθης ὅλη τῷ Θεῷ, τῆς εὐσεβείας φοροῦσα τὸν ϛέφανον.

Δόξα, καὶ νυῦ. Τῆς Ἑορτῆς.

Εἰς τὸν τῆς Ἁγίας, ψάλλεται τὸ παρὸν Πεντηκοϛάριον, ἦχος β'.

Πρὸς τὸ, Ἀναϛὰς ὁ Ἰησοῦς.

Εὐφημεῖν σε τὴν σεμνὴν, Κόρην πανεύφημε Εὐφημία, δίδου μοι ἰσχὺν, ἱκετεύουσα Χριϛὸν, τοῦ ἐλεῆσαί με.

Ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας.

Οὗ ἡ ἀκροϛιχίς.

Ἐγκωμιάζω τὴν πανεύφημον Κόρην.

Ἄνευ τῶν Θεοτοκίων.

Ὠδὴ, α'. ἦχος, πλ. Ἄσωμεν τῷ Κυρίῳ.

Ἕλκει πρὸς ὑμνῳδίαν, τῶν ὑπερκοσμίων τὰ συστήματα, τῶν βροτῶν τὰς χορείας, ἡ πανεύφημος Κόρη τοῖς θαύμασι.

Ἑνὸς ὑπεριδοῦσα, καὶ τὴν ἐκ τοῦ πλούτου περιφάνειαν, ἡ σεπτὴ Εὐφημία, αὐτὴ πάντων Χριστὸν ἐπεκτήσατο.

Κάλλος ἐπιθυμήσας, τῆς ὡραιοτάτης σου Πανεύφημε, ὁ Δεσπότης καρδίας, Οὐρανίων θαλάμων ἠξίωσεν. Θτ.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον. καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνοῦμέν σε.

Ὠδὴ, γ'. Σὺ εἶ τὸ στερέωμα.

Ὤφθης ἐπὶ βήματος, ἀῤῥενωπὸν ψυχὴν φέρουσα, καὶ τὸν ἐχθρὸν, ὥσπερ ἐν ἀνδρείᾳ, ἐτροπώσω Πανεύφημε.

Μῶμος ἐν τῷ κάλλει σου, οὐδὲ ῥυτὶς ψυχῆς πέφηνε· καὶ σὲ Χριστὸς, Νύμφην ἀκηράτοις, ἐν νυμφῶσι προσήκατο.

Ἔασαι πανεύφημε, τοὺς τ' ἐμῆς ψυχῆς μώλωπας, Μάρτυς Χριστοῦ, θραῦσον σαῖς πρεσβείαις, τοῦ ἐχθροῦ τὰ σοφίσματα. Θτ.

Σὲ πάντες κεκτήμεθα, καταφυγὴν καὶ σκέπην ἡμῶν, Χριστιανοὶ, σὲ δοξολογοῦμεν, ἀσιγήτως Θεόνυμφε.

Ἀπ. ἦχ, πλ. Τὴν Σοφίαν καὶ Λόγον.

Ὧν αἱμάτων σου ῥείθροις Μάρτυς Χριστοῦ, ποντισμὸν ἀσεβείας διηνεκῶς, ἐργάζῃ πανεύφημε, ἐπομβρίαις τῆς χάριτος, καὶ λογικὰς ἀρούρας, ἀρδεύουσα χάριτι, ἐν αὐταῖς αὐξάνεις, τὸν στάχυν τῆς Πίστεως. ὅθεν παραδόξως, μετὰ θάνατον ὤφθης, νεφέλη πηγάζουσα, τῆς ζωῆς τὸ μαρτύριον, Ἀθληφόρε πανεύφημε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Τὸν Σταυρὸν τοῦ Σωτῆρος ἐπὶ τῆς γῆς, κεκρυμμένον ἀφείλετο ἡ σεμνὴ, χαρᾶς τε ἐμπίπλησιν, Οἰκουμένης τὰ πέρατα, καὶ Τεμένει θεσπίζει, ὑψοῦσθαι ἐν Πνεύματι, καὶ τὸ σκῆπτρον κομίζει, ἐπὶ τὰ Βασίλεια. ὅθεν ἡ Ἑλένη, τῷ Υἱῷ ἀνεβόα· ὑφάπλωσον Δέσποτα, ταῖς χερσί σου, καὶ πρόσδεξαι, τὸν δεικνύμενον ἅπασι, κράτος σου καὶ νίκας σοφὲ, καὶ τὰ Ἔθνη δίδαξον ἐν χάριτι, προσκυνεῖν τὸν Σταυρὸν καὶ τὰ Πάθη Χριστοῦ.

Ὠδὴ, δ'. Εἰσακήκοα Κύριε.

Ἀκηλίδωτον ἔσοπτρον, θείων ἐννοιῶν σαυτὴν καταστήσασα, ὡς φωστὴρ ἀριπρεπέστατος, Ἀθλητῶν ἐν μέσῳ, Μάρτυς ἔλαμψας.

Ὀφερῷ οὐ προσήνεγκας, δαίμονι θυσίαν Μάρτυς ἀήττητος. ζωηφόρον γὰρ ἠγάπησας, ὑπὲρ εὐσεβείας σπεῖσαι θάνατον.

Ὡς ἀνάλγητον φέρουσα, σὺν τοῖς Ἀθλοφόροις σῶμα ἡ ἄμεμπτος, ταῖς αἰκίαις ἀνεπαίσθητος, διετέλει θείας στοργῆς ἔρωτι.

Ἀληπαθοῦν σου τὸ πρόσωπον, Μάρτυς ταῖς βολαῖς λαμπρῶς ἐφαιδρύνετο· ἀστραπῇ δὲ Θείου Πνεύματος, τῶν ἐχθρῶν ἠμαύρου τὴν διανοίαν. Θεοτοκίον.

Ἱλασμὸν ἡμῖν δώρησαι, τῶν ἀγνοημάτων ὡς ἀναμάρτητος, καὶ εἰρηνεύσον τὸν Κόσμον σου, ὁ Θεὸς πρεσβείαις τῆς Τεκούσης σε.

Ὠδὴ, ε'. Ὀρθρίζοντες βοῶμέν σοι.

Ἡμέρας καὶ εἰρήνης ἀντίθετον, ἐπιγνοῦσα, στέργειν οὐκ ἠξίωσας, τὸν φιλοπόλεμον δαίμονα.

Νομίσας σου ἐκλύειν τὸν ἔνθεον, Μάρτυς τόνον, γέλως ἀπεδείκνυτο, ταῖς μηχαναῖς ὁ παμπόνηρος.

Παράχου φωτισμόν μοι Πανεύφημε, καὶ εἰρήνην, λύουσα πρεσβείαις σου, τὴν πολυτάραχον ἄγνοιαν. Θεοτοκίον.

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε. σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ Κόσμῳ ἐκύησας.

Ὠδὴ, ϛ'. Χιτῶνά μοι παράχου.

Ἀνδρεῖον ἐν θηλείᾳ τῇ σαρκὶ, τῆς ψυχῆς τὸ φρόνημα, φέρουσα Ἔνδοξε, τῶν ἐν ὕδασι θηρῶν κατεφρόνησας.

Νενίνηκας Τυράννων τὴν ὀφρὺν, ἀσινὴς ἐν ὕδασι, Μάρτυς ἀήττητε, σὺν θηρσὶν ὡς Ἰωνᾶς διαμείνασα.

Ἐῤῥύσατο θηρῶν διαφθορᾶς, ἐπακούσας Κύριος, σοῦ τῆς δεήσεως, ὡς ἐκ λάκκου Δανιὴλ σὲ Πανεύφημε. Θτ.

Ἡ Μόνη διὰ λόγου ἐν σαρκὶ, τὸν Λόγον κυήσασα, ῥῦσαι δεόμεθα, τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, ἦχος, β'. Χειρόγραφον.

Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ Πίστει, κατεβάλου θερμῶς, ὑπὲρ Χριστοῦ τοῦ Νυμφίου

φίου σου. ἀλλὰ καὶ νῦν ὡς τὰς αἱρέσεις, καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν Βασιλέων ἡμῶν ὑποταγῆναι, πρέσβευε διὰ τῆς Θεοτόκου, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα Θεοφόρων Πατέρων ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

Ο' Οἶκος.

ΨΙ' τῶν σῶν ἀθλημάτων, ἢ τί τῶν σῶν κατορθωμάτων, ἢ τί τῆς σῆς παρθενίας, ἢ τοῦ βίου τοῦ ἀμέμπτου θαυμάσειέ τις πρότερον; σὺ γὰρ ηὔφρανας τὸν Πατέρα, ὡς τῷ Υἱῷ νυμφευθεῖσα· τῷ Πνεύματι τῷ Ἁγίῳ σεαυτὴν κατακοσμήσασα. τίς ἱκανοῖ πρὸς ταῦτα; τίς λέγειν νῦν ἰσχύσειεν, ὅσαι σε περιλάμπουσιν ἀρεταὶ μὴ ὑποδύουσαι; ὡς οὖν Ἀνατολῆς τοῦ τάφου ἀνατέλλουσα, παντὶ φαίνεις καὶ ἀκτινοβολεῖς, ἐν γῇ καὶ ἐν θαλάσσῃ, καὶ ἐπὶ πᾶσαν ἤπειρον, ἁγιάζεις καὶ φωτίζεις τὰ πέρατα. διὰ ταῦτα πεπίστευσαι, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα Θεοφόρων Πατέρων ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

Τῷ αὐτῷ Μηνὶ ιϛ'. Τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Πανευφήμου Εὐφημίας.

ξ. Ὑπὲρ Θεοῦ κτανθεῖσαν Ἄρκτου ταῖς μύλαι,
Εὐφημίαις σε χρὴ στέφειν Εὐφημία.
Τῇ ἓξ καὶ δεκάτῃ Εὐφημίαν ἔκτανεν Ἄρκτος.

ΤΥ'τη ὑπῆρχε κατὰ τοὺς χρόνους Διοκλητιανοῦ, διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν καταχεθεῖσα, πυρὶ καὶ τροχοῖς προσπαλαίσασα, ἔτι δὲ καὶ μηχαναῖς ἑτέρων κολάσεων, βορὰ λέουσι προτεθεῖσα, καὶ ἐκ πάντων Χριστοῦ χάριτι διαμείνασα ἀλώβητος, ἐν αὐτῷ τῷ θεάτρῳ, τὴν ψυχὴν παρέδωκε τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἱερομάρτυρος Μαρτίνου Πάπα Ῥώμης.

ξ. Χερσῶνος εἰς γῆν οὖν ὀξορισθεὶς Μαρτῖνε,
Θεοῦ κελεύσει, γῆθεν ἐκλήθης ἄνω.

ΟΥ'τος ἦν ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, ὃς, ἐν τῷ τῆς δάφνης λουτρῷ, ἐν Σικελίᾳ ἀνηρέθη. ἄρτι δὲ τὸ τῶν Μονοθελητῶν ὀλέθριον δόγμα ὁ Βασιλεὺς κρατῆναι βουλόμενος, τὸν μακάριον ὡς μὴ τῇ αὐτοῦ ἀνοίᾳ κατατιθέμενον, ἐκ Ῥώμης μεταπέμψας Μαρτῖνον, καὶ κατὰ τὸν πλοῦν πάμπολλα δεινὰ ὑπομείναντα, ὥσπερ τινὰ κακοῦργον κλοιὰ περιθεὶς, τῷ Πραιτωρίῳ καθείργνυσιν. οὖν οὗ τῇ Χερσῶνι ὑπερόριον πέμπει, ἔνθα τὸ λοιπὸν τῆς ζωῆς διανύσας, πρὸς Κύριον ἐκδημεῖ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Σεβαστιανῆς.

ξ. Σεβαστιανὴ τῇ τομῇ βλύζει γάλα,
Οὐχ' αἷμα καὶ σὰρξ, ὥσπερ οὖσα πρὸς ξίφος.

ΤΥ'τη ἦν ἐπὶ Δομετιανοῦ τοῦ Βασιλέως, Μαθήτρια δὲ γέγονε Παύλου τοῦ Ἀποστόλου, καὶ καταχεθεῖσα ἐν Μαρκιανουπόλει, ὑπὸ Σεργίου Ἡγεμόνος τυφθεῖσα, καὶ εἰς κάμινον ἐμβληθεῖσα, ἔμεινεν ἀβλαβής. ἀχθεῖσα δὲ εἰς Ἀρκαδιούπολιν τῆς Θρᾴκης, καὶ Ἡράκλειαν, ἐκρεμάσθη ἐπὶ ξύλου, καὶ θηρίοις προετέθη βορὰ, καὶ πάντων ὑπὲρ ἄνω γενομένη, τὴν διὰ ξίφους ὑπέμεινεν ἐκτομὴν, ἐκχυθέντος οὖν αὐτῆς γάλακτος, αὐτὶ αἵματος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Μελιτινῆς.

ξ. Μελιτινὴ τμηθεῖσα τὴν κάραν ξίφει,
Αἷμα προσῆγεν ὡς γλυκὺ Χριστῷ μέλι.

ΤΥ'τη ἦν ἐκ Μαρκιανουπόλεως τῆς Θρᾴκης, ἐπὶ Βασιλέως Ἀντωνίνου, καὶ Ἡγεμόνος Ἀντιόχου, καὶ πολλὰ ὑποστᾶσα δεινὰ, καὶ ἐνεργήσασα πλεῖστα σημεῖα. τὰ γὰρ εἴδωλα διὰ προσευχῆς κατήνεγκεν εἰς τὴν γῆν, καὶ τὸν Ἀπόλλωνα, καὶ Ἡρακλέα ὑφ' ἓν συνέτριψε, καὶ πολλοὺς τῷ Χριστῷ προσαγαγοῦσα, τὴν κεφαλὴν ἀπετμήθη. ἀλλὰ καὶ τῇ Συζύγῳ τοῦ Ἡγεμόνος παραδοθεῖσα, ἐπὶ τῷ κατηχηθῆναι παρ' αὐτῆς, ταύτην Χριστιανὴν πεποίηκε. μετὰ δὲ τὸ ἐκτμηθῆναι τὴν κεφαλὴν, τοῦ τιμίου σώματος αὐτῆς ἀτάφου κουμένου, Ἀκάκιός τις Μακεδὼν διερχόμενος πρὸς τὴν Πατρίδα αὐτοῦ, ᾐτήσατο τὸ Λείψανον. ὁ δὲ Ἡγεμὼν, μηδὲν ὑποπτεύσας εἰς αὐτὸν, κατενεύσε. λαβὼν οὖν οὗτος, καὶ βαλὼν ἐν γλωσσοκόμῳ, ἔσπευδε πρὸς τὴν Πατρίδα. ἀῤῥωστίᾳ δὲ περιπεσὼν κατὰ θάλατταν, ἐξῆλθε τοῦ βίου. τοῦ δὲ πλοίου ἀκρωτηρίῳ τινὶ τῆς Λίμνου προσωκείλαντος, ἐν τούτῳ τὸ ἅγιον σῶμα τῆς Μάρτυρος κατετέθη. καὶ πλησίον ταύτης, ὁ φιλομάρτυς Ἀκάκιος.

Ὠδὴ, ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

ΥΠὲρ εὔνοιαν ἔφυ, τὰ τῶν θείων Μαρτύρων ἀνδραγαθήματα. ὁ Κτίστης γὰρ τῶν ὅλων, τὴν Κτίσιν ὑποτάττει, τοῖς ἐν ἄθλοις κραυγάζουσιν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

ΦΛηναφοῦντα ἐκφράττει, ἡ ἀοίδιμος Κόρη Τυραννῶν στόματα, τεθρείας παρανόμων,

μων, ἐν Πνεύματι Ἁγίῳ, θεϊκῶς ἀναμέλπεσα· ὁ τῆς Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τελὰς τῆς Ὁσίων, τὰς ἐκκαύσωπας πάλαι φλέγα τὴν κάμινον· νυνὶ δὲ ἡ Θεόφρων, Τελάδα αὐυμνῆσα, ὑπηρέτας ἐζώγρησε, τὸν τῆς Πατέρων Θεὸν, ὑμνοῦντας εἰς αἰῶνας.

Υσικῶς ὁ νυμφίος, πρὸς τιὼ παίγνιον Νύμφιον, ἐν τῇ καμίνῳ μολῶν, τὸ Πνεύματος τῇ δρόσῳ, Πατρὸς τῇ εὐδοκίᾳ, διεσώσατο ψάλλοσαν· ὁ τῆς Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ. Ὠδὴ, ἡ. Τὸν Βασιλέα.

Ἀβιωτάτη ἐν γυναιξὶ τὸ Ὑψίσε, αὐτὴ φέρνης ἔχουσα τιὼ χάεν, ἔψαλλες ὑμνοῦσα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ενδρωμένη τὸν λογισμὸν τοῦ Νυμφίου, τῷ αὐλῷ ἔρωτι τὸ σῶμα, δέδωκας θανάτῳ, καὶ ζῇς εἰς τοὺς αἰῶνας.

Απὸ τῆς πλάνης ὥσπερ πυρσὸς ὁπλισθεῖσα, τῷ Ἁγίῳ Πνεύματι ἡ Μάρτυς, ἤραστο βραβεῖα, εἰς πάντας τοὺς αἰῶνας.

Ὑ ψυχοφθόρον μόρον ἔλαε Σεμνὴ, ἀλλ' ἀθαρσῶς, τοῦ θηρὸς τῷ δήγματι ἀγήρω, ἔμειπτε ἠλλαξω, ζωὴν εἰς τοὺς αἰῶνας.

Οὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας. Ὠδὴ, θ'. Σὲ τιὼ ἀπαρόγαμον.

Ὑσις ζῶντος αἵματος, τεκμήριον τῆς ἀκηράτε, σοὶ δεδωρημένης αὖθεν, ζωῆς Μάρτυς παυδόφημε. Τῆ γὰρ ἰαμάτων, θησαυρὸς ἀδιάλειπτος, τοῖς ἐν πίστει ἁρυομένοις ἀναδέδεξαι.

Ψατό σε θανάτου, Θεόφρον φύσεως τῷ νόμῳ. ὅσις ζωηφόρον νέκρωσιν, ἀπαθῶς ἀμφιένυσιν. ἢ ὡς ψυχικὸν σε σῶμα θεῖσα τὸ πανάγιον, ζῇς ἀφθάρτως, καὶ μαρτυρεῖ σοι τὰ αἱμόρρυτα.

Ὁμοις τῆς ἀθλήσεως, ζεφθεῖσα Μάρτυς Χριστοκήρυξ, Τόμον δυσεβῶς πεπίσθυσαι, Εὐφημία δογμάτων δὲ, ὃν ἐκ χειρῶν Σιωνιτικῶν, σήλη κατέχουσα, ὥσπερ ζῶσα, Ὀρθοδοξίας ἐπιδέικνυσαι. Ὠδὴ, ι'. Τὸν Νυμφίον παρθενικὸν, τὸ σκεῦος τὸ τῆς ὁσίας, σὲ ὡς ἀληθῆ καὶ ἄμωμον, καὶ τῷ Λόγῳ νεφέλην φωτὸς, σὲ ὡς δεξαμένην τὸν Οὐράνιον ὄμβρον ἐν τῇ νηδύϊ, Παρθενομῆτορ μεγαλυνόμεν.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν.

Ἡ τῆς παυδόφημε Μάρτυρος Εὐφημίας, τιὼ μνήμιω σωτελθόντες ἀυδόφημον. ὥστε γὰρ τὸν ὅρον Ὀρθοδοξίας, ἐκ τῆς Πατέρων ἔλιφε, καὶ τοῦτον διατηρῶσα, τὰς ὀρθοδόξας λαμπρύνει.

Ἕτερον, τῶ Σταυρῶ. Ὅμοιον.

Σταυρὸς τῷ Κόσμῳ πέφυκε σωτηρία. Σταυρὸς Ἁγίων παύπων ἡ Βακτηρία. Σταυρὸς Βασιλέων τὸ σεμνόωμα. Σταυρὸς Πιςῶν ὀχύρωμα. Σταυρὸς ἀνθρώπων ἡ ῥῶσις. Σταυρὸς δαιμόνων ἡ πῶσις.

Εἰς τοὺς Αἴνους, ἰςῶμεν ξι. δ'. καὶ ψάλλομεν ξβ. Ἰδιόμ. τῆς Ἁγίας, ἦχος, γ'.

Θλητικὴν παυήγυριν πιςοὶ, Θεοφρόνως τελεσείωι θεώμενοι, τῷ θαυμαςῷ ἐν βαλαῖς Θεῷ ἡμῶν, ἐγκωμιαςήριον ὕμνον μελῳδήσωμεν. τὸ γὰρ ἀόρατον κράτος τῆς ἐναντίας δυνάμεως, ἐν γυναικεία φύσει κατηγωνίσατο, καὶ τιὼ θείαν ἑαυτῆ δυναμιν, ἐν ἀθλήσει πεπλεώσας τῆς καλλιμάρτυρος. ταῖς αὐτῆς πρεσβείαις, σῶσον τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Ληθείας κρατῆρα, ἐξ οἰκείων αἱμάτων ἀθλητικῶν, ἡ παυδόφημος Μάρτυς Χριστῆ κερασαμένη, καὶ τοῦτον ἀενάως τῇ Ἐκκλησίᾳ προπεθεμένη, ἐν αὐτῇ τοὺς τῆς δυσεβείας τροφίμους, σοφίας φωνῇ, προτρέπεται λέγουσα· ἀρύσασθε πόμα, τῆς ἀναγάσεως μαρτύριον, παθῶν καθαρτήριον, δυσεβῶν δὲ ψυχῶν φυλακτήριον, τῷ Σωτῆρι κράζοντες· ὁ ποιήσας ἡμᾶς, χειμάῤῥων τῆς τρυφῆς τοῦ Πνεύματος, σῶσον τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Ῥαγὶ Αἵματι Χυθεῖσαι τὰς ψυχὰς σφραγισθεῖσα, εἰς ἡμέραν ἀπολυτρώσεως, αἷμα ἅγιον ἐκμαρτυρικῆς πηγῆς ἀναβλύζον ἡμῖν, ἀφροσυνης πνεύματικῆς προφητικῶς ἀπηλλάξωμεν, τῇ ζωηρύτων Παθημάτων τοῦ Σωτῆρος, καὶ τῆς ἀϊδίε δόξης μορφωτικόν. διὸ αὐτῷ βοήσωμεν· ὁ ἐνδοξαζόμενος ἐν τοῖς Ἁγίοις σε Κύριε, ταῖς τῆς παυδόφημε σε Ἀθλοφόρε πρεσβείαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα

Δευτερῶμεν τὸ α΄. Δόξα, ἦχος π.β΄.
Ἰωάννου Μοναχοῦ.

Ἐκ δεξιῶν τοῦ Σωτῆρος, παρέστη ἡ Παρθένος, καὶ Ἀθληφόρος, καὶ Μάρτυς, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, καὶ βοῶσα πρὸς αὐτὸν, ἐν ἀγαλλιάσει τὴν λαμπάδα κατέχουσα· εἰς ὀσμὴν μύρου σου ἔδραμον Χριστὲ ὁ Θεὸς, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ· μὴ χωρίσῃς με Νυμφίε Ἐπουράνιε. αὐτῆς ταῖς ἱκεσίαις, κατάπεμψον ἡμῖν, παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

Καὶ νῦν. Ὁ αὐτός.

Ἡμέρον τὸ φυτὸν τῆς ζωῆς, ἐκ τῶν τῆς γῆς ἀδύτων ἀνιστάμενον, τοῦ ἐν αὐτῷ παγέντος Χριστοῦ, πιστοῦται τὴν Ἀνάστασιν, καὶ ἀνυψούμενον χερσὶν ἱεραῖς, τὴν αὐτοῦ πρὸς Οὐρανοὺς καταγγέλλει ἀνύψωσιν· δι' ἧς τὸ ἡμέτερον φύραμα, ἐκ τῆς εἰς γῆν καταπτώσεως, εἰς Οὐρανοὺς πολιτεύεται, διὸ εὐχαρίστως βοήσωμεν· Κύριε ὁ ὑψωθεὶς ἐν αὐτῷ, καὶ δι' αὐτοῦ συνανυψώσας ἡμᾶς, τῆς Οὐρανίου χαρᾶς ἀξίωσον τοὺς ὑμνοῦντάς σε.

Ἀποστίχου, ζι. ἦχ. π.β΄. Τριήμερος ἀνέστης.

Ὅτε ἔστησαν οἱ πόδες Χριστοῦ, τὸν τόπον προσκυνήσωμεν, ἀνυψοῦντες, τὸν τρισόλβιον Σταυρὸν, ἐν ᾧ κατεκενώθη, τὸ Αἷμα τοῦ Δεσπότου, τὸ βλύσαν Κόσμῳ τὴν ἀνάστασιν.

ζι. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Νεκρώσαντες τὰ πάθη σαρκὸς, καὶ πνεύματος θεόφρονες, ἐπειχθῶμεν, ὑψωθῆναι ἀπὸ γῆς, Οὐρανίον πρὸς λῆξιν, Σταυροῦ τῇ Ἀνυψώσει, συσταυρωθέντες τῷ Δεσπότῃ Χριστῷ.

ζι. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ὠῤῥύτος ἐκ Θείας Πλευρᾶς, πηγὴ σαφῶς ἐξέβλυσε, τοῦ Σωτῆρος, καταρδεύουσα ψυχὰς, τῶν πίστει προσκυνούντων, τὸ θεῖον Πάθος τούτου, καὶ τὸν Σταυρὸν καὶ τὴν Ἀνάστασιν.

Δόξα, ἦχος, α΄. Βυζαντίου.

Ἡμέρον χοροὶ Πατέρων πανεύφημε, συναθροισθέντες διὰ Χριστὸν, τὸν τόμον σοι προσάγουσι, τῆς Ὀρθοδόξου Πίστεως. ὅν περ λαβοῦσα ἐν ταῖς τιμίαις σου χερσὶ, φυλάττεις μέχρι τέλους. ὅθεν καὶ βροτῶν χοροστασίαι συνελθόντες, τὴν σὴν ἄθλησιν γεραίρομεν, βοῶντες εὐσεβῶς· χαίροις πανεύφημε, ἡ τὴν ὀρθόδοξον καὶ πατροπαράδοτον Πίστιν, ἄτρωτον φυλάξασα. χαίροις, ἡ πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. τῆς Ἑορτῆς, ἦχος, α΄.
Ἀνδρέου Ἱεροσολυμίτου.

Ἡμέρον ὡς ἀληθῶς, ἡ ἁγιόφθογγος ῥῆσις τοῦ Δαβὶδ πέρας εἴληφεν. ἰδοὺ γὰρ ἐμφανῶς τὸ τῶν ἀχράντων ποδῶν σου προσκυνοῦμεν ὑποπόδιον, καὶ ἐν τῇ τῶν πτερύγων σου ἐλπίζοντες σκιᾷ, Πανοικτίρμον βοῶμέν σοι· σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου. τοῦ ὀρθοδόξου λαοῦ σου τὸ κέρας ἀνυψῶν, τῇ τοῦ τιμίου Σταυροῦ σου Ἀνυψώσει, Χριστὲ πολυέλεε.

Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας. Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. ζι. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ὁ Ἀπόστολος. Πρὸς Γαλάτας. Ἀδελφοὶ, συνεργοῦντες. Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, ἠρώτησέ τις τῶν Φαρισαίων τὸν Ἰησοῦν. Ζήτει τῇ β΄. τῆς δ΄. Ἑβδομάδος τοῦ Λουκᾶ. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ ΙΖ΄.

Τῆς Ἁγίας Μάρτυρος Σοφίας, καὶ τῶν τριῶν Θυγατέρων αὐτῆς, Πίστεως, Ἀγάπης, καὶ Ἐλπίδος.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ζι. ς΄. καὶ ψάλλομεν ζι. τῆς Ἑορτῆς προσόμοια, ἦχος δ΄.
Ἔδωκας σημείωσιν.

Ἡμέρον ἐξέλαμψε, φωτοειδῆς ὥσπερ Ἥλιος, ὁ Σταυρός σου ὁ τίμιος, Χριστὲ στηριζόμενος, ἐν Κρανίου τόπῳ, τῷ δεδοξασμένῳ, καὶ ἀνυψούμενος Σωτὴρ, ἐπὶ τὸ ὄρος σου τὸ πανάγιον, δηλῶν ἐμφαντικώτατα, ὡς δι' αὐτοῦ Παντοδύναμε, τὴν ἡμῶν φύσιν ὕψωσας, Οὐρανοῖς ὡς φιλάνθρωπος.

Ἀνήγγειλαν σήμερον, οἱ Οὐρανοὶ ἀκατάληπτε, τοῖς ἀνθρώποις τὴν δόξαν σου. φαιδρῶς ἐξαστράψας γὰρ, τοῦ Σταυροῦ ὁ τύπος, φέγγει ἀπροσίτῳ, τὴν μανιώδη καὶ σκληρὰν, τῶν Θεοκτόνων γνώμην διήλεγξε. διό σου τὴν φιλάνθρωπον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Σταυρὸς ὁ πανάγιος, τὸ ἀκατάληπτον τρόπαιον, ἀπὸ γῆς φανερούμενον, σήμερον προέρ-

προέρχεται, ὥσπερ κεκρυμμένος, θησαυρὸς πλουτίζων τὴν Οἰκουμένην ταῖς αὐγαῖς, τῆς παγκοσμίου αὐτοῦ χρηστότητος. διὸ τὴν ὑπεράγαθον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ Παντοδυνάμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερα τῶν Ἁγίων Ὅμοια.

ΠΑρθένοι Νεανίδες, φύσεως νόμῳ δουλούμεναι, καὶ σαφῶς κρατυνόμεναι, ἀγάπῃ τοῦ Κτίσαντος, τὸν δεσμὸν τῆς πλάνης, διέλυσαν πίστει, καὶ τὸν ἀνίσχυρον ἐχθρὸν, ἀνδρειωθεῖσαι, πίστει συνέτριψαν, καὶ νίκης διαδήματι, φωτοειδῶς ἐκοσμήθησαν, καὶ Νυμφῶνα κατῴκησαν, νοητῶς ἀγαλλόμεναι.

ΠΙστις ἡ πανεύφημος, καὶ ἡ Ἀγάπη ἡ ἔνδοξος, καὶ Ἐλπὶς ἡ θεόσοφος, ἀρετῶν ἐπώνυμοι, τῶν φαεινοτάτων, ἀναδεδειγμέναι, ἀθλητικῶς τὸν πονηρὸν, καταβαλοῦσαι, τὸν τὴν Προμήτορα, δολίως ἀπατήσαντα, τοῦ Παραδείσου τὴν οἴκησιν, θεωθεῖσαι ἀπέλαβον, ὑπὲρ πάντων πρεσβεύουσαι.

ΑΥρὸς κατεφρόνησαν, καὶ πολυτρόπων κολάσεων, καὶ θανάτου αἱ πάνσεμνοι. Νυμφίου τὸ κάλλος γὰρ, τοῦ ὡραιοτάτου, πίστει ἐκζητοῦσαι, διὰ ποικίλων αἰκισμῶν, ὡραιωθεῖσαι, τούτῳ συνήφθησαν, Σοφίας τὰ βλαστήματα, Πίστις Ἐλπὶς καὶ Ἀγάπη τε. δι' αὐτῶν ἡμᾶς Κύριε, τῶν δεινῶν ἐλευθέρωσον.

Δόξα, καὶ νῦν. ἦχος πλ. β'.

ΩΝ Προφητῶν αἱ φωναὶ, τὸ Ξύλον τὸ Ἅγιον προκατήγγειλαν. δι' οὗ τῆς ἀρχαίας ἠλευθερώθη κατάρας, τῆς τοῦ θανάτου ὁ Ἀδάμ. ἡ δὲ Κτίσις σήμερον, ὑψουμένου τούτου, συνυψοὶ τὴν φωνὴν, τὸ ἐκ Θεοῦ αἰτουμένη πλούσιον ἔλεος. ἀλλ' ὁ μόνος ἐν ἐλέει ἀμέτρητος Δέσποτα, ἱλασμὸς γενοῦ ἡμῖν, καὶ σῷσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν ξι. ξι. ἦχ. β'. Οἶκος τοῦ Ἐφραθᾶ.

ΖΥλον τὸ τοῦ Σταυροῦ, ὑψούμενον ὁρῶντε, μεγαλωσυνὴν δῶμεν, Θεῷ τῷ Σταυρωθέντι, σαρκὶ δι' ἀγαθότητα.

ξι. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

ΛΥσιν τῶν δυσχερῶν, καὶ κτῆσιν τῶν ἀρίστων, ὑψούμενος βραβεύει, τῷ γένει τῶν ἀνθρώπων, Σταυρὸς Χριστοῦ ὁ Ἅγιος.

ξι. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

ΟΤε τὸν Ἀμαλὴκ, Μωσῆς κατετροποῦτο, Χριστοῦ προγράφων Πάθος, Σταυρὸν προδιετύπου, δαιμόνων ἀμυντήριον.

Δόξα, καὶ νῦν. Ὅμοιον.

ΔΕῦτε χαρμονικῶς, ἀσπασώμεθα πάντες, τὸ Σωτήριον Ξύλον, ἐν ᾧ ἐξετανύθη, Χριστὸς ἡ ἀπολύτρωσις.

Τροπάριον. Σῷσον Κύριε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ξιλό. Ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων.

Οὗ ἡ Ἀκροξι.

Τῆς Σοφίης ἀρίδηλα καὶ ἀγλαὰ τέκνα λιγαίνω. Θεοφάνους.

Ὠδὴ α'. ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος.

ΨΗς ὑπερκοσμίου σου Χριστὲ, καὶ τῆς ἀφράστου σοφίας τὴν ἔλαμψιν, δώρησαί μοι Δέσποτα, τὰς εὐπρεπῶς καὶ εὐκλεεῖς σου Μάρτυρας, ὅπως ἀνυμνήσω, τὰ τῆς Σοφίας βλαστήματα.

ΗΠροσηγορία σου σαφῶς, τῇ πολιτείᾳ θεόφρον κεκόσμηται. πᾶσαν γὰρ διήνυσας, σοῦ τὴν ζωὴν, τῷ τῆς σοφίας ἔρωσι, ἔνδοξε Σοφία, σοφίας λάμψασα χάριτι.

ΟΟῦ ὁ παμμακάριστος καρπὸς, τῆς ὑπερθέου σοφίας ποσότητι, ἐγκαλλωπιζόμενος, ἀθλητικῶς ὑπὲρ ἐκείνης ἔλαμψε, πάνσοφε Σοφία, σοφίας θείας ἐπώνυμε.

ΩΜα καὶ ψυχὴν δι' ἀρετῆς, ἐκκαθαρθεῖσαι Παρθένοι Νεανίδες, τρεῖς σοι προσηνέχθησαν, μαρτυρικῶς τῷ νοητῷ Νυμφίῳ Χριστῷ, Πίστις σὺν Ἐλπίδι, καὶ ἡ Ἀγάπη ἡ ἔνδοξος. Θεοτοκίον.

ΟΛην τὴν μορφήν μου προσλαβὼν, ὁ ἐν μορφῇ Θεοῦ πρὶν καθορώμενος, ὅλην ἀνεκαίνισεν, ἐν σῇ γαστρὶ θεοπρεπῶς σκηνώσας Ἁγνή. ὅθεν Θεοτόκον, πιστοί σε πάντες δοξάζομεν.

Ὠδὴ γ'. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

ΦΩνῆς ἐπακούσασαι Χριστοῦ, καλοῦντος πρὸς ἀθάνατον, καὶ ἀπαθῆ ζωὴν ἠκολούθησαν, στεφανηφόροι Παρθένοι Μάρτυρες, τοῦ βοᾶν σοι Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀγράντου σου δόξης φιλάνθρωπε.

ΣΧὴν ἐδωρήσατο Χριστὸς, ἑστώσαις πρὸ τοῦ βήματος, μαρτυρικῶς ὑμῖν ὡς ὑπέσχετο, καὶ θεοπνεύστου σοφίας ἔπλησε, καὶ λαμπρᾶς ἀνέδειξε, νικηφόρους Μάρτυρας, παρθενίας λαμπούσας τῇ χάριτι.

ΗΜβλύνατε νῦν τὸν δυσμενῆ, Παρθένοι τὸν μεγάλαυχον, καὶ τὴν αὐτοῦ ὀφρὺν κατεβάλετε, μεγαλοφρόνως ἀγωνισάμεναι,

καὶ

καὶ τὸν πρὶν καυχώμενον, ἐξαλείφειν θάλασσαν, ταῖς ῥοαῖς τῶν αἱμάτων ἐπνίξατε.

ΣΟφίας τῆς ἄνωθεν Χριστοῦ, πλουσίως ἐμφορούμεναι, τῆς ἐκλεκτῆς Σοφίας, καὶ ἔμφρονος, αἱ Θυγατέρες αἱ τρεῖς κατῄχυναν, Τυραννούντων φρύαγμα, καὶ μανίαν ἄχετον, ῥητορεύουσαι θεῖα διδάγματα. Θτ.

ΑΓίων τὸν ἅγιον Χριστὸν, ἁγίως ἀπεκύησας, ἁγιωσύνης ἅγιον Σκήνωμα, τὸν ἐν Ἁγίοις ἀναπαυόμενον. ᾧ βοῶμεν· ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης φιλάνθρωπε.

Κάθισμα τῶν Ἁγίων, ἦχος, πλ.

Τὴν Σοφίαν καὶ Λόγον.

ΜᾺς ψυχὰς δεσμευθεῖσαι πόθῳ Χριστοῦ, τῶν φθαρτῶν καὶ προσκαίρων τὴν καλλονὴν, ἐν λήθῃ παρεδράμετε, ὡς τοῦ Λόγου Μαθήτριαι, ἀσκητικῶς τὸ πρῶτον, τὰ πάθη νεκρώσασαι, καὶ ἀλγειναῖς βασάνοις, στερρῶς ἐναθλήσασαι. ὅθεν ὁ Δεσπότης, τῆς διπλῆς μαρτυρίας, στεφάνους ἐδωρηρήσατο καὶ νυμφῶνος ἠξίωσε, παμμακάριστοι Μάρτυρες. πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. τῆς Ἑορτῆς.

Τὸ προσταχθὲν μυστικῶς.

ἘΝ Παραδείσῳ μὲν τὸ πρὶν, ξύλον ἐγύμνωσεν, ἐπὶ τῇ γεύσει ὁ ἐχθρὸς, εἰσφέρων νέκρωσιν. τοῦ Σταυροῦ δὲ τὸ Ξύλον, τῆς ζωῆς τὸ ἔνδυμα, ἀνθρώποις φέρον, ἐπάγη ἐπὶ τῆς γῆς, καὶ Κόσμος ὅλος ἐπλήσθη πάσης χαρᾶς. ὃν ὁρῶντες ὑψούμενον, Θεῷ ἐν πίστει λαοὶ, συμφώνως ἀνακράξωμεν· πλήρης δόξης ὁ οἶκός σου.

Ὠδὴ, δ'. Ὅρος σε τῇ χάριτι.

ΡΩσθεῖσαι τῇ χάριτι, τῇ θείᾳ καλλίνικοι, Πίστις Ἀγάπη καὶ Ἐλπὶς, τὰς τῶν Τυράννων ἀπειλὰς ἀνδρείως κατῄχυναν, διὰ πυρὸς ὁλοκαυτούμεναι πάνσοφοι, καὶ τῷ Νυμφίῳ Χριστῷ προσαγόμεναι.

ΤΞχυσαν τοῦ Σταυροῦ, τῇ πανοπλίᾳ φραξάμεναι, Πίστις Ἀγάπη καὶ Ἐλπὶς τὰς τῶν κολάσεων πληγὰς, εὐτόνως αἱ Ἅγιαι, ὑπενεγκεῖν μέχρις αἱμάτων στερρότατα, πρὸς τὴν ἁμαρτίαν ἀντικαθιστάμεναι.

ΔΥνάμει καὶ πόθῳ τῆς Τριάδος ἐρρώσθησαν, Πίστις Ἀγάπη καὶ Ἐλπὶς, αἱ τῆς Τριάδος τῆς σεπτῆς, Παρθένοι ἰσάριθμοι, τῶν ἀλγεινῶν τὴν δριμυτάτην ἐπίτασιν, ὑπενεγκεῖν αἱ πάνσεμνοι ἴσχυσαν.

ΗΞχυναν καὶ Κόραι τρυφεραὶ τοῦ ἀλάστορος. διὰ Σταυροῦ καταβαλεῖν, τὴν ὑπερήφανον ὀφρὺν, καὶ πρὸς γῆν κατέβαλον, περιφανῶς τὸν πρὶν ἀμέτρως καυχώμενον, τὴν Οἰκουμένην πᾶσαν καταλήψεσθαι.

ΑΑμπάδες τρισάριθμοι σοφίας ἀστράπτουσαι, Πίστις Ἀγάπη καὶ Ἐλπὶς, τοῖς τῆς Τριάδος φωτισμοῖς, σαφῶς λαμπρυνόμεναι, διαφανῶς τὰς Ἐκκλησίας φωτίζουσι, πρὸς σωτηρίαν ἡμῶν καὶ ἀντίληψιν.

Θεοτοκίον.

ΑΓίων Ἁγία Θεοτόκε πανύμνητε, ἡ προσδοκία τῶν Ἐθνῶν, καὶ σωτηρία τῶν Πιστῶν, ἐκ σοῦ ἀνατέταλκεν, ὁ Λυτρωτὴς καὶ Ζωοδότης καὶ Κύριος, εἰς Σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

ΚΑρτερίᾳ τῶν φρενῶν τὰς βασάνους ὑπέμειναν. καὶ σοφίας τῆς ἐνθέου λαλοῦσαι Μυστήρια, τὴν κρατοῦντα ἤχυναν, αἱ τρεῖς Παρθένοι θεοφόροι, Πίστει καὶ φύσει συνδούμεναι.

ΑΓάλλεται ἡ Προμήτωρ ὁρῶσα νικώμενον, τὸν δόλιος τὸν αὐτὴν ἐξ Ἐδὲμ ἐξορίσαντα, γυναιξὶ θεόφροσιν, Ἐλπίδι Πίστει καὶ Ἀγάπη, τοῖς τῆς Σοφίας γεννήμασι.

ΤΟβόλους τοῦ Τυράννου θωπείας ἐξέφυγον, καὶ βασάνων τὰς πληγὰς ἑκουσίως ὑπέμειναν, ὡς σεμναὶ Νεανίδες, τῆς σῆς ἀγάπης τετρωμέναι, Χριστὲ καὶ θείου σου ἔρωτος.

Θεοτοκίον.

ΑΓάλλονται Οὐρανῶν αἱ Δυνάμεις ὁρῶσαί σε, εὐφραίνονται σὺν αὐτοῖς τῶν βροτῶν τὰ συστήματα. τῷ γὰρ τόκῳ ἥνωνται τῷ σῷ, Παρθένε. Θεοτόκε· ὃν ἐπαξίως δοξάζομεν.

Ὠδὴ, ς'. Ἐκύκλωσεν ἡμᾶς.

ΤΗθόμεναι ταῖς σαῖς ἀχραντοις Δέσποτα, παλάμαις ἐναπέθεντο, τὰς ἐλπίδας αἱ Νεανίδες αἱ τρεῖς, καὶ τῆς Τριάδος τῇ ποσότητι, καὶ ἀριθμῷ τετιμημέναι, καὶ σεμνυνόμεναι.

ΑΜπόμεναι τῆς παρθενίας κάλλεσι, Μαρτύρων διαδήμασιν, ἐκοσμήθησαν, καὶ στέφανον διπλοῦν ἄνωθεν ἀξίως ἐκομίσαντο, παρὰ Χριστοῦ τοῦ ζωοδότου, καὶ πανοικτίρμονος.

ΤΝήχθησαν ἐν τῷ Ναῷ σου Δέσποτα, τοῦ πάντων Βασιλεύοντος, παρθενεύοντα

κειμήλιε σεπτὰ, σοῦ τῆς Βασιλείας κοινωνήσαντα· σὺ γὰρ αὐτῶν, καὶ φῶς ὑπάρχεις, καὶ ἀγαλλίαμα. Θεοτοκίον.

Ἀ Γάλλονται ἐν σοὶ Παρθένε ἄχραντε, τοῦ γένους οἱ Προπάτορες, τὴν Ἐδὲμ, ἀπολαβόντες διὰ σοῦ, ἣν ἐκ παραβάσεως ἀπώλεσαν. σὺ γὰρ ἁγνὴ, καὶ πρὸ τοῦ τόκου, καὶ μετὰ γέννησιν.

Κοντάκιον, ἦχος, α. Χορὸς Ἀγγελικός.

Σοφίας τῆς σεμνῆς, ἱερώτατοι κλάδοι, ἡ Πίστις καὶ Ἐλπὶς, καὶ Ἀγάπη δειχθεῖσαι, σοφίαν ἀπεμώραναν, τῶν Ἑλλήνων ἐν χάριτι. καὶ ἀθλήσασαι, καὶ νικηφόροι φανεῖσαι, στέφος ἄφθαρτον, παρὰ τοῦ πάντων Δεσπότου, Χριστοῦ ἀνεδύσαντο. Ὁ Οἶκος.

Ὅτε εἰς πάντα τὰ πέρατα, τὸ ἀθέμιτον οὐξελήλυθε πρόσταγμα. θύειν εἰδώλοις, καὶ σπένδεσθαι, καὶ βωμοὺς δαιμόνων, καὶ ναοὺς ἐντρεπίζεσθαι, πρὸς ἀνθρώπων ἀπώλειαν· τότε αἱ πανεύφημοι καὶ καλλιπάρθενοι, ὡς ἀστέρες οὐξέλαμψαν, ζόφον ἀθείας, καὶ ἀγνωσίας διώκουσαι, καὶ φέγγος εὐσεβείας ἐν ταῖς καρδίαις τῶν πιστῶν ὑπανάπτουσι, τρανῶς ἐκβοῶσαι· Θεὸς μέγιστος ἐστὶν ὁ σταυρωθεὶς βουλήματι, καὶ ἀναστὰς τριήμερος, ἐν ᾧ καὶ καυχώμεθα. ὅθεν καὶ ἐπαξίως, στέφος ἄφθαρτον παρὰ Χριστοῦ ἀνεδύσαντο.

Μηνὶ τῷ αὐτῷ ἑπτὰ καὶ δεκάτῃ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, καὶ καλλινίκων Παρθένων Πίστεως, Ἐλπίδος, καὶ Ἀγάπης, καὶ τῆς μητρὸς αὐτῶν Σοφίας.

ξι. Τῇ πρὸς σὲ πίστει Πίστις, Ἐλπὶς, Ἀγάπη,
Αἱ Τρεῖς Τριὰς κλίνουσιν αὐχένας ξίφει.
Ἑβδομάτῃ δεκάτῃ Ἀγάπην τάμον, Ἐλπίδα, Πίστιν.

Ἅτ' ται ὑπῆρχον οὐξ Ἰταλίας, ἐπὶ τῆς Βασιλείας Διοκλητιανοῦ. ἀχθεῖσα οὖν ἡ Πίστις, ἐτῶν ὑπάρχουσα δώδεκα, καὶ ὁμολογήσασα τὸν Χριστὸν. ῥαβδίζεται, καὶ τοὺς μαστοὺς σιδήρῳ ἐκκόπτεται· οὐξ ὧν αὐτὶ αἵματος, γάλα ἔρρεύσε. μετὰ ταῦτα εἰς ἐχάραν πυρὸς ἀπορρίπτεται, καὶ ἄφλεκτος μείνασα πυρὶ, τὴν κεφαλὴν ἀποτέμνεται. ἔπειτα ἡ Ἐλπὶς ἐτῶν ὑπάρχουσα δέκα, βουνεύροις τύπτεται, καὶ εἰς πῦρ ἀπορρίπτεται. ἀναρτηθεῖσα ξέεται, εἰς λέβητα ἐμβάλλεται, καὶ παραδόξως, ῥυσθεῖσα, καὶ αὕτη τὸν διὰ ξίφους δέχεται θάνατον. εἶτα ἡ Ἀγάπη χρόνων οὖσα ἐννέα, καὶ αὕτη ὁμοίως ἀνεσκολοπίσθη, καὶ μείνασα ἀβλαβὴς, ἀπετμήθη τὴν κάραν. ἡ δὲ Μήτηρ αὐτῶν Σοφία, μετὰ τρίτην τούτων ἡμέραν, τῷ τάφῳ αὐτῶν παραμένουσα, τὴν ψυχὴν τῷ Κυρίῳ παρατίθησι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Ἀγαθοκλείας.

ξι. Ἀγαθόκλεια πῦρ ἐπ' αὐχένος φέρει,
Δεινῆς πλάνης φλέγουσα δεινὸν αὐχένα.

Ἥ Τις ἐγένετο Νικολάου Θυγάτηρ ἀπὸ Χριστιανῶν, καὶ Παυλίνης τῆς αὐτοῦ γυναικός. ἥτις πολλὰς τῇ Ἀγαθοκλείᾳ προσήνεγκε θλίψεις, ἐπὶ χρόνοις ὀκτὼ, ἀκροτόμοις λίθοις αὐτὴν κατὰ τοῦ αὐχένος τύπτουσα, καὶ γυμνοῖς τοῖς ποσὶν, εἰς τραχεῖς καὶ δυσβάτους τόπους ἐλαύνουσα, καὶ σιδηρᾷ σφύρᾳ τὰς πλευρὰς αὐτῆς συνθλῶσα, καὶ τὴν γλῶτταν ἐκκαίουσα. ἐπεὶ δὲ οὐκ ἔπειθε, πῦρ αὐτῇ κατὰ τοῦ τραχήλου ἐπενεγκοῦσα, τῆς παρούσης ζωῆς ἀπορραγῆναι κατηνάγκασε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Μαξίμου, Θεοδότου, καὶ Ἀσκληπιοδότης.

ξι. Μιᾷ γυναικὶ καὶ νεανίσκοις δύο,
Πρὸς τὴν τομὴν ἣν καρδιῶν ζέσις μία.

Οὗ τοι τυφθέντες, καὶ ἀκρωτηριασθέντες, καὶ ἐν ἀφεγγεῖ φυλακῇ καθειρχθέντες διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, τέλος τὰς κεφαλὰς ἀπετμήθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Λουκίας, καὶ Γεμινιανοῦ τοῦ Υἱοῦ αὐτῆς καὶ Μάρτυρος.

ξι. Εἰρηνικῶς σὴ Χριστὲ δούλη Λουκία.
Εἰρηνικὸν μετῆλθεν ὄντως εἰς τόπον.
Θάρσους ὁ Μάρτυς Γεμινιανὸς γέμων,
Τομὴν ὑπέστη καρτερῶς τὴν ἐκ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Θεοδότης.

ξι. Τὴν Θεοδότην πρὸς ξίφος τεθηγμένην,
Ποιεῖ πρόθυμον, ἡ Θεόσδοτος χάρις.

Βασιλεύοντος ἐν τῇ Πρεσβυτέρᾳ Ῥώμῃ τοῦ Ἀλεξάνδρου, ἀπεστάλη Σιμπλίκιος ἐν τῇ τῶν Καππαδοκῶν Χώρᾳ, καὶ ἐμηνύθη αὐτῷ ἡ Θεοδότη, ἐκ τῆς Ποντικῆς οὖσα Χώρας, σφόδρα πλουσία. ἥτις καὶ παραστᾶσα, ὡς οὐκ ἐπείθετο ἀποστῆναι τῆς εἰς Χριστὸν Πίστεως, ἀπῃωρηθεῖσα ἐπὶ πολλαῖς ταῖς ὥραις, τὰ σπλάγχνα ἐφλέγετο, καὶ ἐδόξαζε τὸν Θεὸν, καὶ ὡς ἄλλου πάσχοντος, ἐδόκει τοὺς ξεσμοὺς ὑποφέρειν. εἶτα καταχθεῖσα, φρουρεῖται,

ρεῖται. καὶ μεθ' ἡμέρας ὀκτὼ, τῆς φυλακῆς αὐτομάτως ἀνοιγείσης, ὡς εἶδον οἱ φύλακες ἐξέστησαν, καὶ δραμόντες ἀπήγγειλαν τῷ Σιμπλικίῳ. οὐκ ἐπίστευσε δὲ αὐτοῖς, ἀλλὰ τῇ ἑξῆς ἀχθείσης τῆς Ἁγίας, ὡς εἶδε ταύτην ὁ Σιμπλίκιος ὅλην ὑγιῆ, καὶ μηδέν τι ἴχνος τῶν μωλώπων ἐν τῷ σώματι φέρουσαν, λέγει πρὸς αὐτήν· τίς εἶ; ἡ δὲ Ἁγία, ἠμαύρωταί σου ἡ διάνοια φησίν; εἰ γὰρ νήφων ἦς, ᾔδεις ἄν, ὅτι ἐγώ εἰμι ἡ Θεοδότη. τούτων ἀκούσας ὁ Σιμπλίκιος, κλίβανον ἐκκαυθῆναι προστάσσει, τούτου δὲ ἐκκαυθέντος, καὶ τῆς Ἁγίας ἐν τούτῳ ἀκοντισθείσης, ἐκχυθεῖσα ἡ φλὸξ, ὡσεὶ τὸν ἀριθμὸν ἑβδομήκοντα ἄνδρας ἐνέπρησεν· οἱ δὲ καταλειφθέντες, τὸν κλίβανον ἀναφράξαντες, ὑπεχώρησαν. καὶ τῇ ἑξῆς ὁ Ἄρχων δύο Ἱερεῖς ἀποστείλας μεθ' ἑτέρων τινῶν, τὸν χοῦν τοῦ σώματος αὐτῆς λικμηθῆναι προσέταξεν. ἀνοιγέντος δὲ τοῦ κλιβάνου, τὸ μὲν πῦρ ἐξελθὸν, κατέκαυσε τοὺς δύο Ἱερεῖς, οἱ δὲ λοιποὶ, ὡς εἶδον τὴν Ἁγίαν μέσον δύο νεανίσκων λευχειμονούντων καθημένην, καὶ ψάλλουσαν, ἐκπλαγέντες, ὡσεὶ νεκροὶ γεγόνασιν. ἐξῆλθε δὲ ἡ Ἁγία ἀπὸ τοῦ κλιβάνου ἀβλαβὴς, χαίρουσά τε, καὶ ψάλλουσα· ἣν καὶ λαβόντες, ἀπήγαγον ἐν τῇ φυλακῇ. ἐπεὶ δὲ ἔμελλεν ὁ Σιμπλίκιος εἰς τὸ Βυζάντιον ὁδεύειν, προσέταξε καὶ τὴν Ἁγίαν συνακολουθεῖν αὐτῷ δέσμιον. τούτου δὲ γενομένου, καὶ τοῦ Σιμπλικίου ὑποστρέψαντος, καὶ ἐν Ἀγκύρᾳ προκαθεσθέντος, ἐδέησε παραστῆναι τὴν Ἁγίαν. πρὸς ἣν φησὶν ὁ Σιμπλίκιος· ἐὰν μὴ πεισθῇς μοι, καὶ θύσῃς τοῖς Θεοῖς, δείξας τῇ χειρὶ, ἐν ταύτῃ τῇ πεπυρακτωμένῃ σε ἐχάρᾳ ἀπολέσω. ἡ δὲ πρὸς αὐτόν· εἰ καὶ ὁ Λιβελλήσιος εἰσέλθῃ μετ' ἐμοῦ, καὶ τοῦ πυρὸς κυριεύσῃ, θύσω κἀγὼ τοῖς Θεοῖς σου. καὶ ὁ Σιμπλίκιος πρὸς τὸν Δωρόθεον· τοῦτο γὰρ ἦν ὄνομα τοῦ Λιβελλησίου· Δωρόθεε, κὺρ Λιβελλήσιε, τὴν τῶν θεῶν ἔχων βοήθειαν, εἴσελθε. εἰσελθὼν οὖν σὺν τῇ Ἁγίᾳ, εὐθὺς παρανάλωμα γέγονε τοῦ πυρός. ἡ δὲ ἐξῆλθεν ἀβλαβής. ἐξαπορήσας οὖν ὁ Ἄρχων, δεσμευθῆναι καὶ αὖθις τὴν Ἁγίαν κελεύει, καὶ πρὸς Βιθυνίαν ἀπάγεσθαι. καὶ ἐπεὶ τὴν Νίκαιαν κατέλαβον, ἐκέλευσεν ὁ Ἄρχων εἰσελθεῖν τὴν Ἁγίαν ἐν τῷ εἰδωλείῳ, καὶ προσεύξασθαι. τῆς δὲ περιχαρῶς τοῦτο καταδεξαμένης, τὰ εἴδωλα πάντα εἰς γῆν πεσόντα, κατετρίβησαν. καὶ ἐξεπλάγησαν οἱ παρευρεθέντες, ἰδόντες τὴν τῶν Θεῶν συντριβήν. μανεὶς οὖν ὁ Ἄρχων, ἐκέλευσε, ταθῆναι ἐκ τεσσάρων τὴν Ἁγίαν, καὶ ταθεῖσαν πρισθῆναι. καὶ τούτου γενομένου, ὁ μὲν πριστὴρ ἠμβλύνετο μὴ ἔχων τὸ ἐνεργοῦν· οἱ δὲ δήμιοι ἠτόνουν, καὶ ἡ Ἁγία ἄνετος ἦν, εὐχαριστοῦσα τῷ Σωτῆρι Θεῷ. ὁ γοῦν Σιμπλίκιος ἔτι σκοτισθεὶς, τὴν διὰ ξίφους τελευταίαν πληγὴν τῇ Μάρτυρι ἀπεφήνατο, καὶ οὕτως ἀπετμήθη τὴν κεφαλήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων ἑκατὸν Μαρτύρων.

ξι. Δεκὰς δεκαπλῆ Μαρτύρων Αἰγυπτίων,
Μιᾷ κεφαλὰς τέμνεται προθυμίᾳ.

Εἰς τὸν Ἅγιον Πηλέα, καὶ Νεῖλον τοὺς Ἐπισκόπους.

ξι. Ἄπους ὁ Πηλεὺς ποῦ μέγας πρὸς πηλέους,
Νείλῳ σὺν εἰσβαίνοντα, καὶ πυρὸς μέσον.

Εἰς τοὺς ἐν Παλαιστίνῃ μστ'. Μάρτυρας.

ξι. Θεοφρονοῦντες ἄνδρες ἐξ εὐβουλίας.
Πυρὸς καταφρονοῦσιν ἐξ εὐτολμίας.

Ὅτι κατὰ τῶν Χριστιανῶν διωγμοῦ παρὰ τῶν ἀσεβούντων συγκροτηθέντος, κατεχέθησαν ἀπὸ μὲν τῆς Αἰγύπτου, Ἐπίσκοποι Πηλεὺς καὶ Νεῖλος, καὶ δύο ἐνδοξότατοι Πατερμούθιος καὶ Ἠλίας, καὶ ἕτεροι σὺν αὐτοῖς ἄνδρες ἑκατόν. ἐκ δὲ Παλαιστίνης πεντήκοντα. καὶ οἱ μὲν ἑκατὸν μὴ πεισθέντες τὴν εἰς Χριστὸν ἀρνήσασθαι Πίστιν, πρότερον τοὺς ὀφθαλμοὺς ἐξορυχθέντες, εἶτα καὶ τῶν ἀριστερῶν ποδῶν τὰς ἀγκύλας ἀποτμηθέντες, τῇ τῶν μετάλλων κακοπαθείᾳ παρεδόθησαν, καὶ οὕτω τὸ μακάριον τέλος ἐδέξαντο.

Εἰς τὸν Ἅγιον Πατερμούθιον καὶ Ἠλίαν.

ξι. Πατερμούθιος ἔμπεσὼν τῇ καμίνῳ,
Πρὸς ζῆλον ἴσον ὀτρύνει τὸν Ἠλίαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Χαραλάμπους, καὶ Παντολέοντος, καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ τούτων συναξις, ἐν τῷ Μαρτυρείῳ αὐτῶν, τῷ ὄντι ἐν τῷ δευτέρῳ.

ξι. Χαίρων ὑπῆρχε πρὸς σφαγὴν Χαραλάμπης
Καὶ Παντολέων πρὸς μάχαιραν ἦν λέων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Ἱερομαρτύρων, Ἡρακλείδους, καὶ Μύρωνος, Ἐπισκόπων Ταμάσου τῆς Κύπρου.

ξι. Πα-

ξι. Πυρᾷ τεθέντες Ἡρακλείδης, καὶ Μύρων, Θεῷ προσηυέχθησαν ὡς ὀσμὴ μύρου. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ἐλέησον.

Ὠδὴ, ζ'. Σὲ νοητὴν Θεοτόκε κάμινον.

Ῥιοσοφεγγεῖ εὐιαίᾳ χάριτι, καταλαμπόμεναι σαφῶς, αἱ Παρθένοι δαιμονικὴν, ἔλυσαν σκοτόμαιναν, φῶς τὸ Τρισυπόστατον, θεολογοῦσαι καὶ μέλπουσαι· ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ἐν Οὐρανοῖς τὰς παστάδας ἔχουσαι, λαμπαδηφόροι τὰς ψυχὰς, σὺν Ἀγγέλοις χαρμονικῶς, νῦν περιχορεύετε, δόξαν τὴν ἀΐδιον συνθεωροῦσαι καὶ λέγουσαι· ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Καρτερικὴν ὡς οἱ Παῖδες ἔνστασιν, ἐπιδειξάμεναι τὸ πῦρ, κατεπάτησαν ἀνδρικῶς. τούτων γὰρ ἰσάριθμοι, γνώμην ἰσοστάσιον, αἱ Θεοφόροι ἐκτήσαντο, τὸν αἰνετὸν τῶν Πατέρων ἀεὶ Θεὸν δοξάζασαι. θ'.

Νέμοις Ἁγνὴ τῶν πταισμάτων ἄφεσιν, τοῖς ἀνυμνοῦσί σε πιστῶς, λύτρουμένη τῶν πειρασμῶν, πάσης περιστάσεως. σὲ γὰρ νῦν κεκτήμεθα, καταφυγὴν Θεονύφευτε, ὡς αἰνετὸν τῶν Πατέρων Θεὸν σαρκὶ βαστάσασαν.

Ὠδὴ, η'. Ἐν καμίνῳ Παῖδες.

Αἱ παρθένοι αἱ θεοφεγγεῖς, Πίστις, Ἐλπὶς, Ἀγάπη, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγουσαι· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀμπηδόνας καὶ φωτοειδεῖς, διὰ τῶν μαρτυρίου, προδήλως γεγενημένας, τὰς Παρθένους οἱ πιστοὶ, ὑμνήσωμεν λέγοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀμάτων ῥεῖθρον δαψιλῶς, ἀφθόνως καὶ πλουσίως, αἱ θῆκαι τῶν Ἀθληφόρων, ἀναβρύουσιν ἀεὶ, τοῖς πίστει κραυγάζουσιν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Τῆς Ἁγίας πέφηνας Ἁγνὴ, τὸν ζωηφόρον στάχυν, τεκοῦσα τῆς ἀϊδίου, ζωῆς πρόξενον Χριστὸν, ᾧ πάντες κραυγάζομεν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Τύπον τῆς ἁγνῆς.

Αἴγλης τριφεγγοῦς πληρούμεναι, καὶ λαμπηδόνος θείας νῦν ἐμφορούμεναι, αἱ ὁμώνυμοι τῶν ἀρετῶν καὶ φερώνυμοι, τῆς Ἀγάπης Ἐλπίδος καὶ Πίστεως, ἐλπίδι καὶ ἀγάπῃ ἡμᾶς, καὶ πίστει βεβαιώσατε.

Ἵνα ἡ ἐξ ὕψους δύναμις, νῦν κατευνάσῃ τὸν κατέχοντα κλύδονα, τῆς αἱρέσεως ὦ Ἀθληφόροι ἀήττητον, καὶ βραβεύσῃ πιστοῖς τὴν ὁμόνοιαν, αἰτεῖσθε δυσωποῦμεν, ἀκαταπαύστως καλλιπάρθενοι.

Νύκτα τὴν τοῦ βίου Πάνσοφοι, διαδραμοῦσαι τὴν ἡμέραν ἐφθάσατε, τὴν ἀνέσπερον, μαρτυρικῶς ἀγαλλόμεναι, καὶ Παρθένων καυχώμεναι χάριτι, καὶ Θείας Βασιλείας, τῆς ἀκηράτου ἀξιούμεναι.

Θεοτοκίον.

Ὦ Πῶς ἡ Παρθένος τέτοκε, τὸν ἀεὶ ὄντα Λόγον καὶ ἐνυπόστατον, τὸ ἀπαύγασμα τῆς Πατρικῆς ὑποστάσεως, τὸν ἡμῶν εὐεργέτην καὶ Κύριον, ἐξ αὐτῆς σαρκωθέντα· ὃν ἐπαξίως μεγαλυνόμεν.

Ἐξαποστειλάριον. Ὁ Οὐρανόν.

Ὦ τῆς Τριάδος Κόραι, πυρούμεναι αἱ τρεῖς ζήλῳ, τῶν ἀρετῶν τῇ τριάδι, Ἐλπίδι, Πίστει, Ἀγάπῃ, προσκείμεναι ὁμωνύμως, ἠλόγησαν τῶν βασανῶν.

Θεοτοκίον. Ὅμοιον.

Ὃν ποιητὴν τῶν αἰώνων, καὶ τῶν Ἀγγέλων Δεσπότην, ἀποτεκοῦσα Παρθένε, τοῦτον ἱκέτευε δεῖξαι, τῆς δεξιᾶς παραστάτας, μερίδος τοὺς σοὺς οἰκέτας.

Εἰς τὸν ξι. ξι. ἦχος, β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἀόγχην σὺν τῷ Σταυρῷ, τοὺς ἥλους καὶ τὰ ἄλλα, ἐν οἷς τὸ ζωηφόρον, Χριστοῦ ἐπέβη σῶμα, ὑψοῦντες προσκυνήσομεν.

ξι. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ὕλην φθοροποιὸν, ἐξαίρει ἁμαρτίας, τὸ τοῦ Σταυροῦ σου Ξύλον, ὑψούμενον Σωτήρμου, λαμπρύνει καὶ τὰ σύμπαντα.

ξι. Ὁ δὲ Θεὸς Βασιλεύς.

Ὕδατι θεουργῷ, καὶ Αἵματί σου Λόγε, λαμπρῶς ἡ Ἐκκλησία, στολίζεται ὡς Νύμφη, Σταυροῦ τὴν δόξαν μέλπουσα.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Χαίροις τὸ τῶν Πιστῶν, φυλακτήριον Θεῖον, ἀπροσμάχητον τεῖχος, Σταυρὸς ὁ τοῦ Κυρίου, δι' οὗ ἀπὸ γῆς ἤρθημεν.

Μηνί

Μηνὶ τῷ αὐτῷ ΙΗ'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐμενίου Ἐπισκόπου Γορτυνίης τοῦ Θαυματουργοῦ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἰσῶμεν ξι. ς'. καὶ ψάλλομεν ξι. τῆς Ἑορτῆς προσόμοια γ'. ἦχος, α'.

Τῶν Οὐρανίων Ταγμάτων.

Ὁ ἀνυψούμενον Ξύλον, τῆς σωτηρίας ἡμῶν, ἐν ᾧ Χριστὸς τὰς χεῖρας, ἡ ζωὴ τῶν ἁπάντων, προσήλωσε βουλήσει, πάντας πιστοὺς, προσκαλεῖται ἐν ᾄσμασιν, ἑορταζόντων μετ' ἤχου τοῦ προσκυνεῖν, ὑποπόδιον τὸ θεῖον αὐτοῦ.

Ὧν Ἐγκαινίων τὴν μνήμην, τῆς Ἀναστάσεως, δι' ἧς τοῖς ἐν τῷ σκότει, φῶς ἐπέλαμψε μέγα, ζωῆς καὶ ἀφθαρσίεις, δεῦτε Πιστοὶ, ἐκτελοῦντες ὑψώσωμεν, τὸ ζωοπάροχον Ξύλον τὸ τοῦ Σταυροῦ, προσκυνοῦντες τὸν Σωτῆρα Χριστόν.

Μωσῆς ὁ μέγας ὁ πάλαι, ἐπὶ τοῦ Ὄρους Σινᾶ, σταυροειδῶς τὰς χεῖρας, ἐκπετάσας εἰς ὕψος, ἐτύπου τὸν Σταυρόν σου, Χριστὲ ὁ Θεὸς, τὸν ὑψούμενον σήμερον, καὶ ἁγιάζοντα πάντας τοὺς ἐπὶ γῆς, ἐν αὐτῷ σε προσκυνοῦντας πιστῶς.

Ἕτερα τοῦ Ἁγίου, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἣν ψυχὴν καὶ τὸ σῶμά σου, τῶν παθῶν καθηράμενος, τοῦ Ἁγίου Πνεύματος οἶκος γέγονας, καὶ Ἱερέων ἐν χρίσμασιν, σαυτὸν κατεκόσμησας, παραστάτης δεξιὸς, χρηματίσας Εὐμένιε, καὶ συνόμιλος, τῶν Ἁγίων Ἀγγέλων, καὶ τῆς δόξης, τοῦ Κυρίου κληρονόμος. καὶ πρεσβευτὴς τῶν ὑμνούντων σε.

Ὁ Περίδοξος βίος σου, ἀρεταῖς φαιδρυνόμενος, τῶν θαυμάτων ἔλαμψε ταῖς φαιδρότησι, καὶ εὐκλεῆ σε τοῖς πέρασι, παμμάκαρ εἰργάσατο, καὶ φωστῆρα ἀπλανῆ, καὶ Ἁγίων ὁμόσκηνον, καὶ τῆς Πόλεως, τῆς Ἁγίας πολίτην, Ἱεράρχα, τῶν Ἀγγέλων συμπολῖτα, θαυματουργὲ ἀξιάγαστε.

Ὧν Κρητῶν ἐγκαλλώπισμα, τῆς Γορτυνίης τὸν Πρόεδρον, Ἐκκλησίας ἄσειστον, τὸν θεμέλιον, τὸν Ἱεράρχην Εὐμένιον, ἐν θαύμασι μέγιστον, καὶ δυνάμεσι πολλαῖς, γεγονότα περίδοξον, καὶ φωτίσαντα, τὰς ἐν ζόφῳ καρδίας, ὡς φωστῆρα, τῶν πιστῶν μεγαλοφώνως, οἱ συνελθόντες τιμήσωμεν.

Δόξα, καὶ νῦν. ἦχος, δ'.

Οὗ τιμίου Σταυροῦ σου Χριστὲ τὴν ἐνέργειαν, προδιατυπώσας Μωϋσῆς, ἐτροποῦτο τὸν ἐναντίον Ἀμαλὴκ, ἐν τῇ ἐρήμῳ Σινᾶ. ὅταν γὰρ ἐφήπλου τὰς χεῖρας Σταυροῦ τὸν τύπον ποιῶν, ἐνίσχυεν ὁ λαός. νυνὶ δὲ δὲ τῶν πραγμάτων ἡ ἔκβασις, εἰς ἡμᾶς πεπλήρωται. σήμερον Σταυρὸς ὑψοῦται, καὶ δαίμονες φυγαδεύονται. σήμερον ἡ Κτίσις πᾶσα ἐκ τῆς φθορᾶς ἠλευθέρωται. πάντα γὰρ διὰ Σταυροῦ ἐπέλαμψεν ἡμῖν τὰ χαρίσματα. διὸ γηθόμενοι πάντες προσπίπτομέν σοι λέγοντες. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, δόξα σοι.

Ἀποξι. ξι. ἦχος, πλ.β'. Τριήμερος ἀνέστης.

Ἀπίσματα ὑπηνέγκας, καὶ Σταύρωσιν Μακρόθυμε, καὶ ὀνείδη, θέλων πάντας ἐκ χειρὸς, λυτρώσασθαι τοῦ πλάνου, ὁ μόνος ζωοδότης, καὶ πανοικτίρμων καὶ φιλάνθρωπος.

ξι. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Μιμῶ σου τὸν Σταυρὸν, ἀγαθὲ τοὺς ἥλους καὶ τὴν λόγχην Σωτὴρ, δι' ὧν πάντας ἐλυτρώσως τῆς φθορᾶς, ὡς μόνος ζωοδότης, καὶ πάντων εὐεργέτης μόνε φιλάνθρωπε Σωτὴρ ἡμῶν.

ξι. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Σταυρῷ προσηλωθεὶς δι' ἐμὲ, Σωτήρ μου ὑπεράγαθε, ἐρραπίσθης, καὶ ὑβρίσθης λυτρωτὰ, καὶ ὄξος ἐποτίσθης, καὶ λόγχῃ ἐκεντήθης, καὶ πάντα φέρεις ἀναμάρτητε.

Δόξα, καὶ νῦν. ἦχος πλ.β'.

Σήμερον Ξύλον ἐφανερώθη. σήμερον γένος Ἑβραίων ἀπώλετο. σήμερον διὰ ν Βασιλέων ἡ Πίστις φανεροῦται. καὶ ὁ Ἀδὰμ διὰ τοῦ ξύλου ἐξέπεσε· καὶ πάλιν διὰ Ξύλου δαίμονες ἔφριξαν. Παντοδύναμε Κύριε, δόξα σοι.

Τροπάριον. Σῶσον Κύριε τὸν λαόν σου.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ξιλο. Ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου. Οὗ ἡ ἀκροξι. Εὐχαῖς δίδου μοι Χριστὸν εὐμενῆ Μάκαρ.

Ἰωσήφ. Ὠδὴ, α'. ἦχος, β'.

Δεῦτε λαοὶ, ᾄσωμεν.

Ἔχων Χριστὸν, Πάτερ Θεόφρον Εὐμένιε, τῶν σῶν καθυπακούοντα, θείων ἐντεύξεων, εὐμενῆ τοῦτον μάκαρ, ἀπέργασαι τοῖς πόθῳ ἀνευφημοῦσί σε.

Ὑψο-

Ὑψοποιὸν, ἀπὸ νεότητος Ὅσιε, ἠγαπηκὼς ταπείνωσιν, τὸν ὑπερήφανον, ἐταπείνωσας ὄφιν, καὶ χάριν ἰαμάτων σαφῶς ἐπλούτησας.

Χωρητικὸν, Πνεύματος ὄργανον γέγονας, τὰ τῆς σαρκὸς φρονήματα, πολλαῖς ἀσκήσεσι, τῇ ψυχῇ ὑποτάξας. τῷ κρείττονι τὸ χεῖρον σὺ δουλωσάμενος.

Θεοτοκίον.

Αἱ περὶ σοῦ, νῦν Προφητεῖαι πεπλήρωνται, Θεοκυήτορ Δέσποινα. ὃν γὰρ προήγγειλαν, ὑψηγόρως ἐν μήτρᾳ, ἐχώρησας ἐν δύο τελείαις φύσεσι.

Ὠδὴ, γ'. Στερέωσον ἡμᾶς.

Διέτρεχες σπουδῇ καθὼς μέλιττα, λιμῶνας τοὺς λογικοὺς Ἱεράρχα, τὸ γλυκὺ μέλι θηρώμενος, καὶ καρδίας τοῖς σύμβλοις ἐντιθέμενος.

Ὁ Βίος καθαρὸς, ὁ λόγος ἅλατι, τῷ θείῳ Εὐμενίε ἠρτυμένος, διεδείκνυ σου τὴν ἔνδοξον, κεκρυμμένην καὶ χάριν καὶ λαμπρότητα.

Ὑψώθης ἀρεταῖς καλλωπιζόμενος, καὶ θρόνων ἐπέβης ὑψηλοτάτων, Μύρῳ Θείῳ χρισθεὶς Πνεύματος, καὶ Χριστοῦ εὐωδία γνωριζόμενος. Θεοτοκίον.

Μαρία τὸ χρυσοῦν θυμιατήριον, παθῶν μου ἀπέλασον τὸ δυσῶδες, καὶ στερέωσον κλονούμενον, προσβολαῖς τοῦ δολίου πολεμήτορος.

Ἦχος, πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ὀρθοδόξοις ἐμπρέπων Πάτερ διδάγμασι, τὰς ζοφώδεις αἱρέσεις πάσας ἐμείωσας, καὶ θαυμάτων αὐτουργὸς, δειχθεὶς Εὐμενίε, περιβόητος παντὶ, προμηθείᾳ θεϊκῇ, ἐγένου. ὅθεν σε πίστει, τιμῶμεν ὡς Ἱεράρχην, καὶ τῶν Ἀγγέλων ὁμότιμον.

Δόξα, τὸ αὐτό. καὶ νῦν. Ὅμοιον.

Ὁ πανάγιον Ξύλον τοῦ Βασιλέως Χριστοῦ, ἀναλάβωμεν πίστει, ἐπὶ τῶν ὤμων ἡμῶν, καὶ τοῦ βίου τὰ τερπνᾶ ἀπορρίψωμεν· ὃ οἱ πάλαι Βασιλεῖς, ἀναλαμβάνοντες πιστῶς, ἐνίκησαν πολεμίους, καὶ φῦλα τὰ τῶν βαρβάρων, τῇ δυνάμει τούτου ἀνέτρεψαν.

Ὠδὴ, δ'. Εἰσακήκοα Κύριε.

Οἶκος γέγονας Πνεύματος, θείοις ναοῖς, χολάζων Ἱεράρχα, καὶ σεπταῖς μελέταις ὡραϊζόμενος.

Ἱεράρχης θεόληπτος, Πάτερ σοφὸ, καὶ Πρόδρος Γορτυνίης, γεγονὼς θαυμάτων, αἴγλην ἀπήστραψας.

Χάσμα μέγα τοῦ δράκοντος, τῶν προσευχῶν, ἐνέπρησας λαμπᾶσι, κατὰ σοῦ ὁρμήσαντος Ἱερώτατε.

Ῥωμαλαίῳ φρονήματι, τὸν δυσμενῆ, κατέπτωσας ἀνδρείως, καὶ ὁρμὰς λεόντων, σὺ ἐχαλίνωσας. Θεοτοκίον.

Ἱεραὶ προκατήγγειλαν, πάλαι φωναὶ, τοῦ τόκου σου τὸ βάθος, ὧν νῦν, τὰς ἐκβάσεις, εἴδομεν Ἄχραντε.

Ὠδὴ, ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Εὐνέσιν ἔχηκας, ὡς εἰρηνεύσας ἐκ παθῶν Ὅσιε, νοῦν καὶ ψυχήν. ὅθεν διαλύεις τὰς ἔριδας πιστῶς, τῶν Βασιλευόντων, καλῶς πειθομένων σοι.

Ἀς ἀκοὰς ὑποθεὶς, σοὶ Βασιλέων ὁ Πιστὸς, ἔλυσεν, ἔχθραν μακρὰν, ὄλεθρον γεννῶσαν, καὶ τὴν ἀδελφικὴν, ὁμόνοιαν στέργει. Θεόφρον Εὐμενίε.

Οἷα πυρσὸς ἐπιστὰς, Ῥώμην φωτίζεις ἐκτελῶν θαύματα, καὶ τοὺς παθῶν, βυθῷ νυχομένους, πρὸς ὅρμον γαληνὸν, ἰάσεων Μάκαρ, σοφῶς ἐκκαλούμενος. Θεοτοκίον.

Νέον ὡς βρέφος ἡμῖν, τὸν προαιώνιον Υἱὸν τέτοκας, θελητικαῖς, δυσὶν ἐνεργείαις, ὑπάρχοντα διπλοῦν, ὡς Ἄνθρωπον ἅμα, Θεόν τε Πανάμωμε.

Ὠδὴ, ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἐνεργῇ θησαυρὸν ἀδαπάνητον, ἔχων ἐν καρδίᾳ σου Χριστὸν Εὐμενίε, ὥσπερ πηλὸν λελόγισαι, τὸν χρυσὸν Βασιλεὺς ὃν παρέχε σοι.

Ὑψηλὴν εἰς καθέδραν ἐκάθησας, Πάτερ τῆς εἰρήνης φθεγξάμενος πρόσρημα τῇ Ἐκκλησίᾳ ἄνωθεν. ὅ περ νῦν τῇ προσκλήσει σεμνύνεται.

Μὴ Βραχεὶς ἁμαρτίας διέπλευσας, βίου τὸ κλυδώνιον τὸ πολυώδυνον, καὶ τοὺς λιμένας ἔφθασας, ἔνθα δῆμος Ὁσίων εὐφραίνεται. Θεοτοκίον.

Ἐπὶ σὲ καταβὰς ὁ Οὐράνιος, ὄμβρος χερσωθεῖσαν τὴν γῆν Ἀειπάρθενε, Θεογνωσίας νάμασι, καταρδεύσας πολύφορον ἔδειξε.

Κοντάκιον, ἦχος, β'. Τὰ ἄνω ζητῶν.

Φωτὶ Θεϊκῷ, ἐλλαμφθεὶς παμμακάριστε, φωτίζεις ἡμᾶς, τοὺς πόθῳ ἀνυμνοῦντάς σου,

τὴν

τῳ σεπτῳ ϗ εὔδοξον, ϗ ἁγίαν Πάτερ μεπάσασιν, Ἱεράρχα Εὐμενίε. πρεσβεία γὰρ ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Ὁ Ἴκτειρον Κύριε τὸν σὸν δοῦλον, ϗ συγχώρησον πάντα τὰ ὀφελήματα νῦν, ϗ δώρησαί μοι τὸ ἔλεος τῆς ἀπλαγχνίας σου· ἵνα ὕμνοις σε δοξάζω ἀπαύστως, ϗ τὸν πιστόν σου θεράποντα σέβω ᾠδαῖς, τὸν Προέδρον Γορτύνης σήμερον, Εὐμένιον τὸν φωστῆρα, γῆς πάσης τὸ μέγα κειμήλιον, τῆς Ἐκκλησίας τὸ ζήλημα, ϗ τῆς Κρήτης τὸ θεῖον ἀγλάϊσμα. πρεσβεία γὰρ ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ ιή. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐμενίε Ἐπισκόπε Γορτυνίας.

Ξ. Τὸ λαὸν Εὐμένιος ὅμμα Γορτυνίης, Παυόμενες κατεῖδον ὅμμα Κυρίε.

Ὀγδοάτῃ δεκάτῃ θανεν Εὐμένιος μεγαλήτωρ.

Ὁ Τος ὁ Εὐμένιος, ἐκ νεότητος πολλαῖς σκληραγωγίαις ἀσκήσεως ἑαυτὸν καθυποβαλών, τὴν ἄκραν ταπείνωσιν ἐκτήσατο. διὸ ϗ τὰς οἰκίας τῆς κτ Γορτυνίων Ἐκκλησίας πιζάνεται. ἔτος δεινότατον δράκοντα καθ' αὑτὸν ὁρμήσαντα, λαμπάσι κατέφλεξεν. ἐκεῖθεν δὲ τῷ Ῥώμῃ καταλαβών, οἷά πις πυρσὸς τοῖς θείαις διδαχαῖς καταφώτισε, σημείοις ϗ πράσι πολλοῖς καταπλήξας. κἀκεῖθεν τὴν Θηβαΐδα καταλαβών, ϗ μὴ βουλόμενος παραυτίκα τὸ αὐχμὸν τῶν κατίφθαν καταγέλλα. οἱ δὲ Παῖδες τῆς Θηβαίων τῇ Πατρίδι ϗ Ποίμνῃ τὸ τότε Σκιῶος παραπέμπουσι, Ῥάξος ὄνομα τῷ τόπῳ, ἵπις καὶ Κυρίλλα τὸ σεπτὸν κατέχα σῶμα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίων Μαρτύρων γυναικῶν Σοφίας ϗ Εἰρήνης.

Ξ. Εἰρήνη ϗ Σοφία τιμηθεῖσαι χάρας, Σὲ τῷ ὑπὲρ νῶν ἆθον εἰρήνου Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Ἀγλαΐδης.

Ξ. Σφῦζα ῥαγεῖσα τῷ Ἀγλαΐδῃ πέτρα. Χριστὸς γὰρ αὐτῷ ἔσκεπε ζωῆς πέτρα.

Τῇ ἐπὶ Ἀδριανοῦ, ϗ Ἀντωνίνε τῆς Βασιλέων ἤθλησε, δόλῳ πνὸς χθημαπάσασα Τερτύλλε πρώτε τῆς Προμισέων Πόλεως, Φρυγίας Σαλουταρίας, ϗ διὰ τὸ μὴ θελῆσαι αὐτῷ σωφρονῆσαι ἐπὶ τοῖς γεγενημένοις τῆ παιδὸς τῆ Κυρίλλε αὐτῆς ἐν τῷ ναῷ τῶν εἰδώλων, ξέσθη σφοδρῶς, ϗ ἀφέθη. ἐπὰ δὲ πάλιν ἐδιώκετο ὑπὸ τῆ Ἡγεμόνος, πέτρα πνὶ πλησιάσασα, ηὔξατο ῥυσθῆναι. ϗ θείᾳ νάσει ῥαγέσης αὐτῆς, μέσον αὐτῆς ἐρέθη, τῷ πετρῶν αὖθις εἰς αὐ σωμελθόσων. οἱ δὲ διώκοντες αὐτῷ ἄνδρες ξ ἐπιφανείας Ἀγγέλων ἐφίππων δόρατα κατεχόντων, διεφθάρησαν, ϗ ἀπώλοντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆ Ἁγίε Ἱερομάρτυρος Συμεὼν Ἐπισκόπου Ἱεροσολύμων, Τῆ Ἰωσὴφ τῆ Μνήσορος, ἀδελφῆ δὲ Ἰακώβ τῆ Ἀδελφοθέε.

Ὁ Τος ὑπῆρχον ἐπὶ Τραϊανῆ τῆ Βασιλέως, δάτερος Ἐπίσκοπος Ἱεροσολύμων γενόμενος. οὗτος κατηγορηθεὶς ὑπὸ τῆ αἱρετικῶν ϗ ἀπίσων, ὑπάρχων ἐτῶν ἑκατὸν ἔκοσι, ϗ πολλαῖς αἰκίαις ξεπαθεὶς, τὸ τελεταῖον, Σταυρῷ προσαγεὶς, τὸ πνεῦμα τῷ Θεῷ παρατίθησι.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶ Ἁγίε Μάρτυρος Κάσορος.

Ξ. Οὐ θὴρ ὁ Κάσωρ, ἀλλ' αὐὴρ τις γενναῖος, Ἢ μᾶλλον ἁπᾶν αὐθεναῖς πρὸς αἰκίας.

Τῶν αὐτῷ ἁγίων πρεσβείαις.

Ὠδὴ, ζ. Εἰκόνος χθυσῆς.

Ἐκρῶν λογισμῶν, προθυμίᾳ τῆς ψυχῆς καπακαυχώμενος, ἐν βαθυπάτῳ γήρᾳ Ὅσιε, ἀποδημίας ἐκέχθησο, ἐπ' ἐργεσίᾳ τῷ πίςε, δεχομένων Εὐμενίε, σὲ τὸν πορέα τῷ σεπτῶν, ϗ ἱερῶν διδαχῶν.

Ἐ Ῥώμῃ τῷ σῶν, ἀπολαύσασα καλῶν ἐδῶρον πεθόμενον, τῇ Θηβαΐδι μὴ βουλόμενον, Πάτερ ἐκπέμπα Εὐμενίε. σὺ θα γεγονὼς αὐαγέλλεις, τὸ αὐχμὸν τῶν κατίφθαν, τῇ ἐπομβρίᾳ τῷ σεπτῶν δ' χῶν σε Ὅσιε.

Ἁ Ζοῖς ἐκτραφεὶς, ἐγκρατείας τὸ σεπτὸν γάλα ἐθήλασας, ϗ ἡλικίας μέτρον ἔφθασας, αὐσεχθεὶς εἰς ἀκρώρειαν, Πάτερ ἀρετῶν ϗ Ἡλίε, ἀπαυράψας φαιδρότερον, θεοσημείας τοῖς πυκτὶ, καπαχεθεῖσι παθῶν.

Ἅγ. Τ' Ἅλως φωτὸς, εἰκπτέμον ἡ σὴ μήτρα γεγενῆται, τὸ φερπωρίας θείας γνώσεως, τὴν ἀθεΐαν μεώσαντος, Ἀχράντε Θεόνυμφε Κόρη. ὃν ὑμνοῦντες κραυγάζομεν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῷ Πατέρων ἡμῶν.

Ὠδὴ, ή. Τῶν ἐν καμίνῳ τὸ πυρός.

Ἀπαπαλάσας τὸν ἐχθρὸν, ϗ τὸν δρόμον τὸν καλὸν διαπελέσας, βαθυπά-

τῳ

τῳ ἐν γήρᾳ, πρὸς τοὺς Πατέρας τοὺς σοὺς, μετέβης σῖτος ὥσπερ ὥριμος, ξένης ἐπὶ χώρας, λαβὼν τοῦ βίου πέρας.

Ἀ'Μνημονήσαντες τῶν σῶν, οὐδαμῶς Πάτερ καλῶν Παῖδες Θηβαίων, τῇ Πατρίδι καὶ Ποίμνῃ τὴν ἱεραν σου Σορὸν, αἰσίως κρατυύαντες πέμπουσιν. ἧς τῇ ἐπανόδῳ, θαυμάτων βρύει χάρις.

Ῥ'Ἄξος Κυρίλλου τὸ σεπτὸν, καὶ πολύαθλον τὸ πρὶν κατέχον σῶμα, καὶ τὸ σὸν νῦν συγκρύπτει, παραπλησίως Σοφὲ, συνάψας τοὺς βίῳ ὁμόφρονας. οὓς ἡ ἄνω φέρει, Πατρὶς εἰς τοὺς αἰῶνας. θ'.

Ἱ'Ερωτάτη Προφητῶν, σὲ προγράφει ἀληθῶς σεμνὴ χορεία, ἀλατόμητον Ὄρος Ῥάβδον καὶ Πύλην. δι' ἧς διῆλθεν ὡς οἶδεν ὁ Ὕψιστος, πάλιν κεκλεισμένην, ἐάσας σε Παρθένε.

Ὠδὴ, θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ὡ'Σ τοῦ Χριστοῦ Ἱεράρχης, ἐκ δυνάμεως Πάτερ, εἰς δύναμιν μετέβης θαυμαστῶς. ἔνθα χοροὶ ἱερώτατοι, λειτουργοῦσιν ἐν φόβῳ, Τριάδι τῇ σεπτῇ μετὰ πασῶν, Οὐρανίων παμμάκαρ, Εὐμένιε δυνάμεων.

Ϛ'Τῆσον τὴν νῦν καταιγίδα, τῆς Πατρίδος τὸ Θεῖον, ταῖς σαῖς ἐξευμενίζων προσευχαῖς, βαρβαρικὴν Μάκαρ ἔφοδον, τὴν ἡμᾶς τυραννοῦσαν, καὶ πέρας συνωθοῦσαν τῶν κακῶν, εἰς βυθὸν ἀπωλείας, ἀοίδιμε Εὐμένιε.

Ἡ'Σὴ πανίερος μνήμη, συγκαλεῖται Ποιμένας, Ὁσίους καὶ λαὸν τὸν εὐσεβῆ, ἁγιασμὸν πᾶσι φέρουσα. ἣν τελοῦντας πλουσίως, καταύγασον ἡμᾶς μαρμαρυγαῖς, τῶν ἐν σοὶ χαρισμάτων, πανεύφημε Εὐμένιε. Θεοτοκίον.

Φ'Έρεις τὸν φέροντα πάντα, Θεϊκῇ δυναστείᾳ, καὶ τρέφεις ἐκ μαζῶν πᾶσαν πνοὴν, τὸν διατρέφοντα Πάναγνε. ὑπὲρ νοῦν σου τὸ θαῦμα, Ἀ'γγέλους καταπλῆττον καὶ βροτοὺς, τοὺς ἀεί σε ὑμνοῦντας, καὶ πόθῳ μακαρίζοντας.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ϛ'Υμένιε θεόληπτε, τῶν Ἀ'ρχαγγέλων σύσκηνε, ὡς παῤῥησίαν πλουτήσας, πρὸς τὸν Χριστὸν Ἱεράρχα. οὗ καὶ τῷ θρόνῳ Ἅγιε, ἐνδόξως νῦν παρίστασαι, τῶν ἐκτελούντων μέμνησο, τὴν φωτοφόρον σου μνήμην, καὶ σὲ τιμώντων ἐκ πόθου.

Καὶ τῆς Ἑορτῆς. Σταυρὸς ὁ φύλαξ.

Εἰς τὸν ξι. στιχηρὰ, ἦχος, β'.

Οἶκος τοῦ Ἐφραθᾶ.

Ζ'Υλον τὸ τοῦ Σταυροῦ, ὑψούμενον ὁρῶντες, μεγαλωσυνὴν δῶμεν, Θεῷ τῷ Σταυρωθέντι, σαρκὶ δι' ἀγαθότητα.

ξι. Ὑψοῦτε Κύριον τὸν Θεόν.

Ὕ'Δατι θεουργῷ, καὶ Αἵματί σου Λόγε, λαμπρῶς ἡ Ἐκκλησία, στολίζεται ὡς Νύμφη, Σταυροῦ τὴν δόξαν μέλπουσα.

ξι. Ὁ δὲ Θεὸς Βασιλεύς.

Ἀ'Όγχην σὺν τῷ Σταυρῷ, τοὺς Ἥλους καὶ τὰ ἄλλα, ἐν οἷς τὸ ζωηφόρον, Χριστοῦ ἐπάγη Σῶμα, ἐν ὕμνοις προσκυνήσωμεν.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Δεῦτε χαρμονικῶς, ἀσπασώμεθα πάντες, τὸ Σωτήριον Ξύλον· ἐν ᾧ ἐξετανύθη, Χριστὸς ἡ ἀπολύτρωσις.

Μηνὶ τῷ αὐτῷ ΙΘ'.

Τῶν Ἁγίων Μαρτύρων Τροφίμου, Σαββατίου, καὶ Δορυμέδοντος.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ξι. ς'. καὶ ψάλλομεν ξι. τῆς Ἑορτῆς, ἦχος, πλ.

Ὠ τοῦ παραδόξου θαύματος.

Ὦ Τοῦ παραδόξου θαύματος, τὸ ζωηφόρον Φυτὸν, ὁ Σταυρὸς ὁ πανάγιος, εἰς ὕψος αἰρόμενος, ἐμφανίζεται σήμερον. δοξολογοῦσι πάντα τὰ πέρατα, ἐκδειματοῦνται δαίμονες ἅπαντες. ὦ οἷον δώρημα, τοῖς βροτοῖς κεχάρισται. δι' οὗ Χριστὲ, σῷσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Ὦ Τοῦ παραδόξου θαύματος, ὡς βότρυν πλήρη ζωῆς, ὁ βαστάσας τὸν Ὕψιστον, ἀπὸ γῆς ὑψούμενος, Σταυρὸς ὁρᾶται σήμερον. δι' οὗ πρὸς Θεὸν πάντες εἱλκύσθημεν, καὶ κατεπόθη, εἰς τέλος θάνατος. ὦ Ξύλον ἄχραντον, ὑφ' οὗ ἀπολαύομεν τῆς ἐν Ἐδὲμ, ἀθανάτου βρώσεως, Χριστὸν δοξάζοντες.

Ὦ Τοῦ παραδόξου θαύματος, εὖρος καὶ μῆκος Σταυροῦ, Οὐρανοῦ ἰσοστάσιον. ὅτι θείᾳ χάριτι, ἁγιάζει τὰ σύμπαντα. ἐν τούτῳ Ἔθνη, βάρβαρα ἥττηνται, ἐν τούτῳ σκῆπτρα, Ἀνάκτων ἥδρασται. ὦ Θείας κλίμακος· δι' ἧς ἀνατρέχομεν εἰς Οὐρανοὺς, ὑψοῦντες ἐν ᾄσμασι, Χριστὸν τὸν Κύριον.

Ἔπε-

Ἕτερα τῶν Ἁγίων, ἦχος, ὁ αὐτός.

Ὁ Μάρτυρές σου Κύριε.

Ὠρυφὴν τὴν ἀδαπάνητον, ποθῶν κληρώσασθαι, Τρόφιμε Μάρτυς, πόνοις τοῦ σώματος, σὺ ἐνετρύφας. καὶ δὴ μετέστης ἐκ φθορᾶς, πρὸς τὴν ἀφθαρσίαν ἀγαλλόμενος, καὶ τῷ μαρτυρίῳ ἐγκοσμούμενος. διὸ ταῖς σαῖς πρεσβείαις, αἴτησαι πᾶσι μάκαρ τὸ μέγα ἔλεος.

Σαββάτιος ὁ ἔνδοξος, πολλαῖς κολάσεσιν ἐγκαρτερήσας, νῦν ἐσαββάτισεν, εἰς τὰς ἐπαύλεις, τῶν Οὐρανῶν περιχαρῶς, γέρα τῶν ἀγώνων κομιζόμενος, δήμοις τῶν Ἀγγέλων ἀριθμούμενος. αὐτοῦ Χριστὲ πρεσβείαις, δώρησαι τῷ λαῷ σου τὸ μέγα ἔλεος.

Τὸ Θέων βουλευτήριον, ἀποκρουσάμενος βουλαῖς ἐνθέοις, τὸν νοῦν ὠχύρωσεν ὁ Δορυμέδων, καὶ προσεχώρησε στερρῶς, πρὸς τὰ τῶν βασάνων πειρατήρια. νίκης τε βραβεῖα κομισάμενος, Χριστῷ συμβασιλεύει, πάντοτε ὑπὲρ πάντων ἡμῶν δεόμενος.

Δόξα, καὶ νῦν. ἦχος, πλ.

Ἡ Φωνὴ τοῦ Προφήτου σου Μωϋσέως ὁ Θεὸς, πεπλήρωται ἡ λέγουσα· ὄψεσθε τὴν Ζωὴν ἡμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ἡμῶν. σήμερον Σταυρὸς ὑψοῦται, καὶ Κόσμος ἐκ πλάνης ἠλευθέρωται. σήμερον τοῦ Χριστοῦ ἡ Ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται, ἐν κυμβάλοις δαβιτικοῖς, ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ Θεὸς, Σταυρὸν, καὶ τὴν Ἀνάστασιν· δι' ὧν ἡμᾶς ἔσωσας ἀγαθὲ καὶ φιλάνθρωπε· παντοδύναμε Κύριε δόξα σοι.

Ἀποστ. ἐξ. ἦχος, πλ. β'. Τριήμερος ἀνέστης.

Οὗ ἔστησαν οἱ πόδες Χριστοῦ, τὸν τόπον προσκυνήσωμεν, ἀνυψοῦντες, τὸν τρισόλβιον Σταυρόν· ἐν ᾧ κατεκενώθη, τὸ Αἷμα τοῦ Δεσπότου, τὸ βλύσαν Κόσμῳ τὴν Ἀνάστασιν.

ἐξ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Νεκρώσαντες τὰ πάθη σαρκὸς, καὶ πνεύματος θεόφρονες, ἐπειχθῶμεν, ὑψωθῆναι ἀπὸ γῆς, Οὐρανίον πρὸς λῆξιν, Σταυροῦ τῇ Ἀνυψώσει, συσταυρωθέντες τῷ Δεσπότῃ Χριστῷ.

ἐξ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ὠήρρυτος ἐκ θείας Πλευρᾶς, πηγὴ σαφῶς ἐξέβλυσε, τοῦ Σωτῆρος, καταρδεύουσα ψυχὰς, τῶν πίστει προσκυνούντων, τὸ θεῖον Πάθος τούτου, καὶ τὸν Σταυρὸν καὶ τὴν Ἀνάστασιν.

Δόξα, καὶ νῦν. ἦχος, πλ. β'.

Ὁ Τετραπέρατος Κόσμος, σήμερον ἁγιάζεται, τοῦ τετραμεροῦς ὑψουμένου σου Σταυροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ κέρας τῶν Πιστῶν συνυψοῦται Βασιλέων ἡμῶν, ἐν αὐτῷ τῶν δυσμενῶν συντριβέντων τὰ κέρατα· μέγας εἶ Κύριε, καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου, δόξα σοι.

Τροπάριον. Σῶσον Κύριε τὸν λαόν σου.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ἐξ. Ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Οὗ ἡ ἀκροστ. Τρίφωτον ὑμνῶ Μαρτύρων διαυγίαν.

Ἰωσήφ. Ὠδὴ, α'. ἦχος, πλ.

Ἁρματηλάτην Φαραώ.

Ῥαῖς ὑπερφώτοις ἀστραπαῖς τοῦ Πνεύματος, καταλαμπόμενοι, τὰ σκοτεινὰ νέφη, τῆς ψυχῆς μου λύσατε, τὸν νοῦν μου καταυγάσατε, καὶ τὰ χείλη πρὸς ὕμνον, ὑμᾶς γεραίρειν ἀνοίξατε, Μάρτυρες Χριστοῦ μεγαλώνυμοι.

Ἑωμαλαιότητι φρενῶν ἀντέστητε, τῷ ματαιόφρονι, νέμειν Θεοῖς σέβας, Μάρτυρες ἀλλόκοτον, ὑμᾶς καταναγκάζοντι· καὶ θυσία τελεία, διὰ ποικίλων κολάσεων, τῷ Παμβασιλεῖ προσηνέχθητε.

Ἐσχὺς ὑμῖν παρὰ Θεοῦ δεδώρηται, τοῦ Παντοκράτορος, καταβαλεῖν πᾶσαν, τὴν ἰσχὺν τοῦ δράκοντος, σεπτοὶ Μεγαλομάρτυρες, τῆς Τριάδος ὁπλῖται, Σαββάτιε ἀξιάγαστε, Θεῖε Δορυμέδον καὶ Τρόφιμε.

Θεοτοκίον.

Φωτιστικαῖς σου πηγαζούσαις χάρισι, Θεοχαρίτωτε, πύλη φωτὸς μόνη, οἱ γενναῖοι Μάρτυρες, φαιδρῶς καταυγαζόμενοι, τὸ βαθύτατον σκότος, τῶν ἀνυποίστων κολάσεων, σὲ ὑμνολογοῦντες παρέδραμον.

Ὠδὴ, γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Ὡραιοτάτῳ λογισμῷ, καὶ σταθηρᾷ διανοίᾳ, πρὸς βασάνων ἐχωρήσατε πεῖραν, αἰκιζόμενοι σφοδρῶς, καὶ μάστιξι ξεόμενοι, καὶ ἀηττήτῳ γνώμῃ, ἀπαρασάλευτοι μένοντες.

Ῥαῖς τῶν αἱμάτων προχοαῖς, ἱερωτάτην πορφύραν, ἐπιχρώσαντες γενναῖοι Ὁπλῖται, ἀθανάτῳ Βασιλεῖ, Κυρίῳ νῦν παρίστασθε, ὑπὲρ ἡμῶν πρεσβείαν, ἀκαταπαύστως ποιούμενοι.

Οὐκ

Οὐκ ἐξηρνήσασθε Χριστὸν, προσομιλοῦντες βασανοῖς, καὶ ξεόμενοι τὸ σῶμα ποικίλως, καὶ τεινόμενοι δεινῶς, καὶ τοῖς θηρσὶ διδόμενοι, πανεύκλεεῖς ὁπλῖται, Ἅγιοι Μεγαλομάρτυρες. Θεοτοκίον.

Νομοθεσίαις τοῦ ἐκ σοῦ, σεσαρκωμένου Δεσπότου, ποιθαρχοῦντες παναμώμητε Κόρη, οἱ γενναῖοι Ἀθληταὶ, ἀνόμους ἐτροπώσαντο, σὲ συνεργὸν ὡς χόντες, τὴν σῴζουσαν τὰς ψυχὰς ἡμῶν.

Κα. ἦχος, α. Τὸν τάφον σου Σωτήρ.

Βασανῶν ἀνδρικῶς, ὑπομείναντες πόνους, τὴν ἄπονον ζωὴν, ἐκομίσασθε ἅμα, Δορυμέδον καὶ Τρόφιμε, καὶ Σαββάτιε πάνσοφε. ὅθεν σήμερον, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἑορτάζουσα τὴν ἱεραὶ ὑμῶν μνήμην, ἐνθέως ἀγάλλεται.

Δόξα, ἕτερον. ἦχος, τρί. Τὴν Σοφίαν.

Ποῦ Ἡλίου ἀκτίνων μᾶλλον ὑμεῖς, ἀπαστράπτοντες φέγγει μαρτυρικῷ, ὑπέρλαμπροι Μάρτυρες, Κόσμον ὅλον φωτίζετε, τὸν τῆς πλάνης ζόφον, ἐκ μέσου διώκοντες, εὐσεβείας τὸ φάος, πυρσεύετε ἅπασαν. ὅθεν εὐχημόνως, ὡς ἐν φαύσει ἡμέρας, τὴν τρίβον τῆς Πίστεως, ἀπλανῶς διοδεύσαντες, Ἀθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν. Καὶ νῦν. Ὅμοιον.

Ὸν Σταυρὸν τοῦ Σωτῆρος ἐπὶ τῆς γῆς, κεκρυμμένον ἀφείλετο ἡ σεμνή. χαρᾶς δὲ ἐμπίπλησι, τὰ τοῦ Κόσμου πληρώματα, καὶ Τεμένει θεσπίζει, ὑψοῦσθαι ἐν Πνεύματι, καὶ τὸ σκῆπτρον κομίζει, ἐπὶ τὰ Βασίλεια. ὅθεν ἡ Ἑλένη, τῷ Υἱῷ ἀνεβόα· ὑφάπλωσον Δέσποτα, ταῖς χερσί σου καὶ πρόσδεξαι, τὸν δεικνύμενον ἅπασι, κράτος σου καὶ νίκας σοφὲ, καὶ τὰ Ἔθνη δίδαξον ἐν χάριτι, προσκυνεῖν τὸν Σταυρὸν, καὶ τὰ Πάθη Χριστοῦ.

Ὠδὴ, δ'. Σύμου Χριστέ.

Ὑπομονῇ, τῶν αἰκισμῶν λαμπρυνόμενοι, ἐπὶ ξύλου, Μάρτυρες ἠρτήθητε, καὶ σιδηραῖς, ὄνυξι πλευρὰς, ἔνδοξοι ξεσθέντες, τῇ ἀπεκδύσει τοῦ σώματος, τὴν θείαν ἀφθαρσίαν, ἐνεδύσασθε Θρόνῳ, τῆς Τριάδος ἀεὶ παριστάμενοι.

Μαστιγωθεὶς, διὰ Χριστὸν Μάρτυς Τρόφιμε ἐνετρύφας, πόνοις, ὑπερβάλλουσιν, ἀποσκοπῶν, τὰς ἐν Οὐρανοῖς, θείας ἀντιδόσεις, καὶ τὴν τρυφὴν τὴν ἀδάπανον. ἧς νῦν κατηξιώθης, τὸν ἀγῶνα τελέσας, καὶ τρυφὴ τῷ Δεσπότῃ γενόμενος.

Νεανικῶς, ἐγκαρτερήσας Σαββάτιε, ταῖς βασανοῖς, χαίρων ἐναπέδωκας, Θεοῦ εἰς χεῖρας τὴν σὴν ψυχὴν, καὶ πρὸς Οὐρανίους, μονὰς καλῶς ἐσαββάτισας, νικήσας τὸν ἐκεῖθεν, ἐκριφέντα ἀθλίως, καὶ βραβεῖα τῆς νίκης δεξάμενος. Θεοτοκίον.

Ὡς καθαρὸν, τοῦ Βασιλέως παλάτιον, σὲ Μαρτύρων, σύστημα τρισάριθμον, ἐπικαλούμενοι βοηθὸν, ἄχραντε Παρθένε, ναοὺς δαιμόνων ἠδάφισαν, καὶ πρὸς Ναὸν τὸν ἄνω, μετετέθησαν δόξης, ἐν αἰνέσει ἀεί σε γεραίροντες.

Ὠδὴ, ε'. Ἵνα τίμε ἀπώσω.

Μακρυνθέντες φιλίας, σώματος Πανεύφημοι προσῳκειώθητε, διὰ πλείστων πόνων, καὶ μεγίστων Θεῷ πανοικτίρμονι, τῷ ὑμᾶς δι' οἶκτον, πεφιληκότι καὶ τὰ πάθη, τοῖς αὐτοῦ ἀποκτείναντι πάθεσιν.

Αἱ πορεῖαί σου Μάρτυς, Τρόφιμε γεγόνασι κατευθυνόμεναι, πρὸς ὁδοὺς πανσόφους, μαρτυρίῳ ἐν αἷς καλλυνόμενος, σιδηραῖς κρηπίσι, καθηλωμένος τοῦ Βελίαρ, κεφαλὴν καὶ τὰ κέντρα συνέτριψας.

Ἡτορεύων τὰ θεῖα, Τρόφιμε πολύαθλε, τυραννοὺς ᾔσχυνας, καὶ τοῖς αἵμασί σου, βηματίζων τὴν γῆν καθηγίασας, ἐμπεριπατεῖς δὲ, χαρμονικῶς ἐν Παραδείσῳ, σωτηρίαν ἡμῖν ἐξαιτούμενος. Θεοτοκίον.

Ἣν Ἁγίαν Παρθένον, τὴν θεοχαρίτωτον καὶ παναμώμητον, οἱ στερροὶ Ὁπλῖται, εἰς βοήθειαν ἐπικαλούμενοι, τῶν βασανῶν ὄγκον, καὶ τῶν δεινῶν τὴν τρικυμίαν, ἀκλονήτῳ διῆλθον φρονήματι.

Ὠδὴ, ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ὑπέπλευσαν γαληνῶς, τῇ κυβερνήσει τοῦ Πνεύματος, οἱ εὐκλεεῖς Ἀθληταὶ, βασανῶν τὸ πέλαγος, καὶ πρὸς τὸν ἀκύμαντον, σωτηρίας ὅρμον, ἱερῶς ἐγκαθωρμίσθησαν.

Ἁινόμενα καθορῶν, εἰς γῆν τὰ μέλη σου Τρόφιμε, καὶ ὄξος κατὰ τῶν σῶν, μυκτήρων δεχόμενος, εὐώδους ὀσφρήσεως, ἀντελάβου πλέον, τοῦ Χριστοῦ τῆς ἀγαπήσεως.

Ὡς βουλευτὴς τῶν Χριστοῦ, δικαιωμάτων γενόμενος, βουλὰς ἀθέων ἐχθρῶν, τελείως

ἐξέ-

ἐξέκλινας, καὶ σαυτὸν παρέδωκας, Δορυμέδον Μάρτυς, ταῖς βασάνοις μαστιζόμενος. θτ.

Νευρούμενοι ταῖς ἐκ σοῦ, ἐκπεμπομέναις δυνάμεσιν, οἱ Ἀθλοφόροι Χριστοῦ, νομίμως ἐνήθλησαν, τὴν ἁγνὴν Μητέρα σου, ἀνυμνολογοῦντες, ἀπορρήτως σε κυήσασαν.

Κοντάκιον, ἦχος τρ. Ὡς ἀπαρχάς.

Ὡς Ἀθλητῶν ἑδραίωμα, καὶ εὐσεβείας ἔρεισμα, ἡ Ἐκκλησία τιμᾷ καὶ γεραίρει σου, τὴν φωτοφόρον ἄθλησιν, παναοίδιμε μάκαρ, Ἀθλητὰ γενναιόφρον, ἔνδοξε Τρόφιμε, σὺν τοῖς συνάθλοις σου, ἱλασμὸν τοῖς ὑμνοῦσί σε αἴτησαι, ὡς ἀήττητος. Ὁ Οἶκος.

Ὧν Ἁγίων Μαρτύρων τὰ ἔπαθλα, Οὐρανῶν αἱ Δυνάμεις ἐθαύμασαν· ὅτι σῶμα θνητὸν περικείμενοι, ἀσωμάτους ἐχθροὺς ἐτροπώσαντο, Σταυροῦ τῇ ἰσχύϊ κρατυνόμενοι. ὅθεν μακαριοῦνται εἰς αἰῶνας, ἱλασμὸν τῶν πταισμάτων αἰτούμενοι, ὑπὲρ πάντων ἡμῶν. καὶ γὰρ τιμῶνται αὐτοὶ, ὡς ἀήττητοι.

Τῷ αὐτῷ Μηνὶ ιθ'. Τῶν Ἁγίων Μαρτύρων Τροφίμου, Σαββατίου, καὶ Δορυμέδοντος.

ξι. Πνέοντες ἐν Τρόφιμε καὶ Δορυμέδον,
Ἓν ἐκ ξίφους δέχεσθε καὶ βίου τέλος.
Ξεσθεὶς σιδηροῖς, Σαββάτιος ὀξέσιν,
Εἰς Σαββατισμὸν Θεῖον, ὡς Μάρτυς φθανεῖ.
Ἐννέα καὶ δεκάτῃ Τρόφιμον τάφον, ἠδὲ συνάθλους.

Οὔτοι ὑπῆρχον ἐπὶ τῆς Βασιλείας Πρόβου. ὧν ὁ μὲν Σαββάτιος ἐν Ἀντιοχείᾳ παραστὰς τῷ Βικαρίῳ, καὶ σφοδρῶς τυφθεὶς, καὶ καθειρχθεὶς, ἐν ταῖς βασάνοις παρέδωκε τὸ πνεῦμα. ὁ δὲ Τρόφιμος κρηπίσι σιδηραῖς ὑποδεθεὶς, καὶ ὑπερόριος ἐν τῇ Συνάδων γενόμενος, πολλάς τε μετὰ Δορυμέδοντος ὑποστὰς τιμωρίας, ἀπετμήθησαν τὰς κεφαλάς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Σωσάννης.

Διὰ ξι. Ἰάμβων.

Παλαιστίνης ὡς οὖσα Σωσάννα κλάδος,
Ἐν ἀνδρικῷ σχήματι, κείρασα τρίχας,
Μετωνομάσθη τὴν κλῆσιν Ἰωάννης.
Μιᾷ Μονῶν δὲ τῶν ἐν Ἁγίᾳ Πόλει
Προσῆλθε, καὶ δεχθεῖσα θαύματι ξένον,
Ἐξ ἀρετῶν ἤστραψεν Ἀρχιμανδρίτης.
Ὡσεὶ δέκα δὲ καὶ πρὸς ἄλλο τι χρόνων,
Παραδραμόντων ἀπὸ συκοφαντίας,
Ἤκουσεν αἰσχρῶς πόρνος Ἀρχιμανδρίτης.
Ψεύδους δ' ὁ Πατὴρ τὸν ἐλεγμὸν μὴ φέρων,
Ὅτι περ ἄρχων ἐν γυναιξὶ παρθένοις,
Ἀσκητικῶς κέκριτο βιούσαις ἅμα.
Δόγμα πονηρὸν ἐκτεθῆναι συντρέχει,
Τὸ κατεπεῖγον δαίμοσι προσανέχειν,
Καὶ μὴ Θεῷ τῷ ζῶντι καὶ τούτους θύειν.
Σωσάννα τοίνην ὥσπερ Ἀρχιμανδρίτης,
Ἤτοι κορωνὶς καὶ μόνη κατεσχέθη,
Καὶ τοῖς ξοάνοις ἀπονεῖμαι θυσίαν,
Μὴ κατανεύσας, μαρτυρικῷ τῷ τέλει,
Χαίρων μετέστη πρὸς μονὰς Οὐρανίους.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Λιόλου ταῖς νεύσεσι, ταῖς πρὸς τὸ Θεῖον καλλωπιζόμενος, ὀβελίσκοις τε μάκαρ, πυρακτωθεῖσι καταφλεγόμενος, καὶ τὰ πλευράς σου ἀδίκως ξεόμενος, ὦ Δορυμέδον, στερρῶς ἐνεκαρτέρησας.

Τδεῖν ἐφιέμενος, Θεοῦ τὴν δόξαν τὴν ἀνεκλάλητον, ὀφθαλμοὺς ἐπηρώθης, πυρακτωθεῖσι σιδήροις Τρόφιμε, καὶ εὐχαρίστως Κυρίῳ ἐκραύγαζες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀγάπῃ φλεγόμενοι, σεπτῆς Τριάδος οἱ τρεῖς ηὐύσατε, τοὺς μεγίστους ἀγῶνας, καὶ μυριάσι νῦν συναγάλλεσθε, ἐπουρανίαις. μεθ' ὧν ἡμῶν μέμνησθε, λύσιν πταισμάτων ἀεὶ ἡμῖν αἰτούμενοι. Θεοτοκίον.

Ὑπάρχουσα Δέσποινα, καθαρωτέρα πάσης τῆς Κτίσεως, ὑπεδέξω τὸν Λόγον, ἐκ σοῦ ἀρρήτως ἀποτικτόμενον. ὃν οἱ γενναῖοι ποθήσαντες Μάρτυρες, τὴν τῶν βασάνων πυρὰν ἐνεκαρτέρησαν.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Τεγυμνωμένοι σώμασιν, αἰκισμοῖς προσπαλαίοντες, τὸν τῆς ἀφθαρσίας, στολισμὸν ἐδέξασθε, αἰσχύνην ἐνδύσαντες, τὸν δυσμενῆ αἰώνιον. καὶ στεφανηφόροι, μεταβαίντες πρὸς λῆξιν, τὴν θείαν ἐκβοᾶτε· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τχνηλατοῦντες Μάρτυρες, τοῦ Χριστοῦ τὰ Παθήματα, ξύλοις προσδεθέντες, πειρασμοὺς ηὐέγκατε, γενναίῳ φρονήματι, καὶ ταῖς ῥοαῖς τοῦ αἵματος, πνίξαντες δαιμόνων, πονηρότατα στίφη, ἐνθέως μελῳδεῖτε· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀνεφημείσθω Τρόφιμος, δοξαζέσθω Σαββάτιος, καὶ μεγαλυνέσθω, Δορυμέδων σήμερον, οἱ στύλοι οἱ ἄσειστοι, τὰ τῶν Πιστῶν προπύργια, οἱ φωτοειδεῖς, τῆς Ἐκκλησίας φωστῆρες, οἱ ταύτην ταῖς ἀκτῖσι, τῶν μεγίστων ἀγώνων, σεπτῶς φωταγωγοῦντες, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Νέον ὡς βρέφος τέτοκας, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ἄχραντε Παρθένε, συμφυῶς νοούμενον, Χριστὸν τὸν Θεὸν ἡμῶν, ὃν οἱ γενναῖοι Μάρτυρες, καθομολογοῦντες, ἱερῶς ἐναθλοῦσι. μεθ' ὧν σε Παναγία, μακαρίζουσι πίστει, λαοὶ φυλαὶ καὶ γλῶσσαι, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τοῦτο.

Ἐσχύϊ τοῦ τῶν ὅλων Δημιουργοῦ, τῶν θηρῶν τὰς ὁρμὰς ἐπεδύσατε, καὶ ἀβλαβεῖς, Μάρτυρες ἐμείνατε ἐξ αὐτῶν, μεγάλως θαυμαζόμενοι, ταῖς ἀμετατρέπτοις μεταβολαῖς. διὸ ταῖς τῶν Μαρτύρων, ἀγέλαις συναφθέντες, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύσατε.

Ὡς θύματα τραπέζῃ τῇ λογικῇ, προσηνέχθητε ξίφει τεμνόμενοι, πανευκλεῶς, καὶ τῶν πρωτοτόκων νῦν ἐν σκηναῖς, περιχαρῶς αὐλίζεσθε, βλέποντες τὴν δόξαν τὴν τοῦ Θεοῦ, καὶ τὰς ἐπικαρπίας, δεχόμενοι τῶν πόνων, καὶ τὰ βραβεῖα τῆς ἀθλήσεως.

Συμφώνως συνελθόντες δεῦτε Πιστοὶ, Δορυμέδοντα νῦν καὶ Σαββάτιον, καὶ τὸν κλεινὸν, Τρόφιμον δοξάσωμεν τοὺς στερροὺς, τῆς ἀληθείας Μάρτυρας, βότρυας ἀμπέλου τῆς νοητῆς· ἐξ ὧν ἡμῖν ὁ οἶνος, τῆς ὄντως εὐφροσύνης, ἐναποστάζει Θείᾳ χάριτι.

Ἡ Μνήμη ἡ πανέορτος τῶν σοφῶν, Ἀθλητῶν ἀνατείλασα σήμερον, ὡς ἀληθῶς, ὑπὲρ τὰς αὐγὰς τὰς ἡλιακὰς, καταφωτίζει ἅπαντας, σκότος ἀπελαύνουσα τῶν παθῶν, καὶ νέφη ῥᾳθυμίας. ὧν Λόγε ταῖς πρεσβείαις, παράχου πᾶσι τὰ ἐλέη σου. Θεοτοκίον.

Φυλάξας σε Παρθένον ὁ ἐκ τῶν σῶν, ἀνατείλας λαγόνων ἀνέσπερος, ὡς ἀληθῶς, Ἥλιος Παρθένε τοὺς Ἀθλητὰς, περιφανῶς ἐλάμπρυνε, διηγωνισμένους καρτερικῶς. μεθ' ὧν αὐτὸν δυσώπει, ἡμᾶς κατοικτειρῆσαι, τοὺς εὐσεβῶς σε μακαρίζοντας.

Ἐξαποστειλάρ. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὁ Οὐρανὸν τοῖς ἄστροις, κατακοσμήσας ὡς Θεὸς, καὶ διὰ τῶν σῶν Ἁγίων, πᾶσαν τὴν γῆν φωταγωγῶν. Δημιουργὲ τῶν ἁπάντων, τοὺς ἀνυμνοῦντάς σε σῶζε.

Καὶ τῆς Ἑορτῆς. Σταυρὸς ὁ φύλαξ.

Ἀποξι. ϛι. ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὕλην φθοροποιὸν, ἐξαίρει ἁμαρτίας, τὸ τοῦ Σταυροῦ σου Ξύλον, ὑψούμενον Σωτήρ μου, λαμπρύνει καὶ τὰ σύμπαντα.

ϛι. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Τύσιν τῶν δυσχερῶν, καὶ κτῆσιν τῶν ἀρίστων, ὑψούμενος βραβεύει, τῷ γένει τῶν ἀνθρώπων, Σταυρὸς Χριστοῦ ὁ ἅγιος.

ϛι. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ὅτε τὸν Ἀμαλὴκ, Μωσῆς κατετροποῦτο, Χριστοῦ προλέγων Πάθη, Σταυρὸν προδιετύπου, τὸν Θεῖον καὶ πανάχραντον.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Δεῦτε χαρμονικῶς, ἀσπασώμεθα πάντες, τὸ σωτήριον Ξύλον, ἐν ᾧ ἐξετανύθη, Χριστὸς ἡ ἀπολύτρωσις.

Μηνὶ τῷ αὐτῷ Κ'.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου, καὶ τῆς συνοδίας αὐτοῦ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ϛι. ϛ'. καὶ ψάλλομεν ϛι. τῆς Ἑορτῆς, ἦχος β'.

Ὅτε, καὶ ἐκ τοῦ Ξύλου.

Ὅφιν, ἀνεστήλωσε χαλκοῦν, πάλαι Μωϋσῆς ὁ Θεόπτης πρὸς τὴν ἀναίρεσιν, τῶν δακνόντων ὄφεων. αὐτὸς δὲ ὅλον σαυτὸν, ἐπὶ Ξύλου ἀνύψωσας, Σωτήρ μου ζωώσας, πάντας ἐν τῷ Θείῳ σου, καὶ ζωηφόρῳ Σταυρῷ. ὃς νῦν, ἀνυψούμενος φλέγει, φάλαγγας δαιμόνων, καὶ τρέπει, τῶν βαρβάρων φῦλα καὶ φρυάγματα.

Σύ μου, τὸ φθαρτόν τε καὶ θνητὸν Σῶτερ ἐκ Παρθένου φορέσας, καὶ Θεομήτορος, ἄφθαρτον ἀπέδειξας, καὶ πρὸς ζωὴν καὶ τρυφὴν, ἀτελεύτητον εἵλκυσας, πρὸς ἣν ἐπαγάγεις, πάντας τοὺς ὑμνοῦντάς σε, Λόγε Χριστὲ ὁ Θεὸς, ὅπλον κραταιὸν ἐν πολέμοις, Δέσποτα τὸν Θεῖον Σταυρόν σου, τῷ Πιστῷ σου Ἄνακτι δωρούμενος.

Ἄμψον, φῶς ἀπρόσιτον ἡμῖν. ἔργον γὰρ ἐσμὲν τῶν χειρῶν σου, πάντες Χριστὲ ὁ Θεὸς, ὅπλου δὲ στεφάνωσον, τοὺς εὐσεβεῖς Βασιλεῖς, νίκας τούτοις δωρούμενος, κατὰ πολεμίων, τεῖχος καὶ ὀχύρωμα, ἰσχὺν καὶ ἄσυ-

ἄτυλον, ἔλβον, τὸν Σταυρόν σε πλεκτῶν τες, Ὕψισε ὁ ἄφθορον μήτραν, Σῶπρυπόδυς τῆς Θεομήτορος.

Ἕτερα τῆ Ἁγίων, ἦχος δ'.

Ἑ"δεκας σημείωσιν.

ΤΗ Νωθεν ἡ κλῆσίς σε, ἐκ ἔξ ἀνθρώπων Εὐςάθιε, ἀλλ' αὐτὸς σοι ὀπταίνεται, Χεισὸς ὁ φιλάνθρωπος, ϗ ἀγγέλοις μάκαρ, Πίςεως δικτύοις, ϗ τῷ Βαπτίσματι αὐτοῦ, ἀποκαθάρας πὶς ἁμαρτίας σε, τὸ βίς πειρατήριον, ὑπομονῇ σοι προτάνεται, ὁ Δεσπότης ϗ δάκνυσι, νικητὴ διαβόητον.

ΧΑίρων ἐν νεότητι, τῆς ἀρετῆς τὸ γυμνάσιον, ὑπεδέξω Εὐςάθιε, τῇ Παίδων ςερόμενος, ϗ τῆς σῆς Συζύγε, τῇ αἰχμαλωσίαν, ὑπομεινὼν καρτερικῶς, ϗ ὑπομείνας θητείαν ἄτιμον· ἀλλάσε παναοίδιμε, ἢ ἐν πολέμοις ἀνδρία σε, ποθητὸν κατεςήσατο, ϗ λαμπρῶς ἐπανήγαγε.

ΘΕῖον ὡς θυμίαμα, διὰ πυρὸς δεξάμενον, ϗ τερπνὸν ὁλοκάρπωμα, θυσία ἀπρόσδεκτος, προσφορά τε ζῶσα, ϗ τελειοπάτη, σὺ προσλυέχθης τῷ Θεῷ, πανοικεσία καρποφορήσασα. διό σε ἡ Οὐράνιος, νυμφῶν κατοικία Εὐςάθιε, σὺν τοῖς σοῖς ἐδέξατο, τῇ Ἁγίων ςρατεύματα.

Δόξα, ἦχος β'. Ἑ φραὶμ Καείας.

ΟΔεύτερος Ἰὼβ Εὐςάθιος, τῷ βίῳ τὰς ἄθλας ϗ τὰς ςεφάνας, ἃς προτροπῇ ἀρετῶν ἑαυτὸν ἡμῖν προέθηκε, ϗ ςήλλων καρτερίας, ὑπερβὰς ἀληθῶς, τὸν Ἰὼβ τῇ ἀρετῇ, τῇ Συζύγῳ, ϗ τοῖς Τέκνοις, ὁπτὴς ὢν βίῳ, ϗ ἀκραδάντος ἐν τοῖς πειρασμοῖς, ϗ ἐν ἀθλήσει νικηφόρος. ὃν προσάξωμεν ὡς πρεσβείαν Χεισῷ, τὸ δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, φωτισμὸν ϗ ἵλασμὸν τῶν πλημμελημάτων.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Θεὸς θησαυρὸς ἐν γῇ κρυπτόμενος.

Ζήτει εἰς τὴν Λιτὴν τῆς Ἑορτῆς.

Ἀποςτ. ςιχ. ἦχος πλ. β'. Τ ἡμέρος.

ΠΑπίσματα ὑπήνεγκας, ϗ σαύρωσιν Μακρόθυμε, ϗ ὀνείδη, θέλων παύσας ἐκ χειρὸς, λυτρώσασθαι τῷ πλάσε, ὁ μόνος ζωοδότης, ϗ πανοικτίρμων ϗ φιλάνθρωπος.

ςιχ. Ὑψῶτε Κύριον τὸν Θεὸν ἡμῶν.

ΡΙμῶσε τὸν Σπυρὸν ἀγαθὲ, τὰς ἥλες ϗ τὴν λόγχην Σωτὴρ· δι' ὧν πάντας, ἐλυτρώσω τῆς φθορᾶς, ὡς μόνος ζωοδότης, ϗ παύτων δεσπότης, μόνε φιλάνθρωπε Σωτὴρ ἡμῶν.

ςιχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

ΣΤαυρῷ προσηλωθεὶς δι' ἐμὲ, Σωτὴρ μου ὑπερήγαλε, ἐρράπισθης, ϗ ὠνείδισθης Λυτρωτὰ, καὶ ἄξιος ἐποτίσθης, ϗ λόγχῃ ἐκεντήθης, ϗ πάντα φέρας ἀνήμαρτητε.

Δόξα, ἦχος πλ. β'. Ἑ φραὶμ Καείας.

ΤΑμαυτίνε τῇ ψυχῇ, πῶς σε καπεξίαν ἐπαινέσωμεν, τὴν φύσιν ὑπερέβης, χρημάτων ϗ Παίδων, ϗ τῆς Συμβίε ςερόμενος, τὴν μακαρίαν ἐκείνην ϗ ἀοίδιμον φωνὴν τὸ Ἰὼβ ἐξεβόησας· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. ὡς τῷ Κυρίῳ ἔδοξεν, ὅπω ϗ ἐγένετο. ἀλλ' ὃν ἠγάπησας Θεὸν, ϗ ὃν θερμῶς ἐπεπόθησας, πάλιν σοὶ τὸς φιλτάτες ἐδωρήσατο, σιωαθλητὰς γενέσθαι σοι προμηθεσάμενος. μεθ' ὧν διὰ ποικίλων βασάνων, τὸ μακάριον τέλος διήνυσας. αὐτὸς ϗ συμπρεσβεύτας σε λαβόμενος, καρτερόψυχε Εὐςάθιε, δυσώπησον λυτρωθῆναι ἡμᾶς, τῶν ἀνομιῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

ΗΜέρον προέρχεται ὁ Σταυρὸς τῷ Κυρίῳ, ϗ Πιςοὶ εἰσδέχονται αὐτὸν ἐκ πόθε, ϗ λαμβάνσιν ἰάματα, ψυχῆς τε ϗ σώματος ϗ πάσης μαλακίας. αὐτὸν ἀσπασώμεθα, τῇ χαρᾷ, ϗ τῷ φόβῳ. φόβῳ μὲν διὰ τὴν ἁμαρτίαν, ὡς ἀνάξιοι ὄντες· χαρᾷ δὲ διὰ τὴν σωτηρίαν, ἣν παρέχει τῷ Κόσμῳ, ὁ ἐν αὐτῷ προσπαγεὶς Χεισὸς ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον, ἦχος δ'.

ΟΙ Μάρτυρές σε Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, ςεφάνας ἐκομίσαντο, τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν. ἔχοντες τὴν ἰσχύν σε, τοὺς τυράννας καθεῖλον· ἔθραυσαν ϗ δαιμόνων, τὰ αἰσχύρα θράση. αὐτῶν ταῖς ἱκεσίαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ τῆς Ἑορτῆς. Σῶσον Κύριε.

Εἰς τὸν Ὄρθρον, ἡσιωῆθης ξύλο. κα. ἦχ πλ.

Ἀνέσεις ἐκ νεκρῶν.

ΕΝ μέσῳ τῆς Ἐδὲμ, ξύλον ἐφύτευσε θανάτου, ἐν μέσῳ δὲ τῆς γῆς, Ξύλον ζωῆς ἐβλάςησε. γευσάμενοι γὰρ τοῦ πρώτου, ἄφθαρτοι ὄντες, φθαρτοὶ γεγόναμεν. τυχόντες δὲ τοῦ δευτέρου, τῆς ἀφθαρσίας κατηξιώθημεν. διὰ Σταυροῦ γὰρ σώζει ὁ Θεὸς, τὸ γένος τῶν ἀνθρώπων. Δίς.

Μετὰ τὴν β'. ἠλό. κα. ἦχος τρί.

Τὸ προσταχθεν.

ΠΡοδιετύπου μυστικῶς πάλαι τῷ χρόνῳ, ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ Σταυροῦ τὸν τύπον, ὃς τὰς χεῖρας ἐξέτεινε σταυροφανῶς Σωτήρ μου, καὶ ἔστη ὁ Ἥλιος ἕως ἐχθροὺς ἀνεῖλεν, ἀνθισταμένους σοὶ τῷ Θεῷ. νῦν γὰρ ἔδωκεν, ἐπὶ Σταυροῦ σε ὁρῶν, καὶ κράτος θανάτου λύσας, πάντα Κόσμον συνήγειρας. Δίς.

Ὁ Κανὼν τῆς Ἑορτῆς. Καὶ τῶν Ἁγίων εἰς ς'.

Οὗ ἡ ἀκροστιχίς.

Τῆς Εὐσταθείας τῷ φερωνύμῳ κρότος.

Θεοφάνους. Ὠδὴ α'. ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον.

ΠΩ λόγῳ, τὸ τῶν παθῶν μου σκίρτημα, ταῖς ἱκεσίαις σου, καθυποτάξας Μάρτυς τοῦ Χριστοῦ, εὐφημεῖν παρασκεύασον, τὴν ἱεραὶ πανήγυριν, τῶν σῶν ἀγώνων παμμακάριστε.

Ἡ Κλῆσις, οὐκ ἀπ' ἀνθρώπων γέγονεν, ἡ σὴ Πανάριστε· ἀλλ' οὐρανόθεν Παῦλον ὡς τὸ πρὶν, ὁ Χριστός σε ἐκάλεσεν, ἐπιφανεὶς ὡς ἔλαφος, τῶν ἰοβόλων ἐκλυτρούμενος.

ΕΟφία, τὰ ἀνωτάτω ἔμπλεως, Μάρτυς γενόμενος, τοῦ φθειρομένου πλούτου καὶ τρυφῆς, οὐρανῶν τὴν ἀπόλαυσιν, πανευσεβῶς προέκρινας, πανοικεσίᾳ στεφανούμενος. Θε.

ΕΥ'ρών σε, καθαρωτέραν Πάναγνε, πάσης τῆς Κτίσεως, ὁ τῶν ἁπάντων Κτίστης καὶ Θεὸς, σαρκωθῆναι ηὐδόκησεν, ἐκ σοῦ σαρκὶ τὸν ἄνθρωπον, ἀναμορφῶσαι προμηθούμενος.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

ΥΠέφερες πειρασμῶν, τὰς τρικυμίας καρτερῶς ἔνδοξε, Μάρτυς Χριστοῦ Εὐστάθιε, Τέκνων Γυναικός τε στερούμενος.

ΕΩθέντες παρὰ Θεοῦ, τῆς τῶν θηρῶν διαρπαγῆς Παῖδές σου, Μάρτυς Χριστοῦ Εὐστάθιε, θῆρας νοητοὺς ἐτροπώσαντο.

ΠΟ'ν βίον διαπερῶν, ὡς ποταμὸν τοῖς πειρασμοῖς Ἔνδοξε, σοῦ τῆς ψυχῆς διέσωσας, τὸ θεοειδὲς ἀταπείνωτον. Θε.

ΑΤνείας τὸ καθαρὸν, τῆς Παρθενίας τὸ σεπτὸν σκηνώμα, δεῦτε πιστοὶ ὑμνήσωμεν, ἐν χαρμονικοῖς μελῳδήμασιν.

κα. ἦχος πλ. Τὴν Σοφίαν καὶ Λόγον.

ΕΥ'σεβείας τοῖς τρόποις ἀνδραγαθῶν, καρτερίας τοῖς πόνοις ὑπεραθλῶν, νέος ἀνηγόρευσαι, Ἰὼβ Μάρτυς πανένδοξε. τῶν γὰρ τερπνῶν τοῦ βίου, παθὼν τὴν ἀφαίρεσιν, σὺν Γυναικὶ καὶ Τέκνοις, Θεῷ ηὐχαρίστησας. ὅθεν ἐπὶ τέλει, τῶν ἀγώνων ὡς νίκης, βραβεῖον παρέχε σοι, τὴν τοῦ αἵματος πρόχυσιν, Ἀθλοφόρε Εὐστάθιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα, τὸ αὐτό. καὶ νῦν. Ὅμοιον.

ΠΟ'ν Σταυρὸν τοῦ Σωτῆρος ἐπὶ τῆς γῆς, κεκρυμμένον ἀφείλετο ἡ σεμνή. χαρᾶς δὲ ἐμπίπλησι, τὰ τοῦ Κόσμου πληρώματα, καὶ Τεμένει θεσπίζει, ὑψοῦσθαι ἐν Πνεύματι, καὶ τὸ σκῆπτρον κομίζει ἐπὶ τὰ Βασίλεια. ὅθεν ἡ Ἑλένη, τῷ Υἱῷ ἀνεβόα· ὑφάπλωσον Δέσποτα, ταῖς χερσί σου καὶ πρόσδεξαι, τὸν δεικνύμενον ἅπασι, κράτος σου καὶ νίκας σοφὲ, καὶ τὰ Ἔθνη δίδαξον ἐν χάριτι, προσκυνεῖν τὸν Σταυρὸν καὶ τὰ Πάθη Χριστοῦ.

Ὠδὴ δ'. Ἐπαρθέντα σε.

ΘΕίᾳ παλάμῃ σωθεῖσα τῆς τυραννίδος, τῆς τοῦ ἐχθροῦ διέμενε, τὰ τῆς σωφροσύνης, σώζουσα ἡ Σύμβιος, ἡ σὴ ἀνακράζουσα· δόξα τῇ δυνάμει σου Κύριε.

ΕΠειράσθης καὶ ποικίλως ἐδοκιμάσθης, Μάρτυς Χριστοῦ Εὐστάθιε, καὶ τοῦ μαρτυρίου, ἔδραμες τὸ στάδιον, βοῶν τῷ Δεσπότῃ σου· δόξα τῇ δυνάμει σου Κύριε.

ΤΘυνόμενος προστάγματι τοῦ Δεσπότου, μαρτυρικοῖς ἐν αἵμασι, καθωραϊσμένος, ὤφθης παναοίδιμε, Εὐστάθιε ἔνδοξε, σὺν τῇ Γυναικὶ καὶ τοῖς Τέκνοις σου. Θε.

ΑΠειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

ΕΥ' οἷά περ Ἰὼβ, ἀνεφάνης Εὐστάθιε. σὺ ἄμεμπτος εὐσεβής τε, μακροθύμως τὸν βίον, εὑρέθης περαιούμενος.

ΠΙσμάκαρ ἀνυμνεῖν, τοὺς σοὺς πόνους δυνήσεται; Εὐστάθιε οὓς ὑπέστης, τὴν Ὁμόζυγον Μάρτυς, καὶ Παῖδας ἀφαιρούμενος. Θε.

ΩΜῆτερ τοῦ Θεοῦ, τῆς ψυχῆς μου τὴν κάκωσιν, θεράπευσον ἡ τεκοῦσα, τὸν πάνάγαθον Λόγον, τὸν πάντας ἀγαθύνοντα.

Ὠδὴ ς'. Θύσω σοι, μετὰ φωνῆς.

ΦΑνέντα, σὺ τὸν Χριστὸν ἐπόθησας ἔνδοξε, καὶ συνεκράθης τῷ πόθῳ, ὡς φανῆναι

Μάρ-

Μάρτυς ὡραϊσμένος, πορφυρίδι τῶν σῶν αἱμάτων καλλωπιζόμενος.

Ἔ Δραμες, ἀκολουθῶν Χριστοῦ θείοις ἴχνεσι, καὶ κοινωνὸς ἀνεδείχθης, τῶν Παθῶν τῶν τούτου καὶ Βασιλείας, ὁλοκλήρως, πανοικεσίᾳ Μάρτυς στεφόμενος. Θεοτοκίον.

Ῥ Ἡμασι, τοῦ Γαβριὴλ Παρθένε πανάμωμε, νῦν κεκτημένοι βοῶμεν· χαῖρε μόνη Μήτηρ εὐλογημένη. χαῖρε Πύλη, δικαιοσύνης Ἥλιον ἔχουσα.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Μ Ἀ Πάθη Χριστοῦ, σαφῶς μιμησάμενος, καὶ τούτου πιὼν πιστῶς τὸ ποτήριον, κοινωνὸς Εὐστάθιε, καὶ τῆς δόξης σύγκληρος γέγονας, παρ' αὐτοῦ τοῦ πάντων Θεοῦ, λαμβάνων ἐξ ὕψους θείαν ἄφεσιν. Ὁ Οἶκος.

Υ Ἥμνον μοι δώρησαι ὁ Θεός μου, ἀνυμνῆσαι καὶ λέγειν, τοὺς ἀγῶνας νυνὶ τοῦ Ἀθλοφόρου σου Κύριε, ὅπως εὐρύθμως ἐγκωμιάσω, τὸν γενναῖον Εὐστάθιον ἐν τοῖς ἄθλοις, τὸν νικητὴν ἐν πολέμοις, ἐχθρῶν γεγονότα ἀεὶ, τὸν μέγαν ἐν εὐσεβείᾳ, καὶ χορῷ τῶν Μαρτύρων ἐκλάμποντα. σὺν τούτοις γὰρ ψάλλει ἀπαύστως σοι, μετ' Ἀγγέλων ὁ πάνσοφος, λαμβάνων ἐξ ὕψους θείαν ἄφεσιν.

Μηνὶ τῷ αὐτῷ Κ'. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Εὐστασίου, καὶ Θεοπίστης, συμβίου αὐτοῦ, καὶ τῶν δύο Υἱῶν αὐτῶν, Ἀγαπίου, καὶ Θεοπίστου.

ᾀ. Εὐστάθιον βοῦς παγγενῆ χαλκοῦς φλέγει,
Καὶ παγγενῆ σὺ τοῦ Θεοῦ σώζεις Λόγε.
Εἰκάδι Εὐστάθιος γενεῇ ἅμα ἐν βοΐ καύθη.

Ο Ὗτος ὁ Ἅγιος Μεγαλομάρτυς Εὐστάθιος, ἦν στρατηλάτης ἐν τῇ Ῥωμαίων Πόλει, ἐπὶ Τραϊανοῦ τοῦ Βασιλέως. ἐκαλεῖτο δὲ αὐτὸς μὲν Πλακίδας, ἡ δὲ γυνὴ αὐτοῦ, Τατιανή. ἦν δὲ πλούσιος σφόδρα, καὶ χαίρων ἐν ἐλεημοσύναις πενήτων Ἕλλην ὤν. κυνηγοῦντι δὲ αὐτῷ, ἐφάνη ἔλαφος, καὶ ἤρξατο καταδιώκειν αὐτήν· ἤδη δὲ μέλλων καταφθᾶσαι τὸ ζῶον, βλέπει ἐπὶ τῶν κεράτων αὐτῆς, τὸν τίμιον Σταυρὸν τοῦ Χριστοῦ, καὶ ἦλθε φωνὴ ἐκ τῶν κεράτων τῆς ἐλάφου, λέγουσα· ὦ Πλακίδα, τί με διώκεις; ἐγώ εἰμι ὁ Χριστός. εἶτα ἐβαπτίσθη, καὶ οὕτως ἐπολεμήθη ὑπὸ τοῦ βροτοκτόνου δαίμονος, ὡς καὶ τὸν πλοῦτον αὐτοῦ ἀπολέσαι, καὶ τὴν γυναῖκα αὐτοῦ αἰχμάλωτον ἰδεῖν, καὶ τὰ παιδία αὐτοῦ ὑπὸ θηρίων ἁρπαγέντα, καὶ αὐτὸν γενέσθαι ἐν πενίᾳ. εἶθ' οὕτως εὑρεῖν πάλιν, καὶ τὴν γυναῖκα καὶ τὰ παιδία, ζητηθῆναί τε παρὰ τοῦ Βασιλέως, καὶ ἀπολαβεῖν τὸ πρότερον ἀξίωμα. μεθ' ὧν ὕστερον ἀναγκασθεὶς θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθεὶς, ἐμβάλλεται εἰς χαλκοῦν βοῦν πεπυρωμένον, καὶ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Πατέρων ἡμῶν, καὶ Ὁμολογητῶν, Ὑπατίου Ἐπισκόπου, καὶ Ἀνδρέου Πρεσβυτέρου.

ᾀ. Ὑπὲρ πανάγνων Ὑπάτιον Εἰκόνων,
Σὺν Ἀνδρέᾳ σφάττουσιν ἄνδρες αἱμάτων.

Ο Ὗτοι τῆς Λυδῶν χώρας ὄντες, καὶ ἔντινι φροντιστηρίῳ Παῖδες ὄντες φοιτήσαντες, ὁ μὲν Ὑπάτιος, τὸν μονήρη βίον ἠσπάσατο, Ἀνδρέας δὲ Ἱεροκήρυξ τῆς Ἐκκλησίας κατέστη. οὐ νηστείαις δὲ μόνον καὶ ἀγρυπνίαις καὶ προσευχαῖς τῶν ἄλλων ἐκράτουν, ἀλλὰ καὶ πάσῃ ταπεινοφροσύνῃ καὶ ἀγάπῃ. μαθὼν δὲ περὶ αὐτῶν ὁ Πρόεδρος Ἐφέσου, καὶ πρὸς ἑαυτὸν ἀγαγὼν, Ὑπάτιον μὲν, Ἐπίσκοπον χειροτονεῖ, Ἀνδρέαν δὲ, Πρεσβύτερον. ἐπεὶ δὲ ὁ μισάγιος Λέων ὁ Βασιλεὺς ἀνέμαθε τὰ περὶ αὐτῶν, εἰς ἑαυτὸν μετεκαλέσατο, καὶ εἱρκτῇ ἐναπέθετο, καὶ σπαράττεσθαι, καὶ σύρεσθαι προὔτρεψε, καὶ μετὰ ταῦτα προσέταξε καὶ τὸ δέρμα τῆς κεφαλῆς ἀποσυρῆναι, καὶ τὰς ἁγίας Εἰκόνας, παμπόλλας οὔσας, κατὰ τῆς κεφαλῆς ἀναφθῆναι ἐδέξαντο. καὶ πίσσῃ χρισθέντες τὰς γενειάδας, διὰ μέσης τῆς πόλεως σύρονται, καὶ ἐπὶ τὰ μέρη τοῦ ξηρολόφου κατασφάττονται, ῥιφέντες βορὰ τοῖς κυσί.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μαρτίνου Πάπα Ῥώμης, Μαξίμου, καὶ τῶν σὺν αὐτοῖς.

Ο Ὗτοι Σύνοδον ποιήσαντες ἐν Ῥώμῃ, συνελθόντων καὶ ἑτέρων αὐτοῖς Ἱερέων, καὶ Ὀρθοδόξων ἀνδρῶν, ἀνεθεμάτισαν τὴν αἵρεσιν Κωνσταντίνου τοῦ Βασιλέως ἐγγόνου τοῦ Ἡρακλείου. τοῦτο μαθὼν ἐκεῖνος, Μάξιμον μετὰ τοῦ Μαθητοῦ αὐτοῦ Ἀναστασίου, ἐν πρώτοις ἐναπόκλειστον ἐποίησεν. εἶτα ἐξώρισεν ἐν τῇ Θρᾴκῃ. πάλιν δὲ παραστήσας ἀνέκρινεν αὐτούς. τῶν δὲ ἐλεγξάντων πρὸ προσώπου αὐτοῦ τὴν δυσσεβῆ αὐτοῦ αἵρεσιν, τὰς χεῖρας αὐτῶν, καὶ τὰς γλώττας ἀπέτεμε, παραπέμψας αὐτοὺς ἐν Λαζικῇ ἐξορίστους. ἀποστείλας δὲ ἐν Ῥώμῃ, ἀνήγαγε τὸν Ὅσιον πατέρα ἡμῶν

Μαρτῖνον ἐν Κωνσταντινουπόλει, καὶ καθείρξας, πολλὰς κακώσεις ἐπαγαγὼν αὐτῷ τριετίαν ὅλην, εἰς Χερσῶνα ἐξώρισε. καὶ ὁ μὲν Ἀναστάσιος ἐν ἐξορίᾳ πληρώσας χρόνους εἴκοσι, ἐτελειώθη ἐν Κυρίῳ. ὡσαύτως καὶ ὁ Θεόδωρος. Εὐπρέπιος δὲ διήρκεσεν ἐν ἐξορίᾳ χρόνον καὶ μόνον. ὁμοίως καὶ Μάξιμος. ὁ δὲ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Μαρτῖνος, πολλὰ δεινὰ ὑπομείνας ἐν Χερσῶνι πρὸς Κύριον μετέστη. τὸ δὲ ἅγιον αὐτοῦ λείψανον, ἐτέθη ἔξω τοῦ Κάστρου Χερσῶνος, ἐν τῷ Ναῷ τῆς Ὑπεραγίας Θεοτόκου τῶν Βλαχερνῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Ἀρτεμιδώρου, καὶ Θαλοῦ.

ξι. Ἀρτεμίδωρον, καὶ Θαλὸν κτείνει ξίφος, Μὴ προσκυνοῦντας Ἄρτεμιν ξενοκτόνον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μελετίου Ἐπισκόπου.

ξι. Ζωῆς ῥεούσης οὐ μέλει Μελετίῳ.

Ὅθεν τελευτᾷν, πῶς ἂν εἴποις, ἠγάπα.

Καὶ μνήμη, Τοῦ ἐν Ὁμολογηταῖς μεγίστου Ἰωάννου τοῦ Αἰγυπτίου.

Οὗτινος τὴν παῤῥησίαν μὴ ἐνεγκὼν ὁ παράνομος Μαξιμιανὸς, ἐκέλευσεν ἀναιρεθῆναι αὐτὸν, μετὰ καὶ ἄλλων τεσσαράκοντα. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Ὡς ἐν καμίνῳ, τῷ πυρωθέντι χαλκουργήματι, εἶδον καθειργμένοι Μάρτυρες τοῦ Χριστοῦ, εὐχαρίστως ἐκραυγάζετε· εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Νόμῳ φιλίας, ὡς ἡνωμένοι καὶ τῆς φύσεως, μίαν καρτερίαν Μάρτυρες εὐκλεεῖς, ἐναθλοῦντες ἐπεδείξασθε, εὐλογημένος εἶ ὁ Θεὸς ἐκβοῶντες καὶ Κύριος. θ'.

Ὑψηλοτέρα, τῶν Οὐρανίων Θείων Δυνάμεων, μόνη ἐξ αἰώνων πέφηνας ἀληθῶς. τὸν γὰρ Κτίστην τούτων τέτοκας, ἀνερμηνεύτως σὺ, Θεογεννῆτορ Πάναγνε Δέσποινα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Μαρτύρων χορείαν ἀψευδῶν, συγκροτουμένην λαμπρῶς, θερμοῖς τῆς φύσεως, καὶ λόγῳ πίστεως ἅπαντες, εὐσεβῶς νῦν εὐφημήσωμεν, ὡς εὐσεβείας ἐραστὰς, καὶ πίστει μέλψωμεν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὡραίως ἡνώθητε σεπτοὶ, διαιρεθέντες Σοφοὶ, προνοίᾳ μείζονι, οἰκείοις αἵμασι βάψαντες, τὴν πορφύραν τῆς νυμφεύσεως, καὶ πρὸς Οὐρανίον θερμῶς, παστάδα σπεύδοντες, καὶ βοῶντες· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Καρπὸν τῆς κοιλίας εὐσεβῶς, Θεῷ προσήγαγες, μάκαρ Εὐστάθιε, καὶ τὴν Ὁμόζυγον χαίρουσαν. κοινωνοὺς γὰρ τῆς ἀθλήσεως, τοὺς ἐκ τῆς φύσεως Χριστῷ, ψάλλοντας εἴληφας· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, Παρθένος πέφηνας, ἄνθος βλαστήσασα, τὸν Παντοδύναμον Κύριον, τὸν ἡμᾶς εὐωδιάσαντα, καὶ τὴν ὀσμὴν τὴν ἑαυτοῦ, πᾶσι παρέχοντα, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους.

Ὅλῳ τῷ φωτὶ τῆς Τριάδος, μετ' εὐφροσύνης προχωρήσας, ταῖς Ἀγγελικαῖς στρατηγίαις, νῦν συναγάλλῃ Μάρτυς Εὐστάθιε· μεθ' ὧν ἀπαύστως πρέσβευε, πάντας σωθῆναι τοὺς ὑμνοῦντάς σε.

Οὓς ἐπὶ τῆς γῆς σου ἀγῶνας, καὶ τὰς ποικίλας περιστάσεις, ἡ ἐν Οὐρανοῖς εὐφροσύνη, μετὰ Δικαίων νῦν διεδέξατο· ἧς ἀπολαύειν Ἔνδοξε, τοὺς σὲ ὑμνοῦντας καταξίωσον.

Ὅλον ἐμαυτόν σοι προσφέρω, Μάρτυς Εὐστάθιε προθύμως, ἵνα σε πλουτήσω προστάτην, πρὸς τὸν Δεσπότην σώζειν δυνάμενον, ἐκ πάσης περιστάσεως, καὶ σωτηρίας θείας πρόξενον. Θεοτοκίον.

Σὲ τὴν ἀπειράνδρως τεκοῦσαν, τὸν Ζωοδότην καὶ Σωτῆρα, πάντες δυσωποῦμεν ἐκτενῶς, οἱ Θεοτόκον ὁμολογοῦντές σε, ῥυσθῆναι πάσης θλίψεως, σαῖς ἱκεσίαις Μητροπάρθενε.

Ἐξαποστειλάριον. Ἐν πνεύματι τῷ Ἱερῷ.

Μῆς ἀθανάτου δόξης τε, καὶ ζωῆς τῆς ἀλήκτου, ἐπέτυχες καταλιπὼν, τὰ τοῦ Κόσμου ἡδέα, σὺν Παισὶ Θεόφροσι, καὶ Γυναικὶ πανολβίῳ. διὰ τοῦτό σου πόθῳ, τὴν πανίερον καὶ θείαν, ἑορτάζομεν μνήμην. Θεοτοκίον.

Ἡμεῖς ἐν σοὶ θαῤῥοῦντες τῇ Θεοτόκῳ, ἐχθροὺς διπλοῦς τροπούμεθα κατὰ κράτος, τὸν Σταυρὸν κατέχοντες τοῦ Υἱοῦ σου, ὅπλον ἡμῖν καὶ τρόπαιον, ἀσπίδα ξίφος καὶ δόρυ, καὶ βέλος κατὰ Βελίαρ.

Εἰς

Εἰς τοὺς Αἴνους, ἱστῶμεν ξι. δ'. καὶ ψάλλομεν ξι. Ἰδιομ. τῶν Ἁγίων, ἦχος δ'.

Ἀνδρέου Πυρῶ.

Ὡ Ἰς μὴ μακαρίσει σου, τὸν πανόλβιον τρόπον Εὐστάθιε; ὅτι γενναίως ὑπηνέγκας, τοῦ ἀρχεκάκου ἐχθροῦ τὰς προσβολάς. τῆς γὰρ Συζύγου καὶ τῶν Τέκνων τὴν στέρησιν οὐκ ἐδυσφόρησας, ἀλλ' ἐβόας τὴν εὐχάριστον φωνὴν τοῦ Ἰώβ· γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι πρὸς τὸν μόνον Δημιουργὸν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἦχος π. β'.

Ἀ Φθόρου τόκου Μαρίας, ὑπάρχων Μάρτυς καταγώγιον, ἀλήκτως πέλων ἐν φωτὶ αὐλῷ τε, καὶ ἡμῖν εὐμενίζεις Τριάδα τὴν ἄκτιστον.

Ἦχος πλ.

Ὦ ἀδύτῳ γνόφῳ εἰσδὺς, καὶ τῷ τῆς δικαιοσύνης Ἡλίῳ οἰκειωθεὶς, τὴν ἐξ ὕψους νοητῶς φανεῖσαν, διὰ ζώου εἰκόνα θείως προσψαύσας, ἔμπνους εἰκὼν ὑπῆρξας, παμμάκαρ Εὐστάθιε. ὅθεν τὴν ἐκ Πνεύματος, καὶ ὕδατος φωτισθεὶς ἐνέργειαν, τῷ μαρτυρικῷ τε λουσάμενος αἵματι, ταῖς οὐρανίαις κατηξίωσαι συγχορεύειν, τῶν Ἀγγέλων ὁμηγύρεσιν. ἐν ᾧ καὶ ἡμᾶς κατοικείωσον, τῷ Σωτῆρι Χριστῷ καὶ Θεῷ ἡμῶν.

Δόξα, ἦχος πλ. Γερμανοῦ.

Ἡ Ἐν στρατοπεδαρχίαν τῆς κάτω Βασιλείας ἀπολαβόμενος, καὶ διὰ ζώου ὀφθέντος σοι ἐν εἰκόνι τοῦ Σωτῆρος ἡμῖν, νῦν συγχορεύεις τοῖς ἄνω, σὺν Γυναικίσου καὶ Τέκνοις, παμμάκαρ Εὐστάθιε. διὸ δυσωποῦμέν σε, τῷ Κυρίῳ πρεσβεύειν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Ὅ Ἥπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο· καὶ Δαβὶδ ὁ μελῳδὸς, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο· τίμιον Σταυρόν σου Χριστὲ ὁ Θεὸς, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες δεόμεθα· Κύριε σὺν τῷ Λῃστῇ, τῆς Βασιλείας σου ἀξίωσον ἡμᾶς.

Εἰς τὸν ξι. ξι. προσόμοια, ἦχος β'.

Οἶκος τοῦ Ἐφραθᾶ.

Ζ Ύλον τὸ τοῦ Σταυροῦ, ὑψούμενον ὁρῶντες, μεγαλωσύνην δῶμεν, Θεῷ τῷ Σταυρωθέντι, σαρκὶ δι' ἀγαθότητα.

ξι. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ὕ Δατι Θεουργῷ, καὶ Αἵματί σου Λόγε, λαμπρῶς ἡ Ἐκκλησία, στολίζεται ὡς νύμφη, Σταυροῦ τὴν δόξαν μέλπουσα.

ξι. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ὑ Ἅλην φθοροποιὸν, ἐξαίρει ἁμαρτίας, τὸ τοῦ Σταυροῦ σου ξύλον· ὑψούμενον Σωτήρ μου, λαμπρύνει δὲ τὰ σύμπαντα. Δόξα, ἦχος πλ.

Ὥ Σπερ Παῦλος τὴν κλῆσιν, οὐκ ἐξ ἀνθρώπων δεξάμενος, Μάρτυς Εὐστάθιε, καὶ αὐξανὼν ἐν Θεῷ τῇ τοῦ Σταυροῦ πεποιθήσει, τῶν Τυραννων τὸ δυοσεβὲς, καὶ τῶν βασανων τὸ ἀπηνὲς ἀνδρείως κατήχυνας. διὸ καὶ μέχρις αἵματος, ἀντικατέστης πρὸς τὴν ἁμαρτίαν, πρὸς ἀοράτους ἐχθροὺς ἀνταγωνισάμενος, καὶ πρεσβεύεις ἀπαύστως τῷ Βασιλεῖ καὶ Θεῷ, δωρηθῆναι τῇ Οἰκουμένῃ εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός.

Ἡ Φωνὴ τοῦ Προφήτου σου Μωϋσέως ὁ Θεὸς, πεπλήρωται ἡ λέγουσα. Ὄψεσθε τὴν ζωὴν ἡμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ἡμῶν. σήμερον Σταυρὸς ὑψοῦται, καὶ Κόσμος ἐκ πλάνης ἠλευθέρωται. σήμερον τοῦ Χριστοῦ ἡ Ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται, ἐν κυμβάλοις Δαβιτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ Θεὸς, Σταυρὸν καὶ τὴν Ἀνάστασιν. δι' ὧν ἡμᾶς ἔσωσας, ἀγαθὲ καὶ φιλάνθρωπε, Παντοδύναμε Κύριε, δόξα σοι.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Προκείμενον, ἦχος δ'. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ. ξι. Προωρώμην τὸν Κύριον. Ὁ Ἀπόστολος. Πρὸς Ἐφεσίους. Ἀδελφοὶ, ἐνδυναμοῦσθε ἐν Κυρίῳ. Ζήτει Κυριακῇ κζ'. Ἀλληλούϊα, ἦχος δ'. Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κτ. Λουκᾶ. Εἶπεν ὁ Κύριος· προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ζήτει τῇ γ'. τῆ β'. Ἑβδομάδος. Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κῷ. Καὶ τὰ ἑξῆς.

Μηνὶ τῷ αὐτῷ ΚΑ'.

Τοῦ Ἁγίου Ἀποστόλου Κοδράτου, τοῦ ἐν Μαγνησίᾳ.

Δεῖ γινώσκειν, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτὴ τοῦ τιμίου Σταυροῦ, καὶ ψάλλον-

ται πάντα τῆς Ἑορτῆς, ἐντὲ τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ. ἡ δὲ τοῦ Ἁγίου Ἀκολουθία ψάλλεται τῇ ἐπαύριον μετὰ τοῦ Ἁγίου Ἱερομάρτυρος Φωκᾶ. Συναξάριον.

Τῷ αὐτῷ Μηνὶ ΚΑ'. Μνήμη τοῦ Ἁγίου Προφήτου Ἰωνᾶ.

ξι. Ἀπὸ προσώπου τοῦ Θεοῦ φεύγεις πάλαι,
Νῦν δὲ πρόσωπον Ἰωνᾶ τούτου βλέπεις.
Εἰκάδι δὲ πρώτῃ τὸν Ἰωνᾶν γαῖα κάλυψεν.

Οὗτος ἦν Υἱὸς τοῦ Ἀμαθῆ, ἀπὸ Γὲτ, ἐκ Καριαθμαοὺς, πλησίον Ἀζώτου, Πόλεως Ἑλλήνων κατὰ θάλατταν, καὶ ἐκβρασθεὶς ἐκ τοῦ Κήτους, ἀπελθὼν ἐν Νινεύῃ, καὶ κηρύξας, καὶ ἀνακάμψας, οὐκ ἔμεινεν ἐν τῇ γῇ αὐτοῦ. ἀλλὰ παραλαβὼν τὴν Μητέρα αὐτοῦ, παρῴκησεν ἐν τῇ Ἀσὼρ, χώρᾳ τῶν ἀλλοφύλων. ἔλεγε γὰρ, ὅτι οὕτως ἀφελῶ τὸ ὄνειδός μου, ὅτι ἐψευσάμην προφητεύσας κατὰ Νινεύῃ, τῆς Πόλεως τῆς μεγάλης. οὗτος ἐστὶν ὁ Υἱὸς τῆς Χήρας, ὃν ἤγειρεν Ἠλίας ὁ Προφήτης. ἦν γὰρ τότε Ἠλίας ἐλέγχων τὸν Ἀχαὰβ, καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν, ἔφυγε. καὶ ἐλθὼν εἰς Ἄρεφθα τῆς Σιδωνίας, εὗρε τὴν Χήραν μετὰ τοῦ Υἱοῦ αὐτῆς, καὶ ἔμεινε παρ' αὐτῇ. οὐ γὰρ ἠδύνατο μένειν μετὰ τῶν ἀπεριτμήτων, καὶ εὐλόγησεν αὐτὴν διὰ τὴν ξενοδοχίαν αὐτῆς. ἦν γὰρ γινώσκων αὐτὴν ἐκ πρώτου, ἧς καὶ θανόντα τὸν Υἱὸν ἤγειρε. καὶ ἀναστὰς μετὰ τὸν λιμὸν, ἐπορεύετο εἰς γῆν Ἰούδα, καὶ ἀποθανοῦσαν τὴν Μητέρα αὐτοῦ, ἔθαψεν αὐτὴν εἰς τὰ ἐχόμενα τῆς Βαλανοῦ Δεβόῤῥας. καὶ κατῴκησεν ἐν γῇ Σεναὰρ, καὶ ἀπέθανεν ἐκεῖ, καὶ ἐτάφη, ἐν τῷ σπηλαίῳ τοῦ Κεναιζαίου, Κριτοῦ γενομένου μιᾶς φυλῆς, ἐν ἡμέραις τῆς Ἀναρχίας. καὶ ἔδωκε τέρας ἐπὶ Ἱερουσαλὴμ, καὶ ὅλην τὴν γῆν, ὅτε ἴδωσι λίθον βοῶντα οἰκτρῶς λεπτὴν φωνὴν, καὶ κάνθαρον ἀπὸ ξύλου πρὸς Θεὸν φθεγγόμενον, τότε ἐγγίζειν τὴν σωτηρίαν. τότε ὄψονται τὴν Ἱερουσαλὴμ ἠδαφισμένην, ἕως θεμελίου, καὶ εἰς αὐτὴν πάντα τὰ Ἔθνη ἥξει, ἐν προσκυνήσει Κυρίου. καὶ μεταθήσουσι τοὺς λίθους αὐτῆς, κατὰ δυσμὰς Ἡλίου. καὶ ἐκεῖ ἔσται ἡ προσκύνησις τοῦ ἠλειμμένου. διὰ τὸ Ἱερουσαλὴμ βδελυχθῆναι ἐν ἐρημώσει θηρίων, καὶ τότε ἥξει τὸ τέλος πάσης πνοῆς.

Τῇ αὐτῇ ἡμέρᾳ. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωνᾶ τοῦ Σαββαΐτου.

ξι. Ἀφεὶς Ἰωνᾶς ἀστάτου βίου τόπον,
Ἑστῶτα καὶ βέβαιον εὑρίσκει τόπον.

Οὗτος ὁ Ὅσιος, Πρεσβύτερος ὢν, Πατὴρ Θεοδώρου τοῦ Ὁσιωτάτου καὶ μακαριωτάτου Θεοφάνους τοῦ Ποιητοῦ τῶν Κανόνων, ὧν τὰ πρόσωπα ἐπέγραψε Θεόφιλος ὁ Εἰκονομάχος. οὗτος ὁ Πατὴρ Ἰωνᾶς, ἀπελθὼν ἐν τῇ τοῦ Ἁγίου Σάββα Λαύρᾳ, καὶ ἀποκαρεὶς, ἄκραν εὐλάβειαν ἐκτήσατο, καὶ πολλὰς ἀρετὰς κατορθώσας, ἐν γήρᾳ καλῷ πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Κοδράτου.

ξι. Λίθοις νέμειν θέλοντα μηδαμῶς σέβας,
Τὸν Κοδράτον βάλλουσιν ἄφρονες λίθοις.
Εἰκάδι δὲ πρώτῃ Κοδράτος στέφος εὕρατο ἄθλοις.

Οὗτος ἀρχαῖος καὶ πολυΐστωρ ἀνὴρ ὑπάρχων, ἐν Ἀθήναις καὶ Μαγνησίᾳ τὸν λόγον τοῦ Κυρίου κατήγγειλε, καὶ πολλοὺς φωταγωγήσας τοῖς δόγμασι, πρὸς φῶς Θεογνωσίας ἐπανήγαγεν. ὅθεν ἐξ Ἀθηνῶν τῆς αὐτοῦ Ποίμνης ὑπὸ τῶν διωκτῶν ἀπελαύνεται, πρότερον λίθοις βληθεὶς, καὶ πυρὶ δοκιμασθεὶς, καὶ ποιναῖς ἄλλαις. ὕστερον δὲ ὑπὸ Ἀδριανοῦ τοῦ Αἰλίου, τὸν στέφανον τοῦ Μαρτυρίου κομίζεται.

Καὶ μνήμη, Τοῦ Ἁγίου Μάρτυρος Εὐσεβίου.

ξι. Εὐσέβιον κτείνουσι δυοσεβεῖς ξίφει,
Τὸν εὐσεβῶς βιοῦντα, καὶ Χριστοῦ φίλον.

Οὗτος αὐτόκλητος ἦλθε πρὸς τὸν Ἄρχοντα Φοινίκης, καὶ φησί. τί ἀνοηταίνεις Θεομάχε διώκων τὴν τοῦ Χριστοῦ Ποίμνην; ὁ δὲ ὀργισθεὶς, προσέταξεν ἀναρτηθέντα τὸν Ἅγιον ξέεσθαι. ἐπὶ πολὺ δὲ ξέσαντες τριχίνοις ῥάκεσιν, ἅλας ἐμβαλόντες, καὶ προσδήσαντες, ἀνέξαινον τὰς σάρκας τοῦ Ἁγίου. ὁ δὲ Ἅγιος ἠγαλλιᾶτο, ὡς ἐν ἀλλοτρίῳ σώματι πάσχων. καὶ ὁ Ἄρχων ἐν ἀμηχανίᾳ γενόμενος, ξίφει ἀποτμηθῆναι τὴν κεφαλὴν αὐτοῦ ἀπεφήνατο. καὶ ἀνῆλθεν εἰς Οὐρανοὺς, δοξάζων καὶ εὐλογῶν τὸν Θεόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, καὶ αὐταδέλφων Εὐσεβίου, Νεστάβου, καὶ Ζηνώνος.

ξι. Εὐσέβιος, Νέσταβος, ἀλλὰ καὶ Ζηνών;
Δι' εὐσεβῆ θνήσκουσι Πίστιν ἐκ ξίφους.

Τῇ

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Πατέρων ἡμῶν, καὶ Ἐπισκόπων Κύπρου, Μελετίου, καὶ Ἰσακίου.

Οὗτοι οἱ Ἅγιοι καὶ μακάριοι Πατέρες ἡμῶν γεγόνασιν Ἐπίσκοποι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ τῆς ἐν τῇ Κύπρῳ, εὐλαβεῖς καὶ φοβούμενοι τὸν Θεόν. εἶχον δὲ ἀκατάπαυστον ἔργον, τὸ διδάσκειν τὸν λαὸν τὰ θεῖα λόγια τοῦ Χριστοῦ, καὶ διανέμειν τὰ ὑπάρχοντα αὐτῶν τοῖς χρῄζουσιν. οὕτω δὲ ποιοῦντες παρ' ὅλην τὴν ζωὴν αὐτῶν, πρὸς Κύριον ἐξεδήμησαν κατὰ διαφόρους καιρούς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Πρίσκου.

ξι. Φέρων ὕδωρ ζῶν Πρίσκος ἐν τῇ καρδίᾳ, Ἐμπρησμὸν οὐ δέδοικε τὸν τοῦ σαρκίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰσακίου Ἐπισκόπου Κύπρου.

ξι. Τὸν μόχον Ἰσάκιε τὸν Θεῖον θύων, Ξίφει δι' αὐτὸν, οἷάπερ μόχος, θύῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων ἓξ Μαρτύρων ὑπασπιστῶν ὄντων Μαξιμιανοῦ.

ξι. Ὑπὲρ Θεοῦ κλίναντος ἐν Ξύλῳ κάραν, Ἓξ Μάρτυρες κλίνουσι τὴν κάραν ξίφει.

Ἰστέον ὅτι ἐν τῇ Κυριακῇ μετὰ τὴν ἀπόδοσιν τῆς Ἑορτῆς, ἀρχόμεθα στιχολογεῖν ἐν τῷ Ὄρθρῳ κα. γ'. καὶ Ἀναγνώσεις ποιεῖν δ'. Ἐν δὲ τῷ Ἑσπερινῷ, τὰ πρὸς Κύριον.

Μηνὶ τῷ αὐτῷ ΚΒ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Φωκᾶ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ξι. ς'. καὶ ψάλλομεν ξι. τοῦ Ἁγίου Ἀποστόλου Κοδράτου γ'. καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Φωκᾶ τρία, τοῦ Ἁγίου Κοδράτου, ἦχος α'.

Τῶν Οὐρανίων Ταγμάτων.

Ὧν Οὐρανίων χαρίτων, ταῖς ἐπιλάμψεσι, καταυγασθεὶς ἐδείχθης, ἐν τῷ Κόσμῳ Κοδράτε, φωστὴρ πᾶσι προφαίνων, ἀκτῖνας φαιδρὰς, τοῦ ἐνθέου κηρύγματος. καὶ διὰ τοῦτο τιμῶμέν σε οἱ πιστοὶ, ὡς Ἀπόστολον καὶ Μάρτυρα.

Οὗ τὰς εὐθείας πορείας, βαδίσας ἔνδοξε, τῶν σκολιῶν ἐρρύσω, τρίβων τῆς εὐσεβείας, ἀνθρώπους πλανωμένους. ὅθεν πιστοὶ, ἀπλανῆ σε δοξάζομεν, καὶ ὁδηγὸν καὶ μεσίτην τῆς πρὸς Θεὸν, οἰκειώσεως Ἀπόστολε.

Ὁ Θαυμαστὸς ἐν Ἁγίοις, ὑπάρχων Κύριος, σὲ τῇ ἀφθόνῳ δόξῃ, τῶν αὐτοῦ χαρισμάτων, ἐδόξασεν ἐν Κόσμῳ, καὶ τῶν ψυχῶν, καὶ σωμάτων παρέχετο, θεραπευτὴν ὦ Κοδράτε, τοῖς εὐσεβῶς, εὐφημοῦσί σε Ἀπόστολε.

Ἕτερα, τοῦ Ἁγίου Ἱερομάρτ. Φωκᾶ. Ὅμοια.

Καταβαλὼν τῶν εἰδώλων, τὴν ματαιότητα, τῷ ἱερῷ σου λόγῳ, ἐβεβαίωσας Πίστει, καρδίας ἀστηρίκτους, καὶ πρὸς ζωὴν, Ἱεράρχα ὡδήγησας, καὶ ἐναθλήσας νομίμως Μάρτυς Φωκᾶ, τοῦ Κυρίου ἐχρημάτισας.

Μὴν ἱεραὶ διπλοΐδα, βάψας ἐν αἵματι, τῆς ἱερᾶς σαρκός σου, Ἱερώτατε Πάτερ, διπλοῦς στεφάνους ὄντως παρὰ Χριστοῦ, ὑπεδέξω πανόλβιε, καὶ σὺν Ἀγγέλοις χορεύεις ἐν Οὐρανοῖς, ἱκετεύων τοῦ σωθῆναι ἡμᾶς.

Μαῖς τῶν θαυμάτων ἀκτῖσι, πᾶσαν φωτίζεις τὴν γῆν, τοῖς ἐν θαλάσσῃ Πάτερ, βοηθεῖς καθ' ἑκάστην. νοσήματα διώκεις, παύεις ψυχῆς, καὶ σαρκὸς ἀρρωστήματα, παρὰ Κυρίου τὴν χάριν Μάρτυς Φωκᾶ, ἀληθῶς θεομακάριστε.

Δόξα, ἦχος δ'. Κυπριανοῦ.

Ἐκ βρέφους ἐγένου, τοῦ Κυρίου ἐραστὴς, Φωκᾶ παμμακάριστε, Ἱερομάρτυς Χριστοῦ. τὸ γὰρ ὅπλον τοῦ Σταυροῦ ἐπ' ὤμων ἀράμενος, ἀκλινῶς ἐπορεύθης τὴν ὁδὸν τῆς σωτηρίας. δι' ἧς τῶν Ἀγγέλων ὑφέστιος γέγονας, δαιμόνων αὐτίπαλος, καὶ τοῦ Κόσμου πρεσβευτὴς ὤφθης διαπρύσιος,

Καὶ νῦν. θτ. Ἔδωκας σημείωσιν.

Ὄφος φοβερώτατος, ὁ τοῦ θανάτου Θεόνυμφε, τὴν ψυχὴν κατατρύχει μου. τὸ δὲ λογοθέσιον, ἐξιστᾷν καὶ τρέμειν, ἀεὶ τῶν δαιμόνων, παρασκευάζει ἀγαθή. ἐξ ὧν με ῥῦσαι τῇ δυναστείᾳ σου, Παρθένε ἀπειρόγαμε, καὶ πρὸς λιμένα σωτήριον, καὶ πρὸς φῶς τὸ ἀνέσπερον, τῶν Ἁγίων κατάταξον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Νεκρούμενον βλέπουσα, Χριστὸν ἡ Πάναγνος Δέσποινα, καὶ νεκροῦντα τὸν δόλιον, ἠλάλαζε κράζουσα, πικρῶς τῷ ἐκ σπλάγχνων, αὐτῆς προελθόντι, καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα κατεπλήττετο· τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθη τῆς δούλης σου. μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

Εἰς τὸν ξι. τῆς Ὀκτωήχου.

Τροπάριον τοῦ Ἀποστόλου. Ἀπόστολε Ἅγιε.

Τοῦ-

Τȣ̃ Ἱερομάρτυρος. Καὶ τρόπων μέτοχος. Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ᾠλό. Κανὼν τῆς Ὀκτωήχȣ εἷς, καὶ τῶν Ἁγίων δύο· προηγεῖται τȣ̃ Ἀποςόλȣ.

Ὠδὴ α'. ἦχος β'. Δεῦτε λαοὶ ᾄσωμεν.

Ἐτεφηφορῶν, τῷ Βασιλεῖ τῶν δυνάμεων, παρεςηκὼς ἱκέτευε, καταλαμπρύνεσθαι, τȣ̀ς τὴν μνήμην σȣ ταύτην, φαιδρῶς ἐπιτελȣ̃ντας, μάκαρ Ἀπόςολε.

Οἰκονομῶν, τῷ θεμελίῳ τῆς Πίςεως, τῶν εὐσεβῶν τὸ πλήρωμα, ὀχυρωτάταις σȣ, διδαχαῖς Θεοφόρε, εἰδώλων τὴν ἀπάτην, πᾶσαν κατέςρεψας.

Ἱερȣργῶν, τὸ Ἱερὸν Εὐαγγέλιον, ἱερωτάτοις λόγοις σȣ, ψυχὰς τῷ Κτίςῃ σȣ, καθιέρωσας Πίςει, ἀοίδιμε Κοδράτε, σθένει τȣ̃ Πνεύματος. Θεοτοκίον.

Κόρης σαρκὶ, ἐξ ἀπειράνδρȣ τικτόμενος, ὁ Ποιητὴς τῆς Κτίσεως, μετὰ τὴν κύησιν, ὡς πρὸ τόκȣ Παρθένον, αὐτὴν διαφυλάττει, καθὼς ηὐδόκησεν.

Ἕτερος Κανὼν τȣ̃ Ἁγίȣ Φωκᾶ.

Οὗ ἡ ἀκροςιχίς.

Ὑμνεῖν σε Φωκᾶ προσθέτω Θεὸς χάριν.

Ἰωσήφ. Ὠδὴ α'. ἦχος δ'.

Θαλάοσης τὸ ἐρυθραῖον.

Ὑμνῆσαι, προθυμȣμένῳ σήμερον, τὴν θείαν μνήμην σȣ, φωτιςικαῖς τȣ̃ Πνεύματος αὐγαῖς, τὴν ψυχήν μȣ καταύγασον, Ποιμὴν καὶ Μάρτυς ἔνδοξε, τȣ̃ Παντοκράτορος Θεȣ̃ ἡμῶν.

Μαρτύρων, περιφανῶς ἐπλȣ́τησας, τὴν θείαν εὔκλειαν, ποιμαντικαῖς ἐκπρέψας καλλοναῖς, καὶ φοινίξας ἐν αἵματι, τῆς ἱερᾶς ἀθλήσεως, σȣ̃ τὴν ςολὴν Θεομακάριςε.

Νευρώσας, τὸν λογισμὸν ταῖς κρείττοσιν, ἐλπίσι πάνσοφε, τὸν ἐν κακίᾳ ὄντα δυνατὸν, παντελῶς ἐξενεύρισας, καὶ νικηφόρος ἄριςος, πρὸς Οὐρανȣ̀ς Φωκᾶ ἀνέδραμες. Θεοτοκίον.

Ἐλύθη, τῶν Προπατόρων ἄχραντε, τὸ ἐπιτίμιον. τὸν πρὸ αἰώνων τίκτεις τῶν Θεὸν, νέον βρέφος τικτόμενον, καὶ νεȣργȣ̃ντα ἅπασαν, τὴν ἀνθρωπίνην ὄντως ὕπαρξιν.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

Μελῶν τὰ φοβερὰ Κοδράτε θαύματα, ἀπίςȣς εἰς Πίςιν θείαν ἐνῆγες, ὡς Ἀπόςολος θεόληπτος, ὡς σεπτὸς Ἱεράρχης Ἱερώτατε.

Ἐνθέοις διδαχαῖς πολλȣ̀ς ἐφώτισας. φωτὸς γὰρ διάκονος ἀνεδείχθης, τȣ̃ φωτίσαντος τὰ πέρατα, Ἱεράρχα Κοδράτε, Θείαις λάμψεσι.

Μεγίςων ἀγαθῶν ὑπῆρξας πρόξενος, τῇ ποίμνῃ ἐξαίρων ταύτης τὸ σκότος, τῆς ἀγνοίας, καὶ φωτίζων αὐτὴν, παραδόξων θαυμάτων ἐπιδείξεσιν. Θεοτοκίον.

Ἐσκήνωσεν ἐν σοὶ τὸ πῦρ τὸ ἄςεκτον, μὴ φλέξαν τὴν μήτραν σου Θεοτόκε, καὶ κατέφλεξε τὰ πάθη ἡμῶν, καὶ τὴν ὕλην τῆς πλάνης ἀπετέφρωσεν.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Ἐλάσεις ἐπιτελῶν, τῇ ἐπικλήσει τȣ̃ Χριςȣ̃ Ὅσιε, πλάνης ἐχθρȣ̃ ἔσωσας, Πόλεις καὶ λαȣ̀ς Θείᾳ χάριτι.

Ναὸς ὑπάρχων Θεȣ̃, εἰδωλικȣ̀ς Μάρτυς ναȣ̀ς ἔπτωσας, τὴν παντȣργὸν δύναμιν, ἔχων συνεργὸν καὶ συνέριθον.

Ἐτρατὸς ὡράθη Φωκᾶ, Ἀγγελικὸς καὶ Φῶς Θεȣ̃ ἄπλετον, δικαςικῶν θρόνων σε, ἔναντι Κυρίȣ δοξάζων σε.

Ἐκ σȣ̃ Θεὸς σαρκωθεὶς, δι' εὐσπλαγχνίαν τοῖς βροτοῖς ηὔωται, καὶ τὴν ἀραν ἔλυσε, μόνη παντευλόγητε Δέσποινα.

Κοντάκιον τȣ̃ Ἁγίȣ Φωκᾶ, ἦχος β'.

Τȣ̀ς ἀσφαλεῖς.

Ὡς θεαυγὴ καὶ φωτοφόρον Ἥλιον, σὲ νοητὸν τῆς Ἐκκλησίας ὁ Ὕψιςος, Δεσπότης καταλάμποντα, πιςῶν τὰ πλήθη Μάρτυς ἔθετο. τὸν βίον γὰρ καὶ τȣ̀ς ἄθλȣς σȣ, ὡς μύρον εὐωδίας προσεδέξατο, ὁ μόνος ὑπάρχων πολυέλεος. Ὁ Οἶκος.

Φώτισόν με φωτὶ ἀνεσπέρῳ τῆς σῆς γνώσεως Σῶτερ, τὴν ἀχλὺν τῶν παθῶν σκεδάζων μȣ, καὶ σκοτόμαιναν. λόγον σοφίας δίδȣ μοι Λόγε καὶ συνέσεως θείας ἐν κατανύξει, ὅπως τὸν σὸν παναοίδιμον Μάρτυρα ςέψω Φωκᾶν ἐν ὕμνοις καὶ μελῳδίαις. ἀπορȣ́ντων γὰρ πέλεις ἀντίληψις, καὶ πλοῦτος πᾶσι πτωχεύȣσι, καὶ πηγὴ ἀγαθῶν δωρεῶν καὶ Σωτὴρ, ὁ μόνος ὑπάρχων πολυέλεος.

κα. ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὸν μέγαν Ἀπόςολον, καὶ Ἱεράρχην Χριςȣ̃, Κοδράτον τὸν ἔνδοξον, ἐν θεοπνεύςοις ᾠδαῖς, πιςοὶ εὐφημήσωμεν. βρύει γὰρ ὡς ἐκ κρήνης, τοῖς ἐν πίςει αἰτȣ̃σιν, ἄφεσιν ἐγκλημάτων, καὶ παθῶν θεραπείαν,

λα-

λαβὼν ἐκ τοῦ Ὑψίστου, τὴν χάριν τὴν ἄφθονον. Δόξα. Ὅμοιον.

Ἡ Χάρις τοῦ Πνεύματος, ἐν σοὶ σκηνώσασα, πηγὴν σε ἀνέδειξε, πολλῶν χαρίτων Φωκᾶ, πλουσίως ἐκβλύζουσαν. ὅθεν καὶ τοῖς πλωτῆρσι, βοηθεῖς καθ' ἑκάστην, πίστει ἐπιζητοῦσι, σὴν βοήθειαν Πάτερ. σὺν τούτοις καὶ ἡμῖν, ἱλασμὸν νέμοις Θεόσοφε.

Καὶ νῦν. Θτ. Ὅμοιον.

Παρθένε Πανάμωμε, τὸν ὑπερούσιον, Θεὸν ἡ κυήσασα, σὺν Ἀσωμάτοις αὐτὸν, ἀπαύστως ἱκέτευε, ἄφεσιν τῶν πταισμάτων, καὶ διόρθωσιν βίου, δοῦναι ἡμῖν πρὸ τέλους, τοῖς ἐν πίστει καὶ πόθῳ, ὑμνοῦσί σε καταχρέως, μόνη Πανύμνητε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρθένε Πανάμωμε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου τὴν παναγίαν ψυχὴν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου. ὅνπερ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἡπονήσας τὴν ἄρουραν, τῶν καρδιῶν, δρεπανῇ σου τῶν λόγων, τῆς κακίας ὕλην, πᾶσαν ἐτέφρωσας.

Συμπαθῶς ἐπικλώμενος, τῶν δυχερῶν, ἐξαίρεις καὶ κινδύνων, Ἱερὲ Κοδράτε, τοῖς αἰτουμένοις σε.

Ῥαῖς λαμπάσι τῶν λόγων σου, φωταγωγῶν, τοὺς πλανῇ σκοτισθέντας, φρυγανώδη πᾶσαν, ἀπάτην ἔφλεξας. Θτ.

Ἐξ ἁγνῶν σου σεσάρκωται, ὁ πλαστουργὸς, αἱμάτων Θεοτόκε, καὶ φθαρέντας πάντας, ἐκαινοποίησεν.

Ἄλλος. Ἐπαρθέντα σε ἰδοῦσα.

Φαεινότατον ἀστέρα σὲ ἐν τῷ ὕψει, τῆς Ἐκκλησίας ἔθετο, Φωκᾶ ὁ Δεσπότης, ἄθλων Ἱερώτατε, θαυμάτων τε λάμψεσιν, πάντων τὰς καρδίας φωτίζοντα.

Ὡμολόγησας τὴν Σάρκωσιν τοῦ Δεσπότου, τυραννικοῦ πρὸ βήματος, Μάρτυς ἀθλοφόρε, καὶ λαμπρῶς κατῄσχυνας, Ἑλλήνων σεβάσματα, καὶ πολυθείας τὸ ἄθεον.

Κορυφουμένην τὴν θάλασσαν τῆς ἀπάτης, πολυθείας λαίλαπι, θείᾳ κυβερνήσει, Ἔνδοξε παρέδραμες, λιμὴν γαληνότατος, πᾶσι γεγονὼς θαλαττεύουσιν.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Ἣν καθαραὶ σου ψυχὴν, ὁ καθαρώτατος Θεὸς σκήνωμα, τῆς ἑαυτοῦ εὑράμενος δόξης, καθαίρει διὰ σοῦ, ψυχὰς ῥυπωθείσας, δεινοῖς παραπτώμασιν.

Οἱ τῶν Ἑλλήνων σοφοὶ, σοῦ ἡττηθέντες τοῖς σοφοῖς δόγμασιν, ὁμολογεῖν ἐπείσθησαν Μάκαρ, Χριστὸν δημιουργὸν, Πατρὸς προανάρχου, σοφίαν καὶ δύναμιν.

Ὑποφωνῶν ἱερῶς, τὴν γενομένην τοῖς βροτοῖς ἔλλαμψιν, ἐκ τοῦ Πατρὸς τῶν φώτων Κοδράτε, ἐφώτισας λαοὺς, σέβειν, καὶ δοξάζειν, Τριάδα ἀχώριστον. Θεοτοκίον.

Σεσαρκωμένον ἡμῖν, ἐν δύο Φύσεσιν Υἱὸν τέτοκας, τὸν ἐκ Πατρὸς πρὸ πάντων αἰώνων, Ἁγνὴ γεννηθέντα, ἀῤῥεύστως ἀχρόνως, ὡς μόνος ἐπίσταται.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Πορείας τοῦ ἐχθροῦ, προφανῶς ὑπεσκέλισας, ἰθυνόν σου τὰς πορείας, πρὸς Θεοῦ θελημάτων, τὰς τρίβους Ἱερώτατε.

Ἡγνύμενον πληγαῖς, τὸ πολύαθλον σῶμά σου, διέῤῥηξεν ἀθείας, τοὺς δεσμοὺς Θείῳ σθένει, Φωκᾶ καὶ στέφος εἴληφας.

Ὁλόκληρον Θεοῦ, προσενήνεξαι σφάγιον, Πανεύφημε τῷ τυθέντι, καὶ ἐναίμους θυσίας, εἰδώλων καταπαύσαντι. Θτ.

Σοφία τοῦ Θεοῦ, ἑαυτῇ ὠκοδόμησεν, ὦ Δέσποινα Θεοτόκε, ἐξ ἁγνῶν σου αἱμάτων, τὸν οἶκον ὡς ηὐδόκησεν.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὑψηλὸς Οὐρανὸς ἐχρημάτισας, δόξαν διηγούμενος, Θεοῦ σωτήριον, ὡς Ἱεράρχης ἔνθεος, ὡς κλεινὸς σὺ Κοδράτε Ἀπόστολος.

Μίαν φύσιν Θεότητος ἄναρχον, μίαν κυριότητα κηρύττων πάνσοφε, πολυθείας ἔλυσας, τὴν σκοτώδη Κοδράτε ἀπόνοιαν.

Νόμῳ φύσεως τάφῳ τὸ σῶμά σου, μάκαρ ἱερώτατε, νῦν κατακείμενον, θαυματουργεῖ παράδοξα, ὑπὲρ φύσιν Κοδράτε καὶ ἔννοιαν. Θεοτοκίον.

Οὐρανὸν ὁ πανύσας βουλήματι, ἄλλον Οὐρανὸν ἐπὶ γῆς σε ἀνέδειξε, Θεογεννῆτορ

Δέ-

Δέσποινα, καὶ ἐκ σοῦ τοῖς ἐν σκότει ἀνέτειλε.

Ἄλλος. Θύσω σοι, μετὰ φωνῆς.

Θ Ἀλάσσαν, ἀθείας ἐξήρανας Πάνσοφε, πηγὴν ζωῆς ἀναβλύζων, διδαχῶν ὁσίων. νῦν δὲ θαυμάτων, ἐπομβρίαις, ἀποπλυνεὶς παθῶν πάντα βόρβορον.

Ε Ἠρθης, ἐπὶ ξύλου δεινῶς σπαθιζόμενος, καὶ ἐξαρθρούμενος μάκαρ, καὶ φωνὴν ἐξ ὕψους σὲ δυναμοῦσαν, ἐνωτίσθης, Ἱεράρχα καὶ Μάρτυς πολύαθλε.

Ψ Ὁ Πάθος, τοῦ ἀπαθοῦς Φωκᾶ μιμησάμενος, πάθη ποικίλα ἰᾶσαι, καὶ λυτρῶσαι ζάλης καὶ τρικυμίας τοὺς πλωτῆρας, ταῖς πρὸς Θεόν σου θείαις ἐντεύξεσιν. θτ.

Ω Ὡς ὄμβρος, ὁ σωτήριος Λόγος κεκένωται, ἐν τῇ ἀφράστῳ σου μήτρᾳ, Παναγία Κόρη, καὶ τῆς κακίας, τοὺς χειμάῤῥους, Θεϊκῇ δυναστείᾳ ἐξήρανεν.

Κοντάκιον, ἦχος πτ. Ὡς ἀπαρχάς.

Ω Ὡς Ἱεράρχην τίμιον, καὶ Ἀθλητὴν στερρότατον, ἡ Οἰκουμένη προσάγει σοι Κύριε, Θεῖον Κοδράτον Ἀπόστολον, καὶ τοῖς ὕμνοις γεραίρει, τὴν σεπτὴν αὐτοῦ μνήμην, αἰτοῦσα πάντοτε· πταισμάτων ἄφεσιν, δωρηθῆναι τοῖς μέλπουσιν, Ἀλληλούϊα.

Ὁ Οἶκος.

Ψ Ὸν σοφὸν Ἱεράρχην τιμήσωμεν, ὡς Ποιμένα πιστὸν καὶ διδάσκαλον. ὅτι ἐν τῷ λειμῶνι τῆς ἀθλήσεως ἐξηνύθησε ῥόδον ἱερώτατον, καὶ ἡμᾶς τοὺς Πιστοὺς κατεμύρισε, βολαῖς θαυμάτων τε, καὶ πράξεσιν ἐναρέτοις, φωτισμοῦ πληρώσας πᾶσαν γῆν, ἰαμάτων ταῖς λάμψεσιν. ἐθαυμάστωσε γὰρ ὁ Θεὸς, τοὺς βοῶντας αὐτῷ, Ἀλληλούϊα.

Τῷ αὐτῷ Μηνὶ κβ'. Τοῦ Ἁγίου Ἱερομάρτυρος Φωκᾶ τοῦ Θαυματουργοῦ.

Ο Ὗτος Υἱὸς ἐγένετο Παμφίλου καὶ Μαρίας, κατὰ τὸν τόπον Σινώπης. εὐθὺς δὲ ἐξ ἀπαλῶν ὀνύχων τῇ τοῦ Ἁγίου Πνεύματος χάριτι, θαύματα ἐπετέλει παράδοξα, καὶ παρέτεινε θαυματουργῶν μέχρις ἐσχάτης ἀναπνοῆς. ὅθεν καὶ τὸ συμβησόμενον αὐτῷ ἐμηνύθη τέλος τοῦ μαρτυρίου. περιστερᾶς τῇ κεφαλῇ αὐτοῦ καθεσθείσης, καὶ στέφανον περιθείσης, καὶ ἀνθρωπίνως φθεγξαμένης, καὶ εἰπούσης, ποτήριον κεκέρασαι, καὶ δεῖ σε αὐτὸ πιεῖν· ὃ καὶ κατηξιώθη πιῶν ἐπὶ Τραϊανοῦ Βασιλέως, ξίφει καὶ πυρὶ τελειωθείς. πόλλα δὲ καὶ μετὰ τὴν αὐτοῦ πρὸς Κύριον ἐκδημίαν, γεγόνασι θαύματα παρ' αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Φωκᾶ τοῦ Κηπωροῦ.

ξι. Ἄδει χάριν σοι σοῦ χάριν θνήσκων Λόγε, Φωκᾶς ὁ Μάρτυς τῷ διὰ ξύφους τέλει.

Ο Ὗτος ἐκ Πόλεως ἐγεγόνει Σινώπης, ἀρχαίας καὶ γνωρίμου κατὰ τὸν τόπον. ἐπιτήδευμα δὲ ἦν αὐτῷ στυπεῖον, περὶ ὃ ἠσχολεῖτο. καὶ ἐργαζόμενος κοινὰ προετίθει τὰ ὄντα. ἀλλὰ καὶ τὴν τῆς ψυχῆς φιλοκαλίαν, περὶ πλείονος εἶχε. διὰ τοῦτο οὐ διέλαθεν. ἀλλὰ καὶ οὗτος ὡς δοῦλος γνήσιος Χριστοῦ ἐμηνύθη τῷ τότε Κρατοῦντι. ἐλθόντος δὲ οἱ δήμιοι, παρ' αὐτῷ τῷ ζητουμένῳ κατέλυσαν. οὓς δεξιωσάμενος καὶ ἀναπαύσας, ἐπυνθάνετο τίνες τε εἶεν, καὶ τὴν αὐτοῦ Πόλιν τίνος χάριν κατέλαβον; οἱ δὲ γνωρίζουσιν αὐτῷ τὸ ἀπόῤῥητον, καὶ ὅτι Φωκᾶν ἐπὶ τιμωρίᾳ ζητοῦσι λαβεῖν. ἤκουσεν ὁ τοῦ Κυρίου θεράπων, καὶ τὴν ἑτοιμασίαν τοῦ τάφου εὐτρεπίσας, ἐφανέρωσεν ἑαυτὸν τοῖς ζητοῦσιν. οἱ δὲ ἐπλήγησαν τὰς ψυχάς. ὁ δὲ, καὶ ἔτι παρεκάλει αὐτοὺς, πρὸς τὴν τόλμαν τῆς παραινέσεως, καὶ τὴν κεφαλὴν ἀποτμηθεὶς, ἱερεῖον τῷ Θεῷ κεχαρισμένον προσήχθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Δροζήλης, θυγατρὸς γεγονυίας Τραϊανοῦ τοῦ Βασιλέως, καὶ τῶν σὺν αὐτῇ πέντε Κανονικῶν.

Καὶ μνήμη, Τοῦ Ἁγίου Μάρτυρος Ἰσαὰκ, καὶ τοῦ Ἁγίου Μαρτίνου.

ξι. Χριστοῦ τὸ θάρσος ἐμπνέων τὸ ὑψόθεν, Πρὸ τῆς σπάθης ἔσπευδεν ἐκπνεῖν Μαρτῖνος.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Ψ Ὑώσας τὸν νοῦν, πρὸς τὸ πρῶτον ἀγαθὸν θεοειδέστατος, ναὸς Τριάδος ἐχρημάτισας, καὶ τοὺς ἐν βάθει κακώσεως, ὕψωσας ταῖς ὑψηλοτάταις διδαχαῖς σου κραυγάζοντα. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ε Υντρίψας ναοὺς, τῶν εἰδώλων προσευχῶν ἀναμοχλεύσεσιν, ἀνεδομήσω Θείῳ Πνεύματι, ναοὺς Θεῷ Ἱερώτατε, καὶ τῶν σωζομένων τὰ πλήθη, προσηγάγω κραυγάζοντα· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Π Υρίπνοος ὤν, ὡς τοῦ Πνεύματος τὸ πῦρ τὸ Θεῖον Πάνσοφε, ἐν τῇ καρδίᾳ ἔχων

παν-

πάντοτε, λαμπὰς ὡράθης φλογίζουσα, πᾶσαν φρυγανώδη ἀπάτην, καὶ τοὺς βοῶντας φωτίζουσα· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ἐ Ὑσθέντες ἀρᾶς, διὰ σοῦ προγονικῆς Θεοχαρίτωτε, καλῶν αἰτίαν σε γινώσκομεν, ὡς τὸν παναίτιον τέξασαν, Λόγον ὑπὲρ νοῦν τε καὶ λόγον. ὅθεν βοῶμέν σοι Ἄχραντε· εὐλογημένη εἶ Θεὸν σαρκὶ κυήσασα.

Ἄλλος. Ἐν τῇ καμίνῳ.

Θυμὸν τυραννων, οὐκ ἐδειλίασας πάνσοφε. Ποίμνης προϊστάμενος δὲ τῆς λογικῆς, ὡς ἀρνίον προσεινηνέξαι, τῷ Ἀρχιποίμενι, μαρτυρικῶς Φωκᾶ κλεϊζόμενος.

Ἐ Δοκιμάσθης, ὡς ἐν χωνίᾳ Μάρτυς χρυσὸς, μέσον ἐμβληθεὶς ἀσβέστου φλογοειδοῦς, καὶ μηδ' ὅλως φλογιζόμενος, εὐλογημένος εἶ ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Ὁ Θεῖος πόθος, προσαναφλέγων τὴν καρδίαν σου, θείῳ δροσισμῷ σε ἔνδοξε συντηρεῖ, ἐν πυρὶ μὴ δαπανώμενον, τῆς ἀθείας δὲ Ἱεράρχα, τὴν ὕλην συγκαίοντα. Θεοτοκίον.

Ἐσαθρωμένον, τὸν τῆς ψυχῆς μου οἶκον Πανάμωμε, Κόρη, μετανοίας τρόποις ὡς ἀγαθὴ, ἀνακαίνισον ἡ ἅπασαν, ἀνθρωπότητα, τῷ τοκετῷ σου ἀνακαινίσασα.

Ὠδὴ ή. Τὸν ἐν καμίνῳ.

Ἐ Στηριγμένας νοητὴν, ἐπὶ πέτραν τῆς ψυχῆς ἔχων τὰς βάσεις, ὑπεσκέλισας μάκαρ, τοὺς τοῦ Κυρίου ἐχθροὺς, καὶ πάντας Κοδράτε ἐστήριξας, τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὡ Σ Μαθητὴς τοῦ Ἰησοῦ, ὡς Ἀπόστολος φαιδρὸς ὡς τοῦ Ἡλίου, τοῦ τῆς δικαιοσύνης, φωτοφανὴς ἀστραπὴ, Κοδράτε φώτισον ἁγίασον, τοὺς ἐπιτελοῦντας, τὴν σὴν ἁγίαν μνήμην.

Κεκοσμημένην ἀρεταῖς, κεκτημένος τὴν ψυχὴν καὶ τὴν καρδίαν, κατεκόσμησας λόγοις διδασκαλίας ψυχὰς, ἐξαίρων ἀθεσμίαν ἅπασαν, εἰδωλομανίας εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Ἱερωτάταις σε φωναῖς, ἱερώτατοι Θεοῦ Ἁγνὴ Προφῆται, ἐσομένην Μητέρα, προανεφώνουν τρανῶς, τοῦ πάντων δεσπόζοντος ἄχραντε. ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Χεῖρας ἐκπετάσας Δανιήλ.

Χ Ἄρις σου τοῖς χείλεσι σοφὲ, Φωκᾶ ἐκκέχυται. ὅθεν ἐπέστρεψας, λαὸν πλανώμενον ὄφεως, ὑποθήκαις καὶ προσήγαγες, οἷα Ποιμὴν ἀληθινὸς, Χριστῷ κραυγάζοντα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀ Κοίμητον ἔχει σε Πιστῶν, Σοφὲ ὁμήγυρις, πρέσβυν κοιμίζοντα, παθῶν θαλάσσης τὰ κύματα, πειρασμούς τε κατευνάζοντα, καὶ ὀδυνῶν παντοδαπῶν, ἡμᾶς λυτρούμενον, τοὺς βοῶντας· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἐ Εῖθρα ἰαμάτων ὁ Ναὸς, σὸς τοῖς χρῄζουσι, πηγάζει πάντοτε. λιμὴν δεικνύμενος ἄκλυστος, καὶ παθῶν φυγαδευτήριον, τοῖς σὲ τιμῶσι, καὶ Χριστῷ Μάρτυς κραυγάζουσιν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἔ Να σου τιμῶμεν τὸ σεπτὸν, Φωκᾶ μνημόσυνον, πανηγυρίζοντες, τὸν ὑπεράγαθον Κύριον, ἐκδυσώπει προθυμότατα, ἀπαλλαγὴν τῶν δυσχερῶν, ἡμῖν δωρήσασθαι, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θεοτοκίον.

Ν Ὁμοῦσε ἐτύπου κιβωτὸς, καὶ στάμνος φέρουσα, τὸ Μάννα Πάναγνε, ἡ θεία Τράπεζα αὖθίς τε, καὶ λυχνία χρυσαυγίζουσα, εἰς ἀποκάλυψιν ἐθνῶν, τὸ φῶς κυήσασαν, τὸ φωτίζον, θεογνωσίᾳ τοῦ Κόσμου τὰ πέρατα.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ὡ Ραιωθεὶς διανοίᾳ, τῷ ὡραίῳ Δεσπότῃ, παρίστασαι φαιδρότατος ἀεὶ, ὡς Ἱεράρχης θεόληπτος, ὡς Ἀπόστολος Θεῖος, σὺν πᾶσιν Ἀποστόλοις ἀληθῶς, τὴν εἰρήνην τῷ Κόσμῳ, Κοδράτε ἐξαιτούμενος.

Ἐ Οῦ Μαγνησία κατέχει, τῶν Λειψάνων τὴν θήκην, ὡς θείαν κιβωτὸν, καὶ ἐξ αὐτῆς, πᾶσαν Κοδράτε ὠφέλειαν, ἀπαρύεται πόθῳ. σκηναὶ δὲ Οὐρανῶν τὴν ψυχὴν, κεκτημέναι σὺν πᾶσιν Ἁγίοις ἐπαγάλλονται.

Ἡ Φωταυγής σου ἡμέρα, ἡ φωσφόρος σου μνήμη, ἡ ὄντως εὐκλεής σου ἑορτὴ, πᾶσιν ὡς ἥλιος ἔλαμψεν. ἣν πιστῶς ἐκτελοῦμεν, Κοδράτε ἱλασμὸν ἁμαρτιῶν, δυσωποῦντες εὐχαῖς σου, λαβεῖν καὶ μέγα ἔλεος.

Φ Εῖσαί μου Κύριε φεῖσαι, ὅταν μέλλῃς με κρῖναι, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ

τῷ

τῷ θυμῷ σου ἐλέγξῃς με. δυσωπεῖ σε Παρθένος, ἡ σὲ κυοφορήσασα Χριστὲ, Ἀποστόλων ὁ δῆμος, καὶ σὺν Προφήταις Μάρτυρες.

Ἄλλος. Λίθος ἀχειρότμητος ὄρος.

Ἱερολογίαις ἐνθέοις, τοῦ Ἱεροῦ δεῦτε Ποιμένος, πάντες τὴν πανίερον μνήμην, ἱερωτάτως πανηγυρίσωμεν, τὸν εὐεργέτην Κύριον, ὑπὲρ ἡμῶν καθικετεύοντες.

Ὤφθης πυρακτούμενος ζήλῳ, τῷ τοῦ Δεσπότου ὁπηνίκα, Μάρτυς τὸ λουτρὸν ὑπεισῆλθες, ἐκκεκαυμένον ἐν ᾧ τὸ πνεῦμά σου, Θεοῦ ἐπαγαλλόμενος, μάκαρ εἰς χεῖρας παραδέδωκας.

Ἐ Ἱεραρχῶν αἱ χορεῖαι, καὶ τῶν Μαρτύρων αἱ ἀγέλαι, καὶ τῶν Ἱερῶν Ἀποστόλων, ἡ συναυλία πάντων Δικαίων τε, Μάρτυς Φωκᾶ τὰ πνεύματα, ἔχοντα μέσον ἐπαγάλλονται.

Ἥπλωται ἐν Κόσμῳ ἡ μνήμη, ἡ σὴ ψυχὰς φωταγωγοῦσα, τῶν ἀνεφημούντων ἐν πίστει, τοὺς σοὺς ἀγῶνας καὶ τὰ παλαίσματα, καὶ τὴν γενναίαν ἄθλησιν, Ποιμὴν καὶ Μάρτυς ἀξιάγαστε.

Θεοτοκίον.

Φώτισον Ἁγνὴ τὴν ψυχήν μου, ἐσκοτισμένην ἁμαρτίᾳ, καὶ αἰωνιζούσης φλογός με, καὶ σκότους ῥῦσαι τῇ μεσιτείᾳ σου. ἵνα τὴν σὴν γηθόμενος, ἀνεφημῶ μεγαλειότατα.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ὡς Μάρτυς καὶ Ἀπόστολος, καὶ Ἱεράρχης ἔνθεος, Κοδράτε μῦστα τοῦ Λόγου, Χριστοῦ κηρύξας τὸ Θεῖον, πανσόφως Εὐαγγέλιον, πᾶσαν τὴν γῆν ἐφαίδρυνας, ἐκ πλάνης λυτρωσάμενος, τοὺς γηγενεῖς ἐκδιδάσκων, τοῦ προσκυνεῖν τὴν Τριάδα.

Ἕτερον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ἱεραρχῶν ἀκρότης, καὶ Ἀθλοφόρων τὸ κλέος, Φωκᾶ καὶ μέγας προστάτης, τοῖς θαλαττεύουσι πέλων, περίσωζε ἐκ κινδύνων, τοὺς εὐφημοῦντάς σε μάκαρ.

Θεοτοκίον. Ὅμοιον.

Ὃν ποιητὴν τῶν αἰώνων, καὶ τῶν Ἀγγέλων Δεσπότην, ἀποτεκοῦσα Παρθένε, τοῦτον ἱκέτευε δεῖξαι, τῆς δεξιᾶς παραστάτας, μερίδος τοὺς σοὺς οἰκέτας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἄνυμφός σου Χριστέ μου, Μήτηρ ἁγνὴ ἐν Σταυρῷ σε, ὡς ἐθεάσατο θρηνοῖς, ἐκόπτετο ἐκβοῶσα. οἴμοι γλυκύτατον φέγγος, πῶς ἔδυς οὐξ ὀφθαλμῶν μου.

Ἡ λοιπὴ Ἀκολουθία, καὶ Ἀπόλυσις.

Ἰστέον ὅτι, ἀπὸ τῆς κβ'. τοῦ αὐτοῦ Μηνὸς, ἀρχόμεθα ψάλλειν τὰ μεσώρια, καὶ τοὺς ἱκετηρίους Κανόνας τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Ἀποδείπνοις.

Μηνὶ τῷ αὐτῷ ΚΓ'.

Ἡ Σύλληψις τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ϛι. ϛ'. καὶ ψάλλομεν ϛι. ἦχος δ'.

Ὁ οὐξ ὑψίστου κληθείς.

Ἱερατεύων ὁ θεῖος Ζαχαρίας, καὶ ἔνδον γενόμενος τοῦ θειοτάτου Ναοῦ, καὶ τοῦ λαοῦ τὰ αἰτήματα, προσαναφέρων, καὶ εὐεργέτῃ καὶ πανοικτίρμονι, Θειότατον Ἄγγελον, εἶδε βοῶντα αὐτῷ· ἡ προσευχὴ καὶ ἡ δέησις, σοῦ εἰσηκούσθη. θάρσει πρεσβύτα, καὶ μὴ ἀπίστει μοι. ἕξεις γὰρ Παῖδα Θεῖον Πρόδρομον, γεννητοῖς γυναικῶν ὑπερέχοντα. Ἡλιοὺ ἐν δυνάμει, τοῦ Χριστοῦ προπορευσόμενον.

Ξένος μοι φαίνῃ τῇ θέᾳ καὶ τῷ τρόπῳ, ξένος καὶ τοῖς ῥήμασι καὶ τοῖς μηνύμασιν, ὁ Ζαχαρίας ἀντέφησεν. ἐγὼ γὰρ ἦλθον, τὴν σωτηρίαν λαοῦ αἰτήσασθαι, οὐχὶ δὲ κομίσασθαι, παῖδα ὡς σὺ προσφωνεῖς. ἀπεναντίας εὑρίσκω σε, τῶν αἰτημάτων. καὶ ὑποπτεύω μὴ ἀληθεύειν σε. πῶς γὰρ ὃ λέγεις, βεβαιότατον, ἀποδειχθῇ, Ἐλισάβετ γὰρ, στεῖρά ἐστι. κἀγὼ δὲ, ὡς σὺ οἶδας, καὶ ἐπίστασαι πρεσβύτατος.

Μὴ ἀπιστεῖς μοι τοῖς λόγοις Ζαχαρία; ψευδῆ εὐαγγέλια λέγεις κομίζειν με; Θεοῦ Ἀρχάγγελος πέφυκα, ἃ προσετάχθην, ταῦτά σοι λέγω σὺν σοὶ ἱστάμενος. ἐπεὶ δὲ ἠπίστησας, καὶ οὐκ ἐπίστευσας, ἔσῃ κωφεύων καὶ ἄλαλος, ἕως ἂν ἴδῃς, ἐμῶν ῥημάτων τὴν θείαν ἔκβασιν. ἐπὰν δὲ τέξῃ Ἐλισάβετ σοι, τὴν τοῦ Λόγου Φωνὴν μέγαν Πρόδρομον, τρανουμένης τῆς γλώττης, εὐλογήσεις τὸν Θεὸν Ἰσραήλ.

Δόξα, ἦχος π.β'. Βυζαντίου.

Ἐκ στειρευούσης σήμερον νηδύος, καρπὸς προσευχῆς ἀνεβλάστησεν, Ἰωάννης ὁ Πρόδρομος. ἀγάλλου ἡ ἔρημος, καὶ χόρευε ἡ ἀνθρωπότης.

πότης, ὁ τῆς μετανοίας Κήρυξ, ἰδὲ ἔρχεται, ἐν κοιλίᾳ μητρικῇ σαρκοῦσθαι. δεῦτε ἀγαλλόμενοι ἐν τῇ ἐνδόξῳ αὐτοῦ Συλλήψει, αἱ φιλέορτοι χορεύσωμεν βοῶντες· ὁ ἐν γεννητοῖς γυναικῶν μείζων ὑπάρχων, μὴ διαλίπῃς πρεσβεύειν, ὑπὲρ τῶν πίστει τελούντων, τὴν θείαν σε Σύλληψιν· ὅπως εὕρωμεν ἵλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Τίς μὴ μακαρίσῃ σε Παναγία Παρθένε, τίς μὴ ὑμνήσῃ σε τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς, ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· ἐκ δύο δυάδα προσώπων πεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. αὐτὸν ἱκέτευε σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰδὲ βούλει, ἅπερ.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· ἐξ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μὴ τῶν σῶν Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος Σταυροθεοτοκίον.

Ὁρῶσά σε χωρούμενον, Χριστὲ ἡ σὲ Κυήσασα, αὐγάζει· τί τὸ ξένον ὁ ὁρῶ, μυστήριον Υἱέ μου; πῶς ἐπὶ ξύλου θνήσκεις; σαρκὶ κρεμάμενος ζωῆς χορηγέ;

Εἰς τὸν ϛ. ϛ. ἦχος π. β. Ὅλην ἀποθέμενοι.

Ὅλον τὸν Ἅγιον, τὸν τοῦ Ἁγίων ἁγίως, ἱερῶς Προφήτου σου, τοῦ Ἁγίων Ἅγιος, καθὼς γέγραπται, ἐπίσκιος Ἄγγελος, προσεφώνει λέγων· ἀσπάσθη σε ἡ δέησις, καὶ διαλύεται, νῦν τῆς Ἐλισάβετ ἡ χάρωσις, καὶ πέφυκε σου πρεσβύπαις, Υἱὸν Ἰωάννην τὸν Πρόδρομον, λύχνον τοῦ Ἡλίου, Προφήτην τοῦ Ὑψίστου, καὶ Φωνὴν, τοῦ ἐκ Παρθένου Θεόπαιδος, Λόγου αὐτεπάλαυτος.

ϛ. Καὶ σὺ Παιδίον Προφήτης.

Ἐγείρου τρανώτατα, καὶ τί γνώσομαι τοῦτο; αὖθις πρὸς τὸν Ἄγγελον, ὁ μακαριώτατος, πρέσβυς ἔφησεν· ὡς ἀρᾶς πλήρης γὰρ, ἡμερῶν ὑπάρχω. Ἐλισάβετ χάρα πέφυκε. πῶς ὄν μοι ῥήσεται, φθέγγῃ ὑπὲρ φύσιν ἔξισαμαι, ἀδ' ὅλως ἀληθεύοντα, νῦν ὑπονοῶ σε ὦ ἄνθρωπε. ἀπίστει ἐγὼ γὰρ, λαοῖς τὴν σωτηρίαν ἔξαιτῶ, καὶ δὲ παῖδα κομίσασθαι, πρᾶγμα δυσπαράδεκτον.

ϛ. Λατρείαν αὐτῷ ἐν ὁσιότητι.

Θεοῦ Παντοκράτορος, ἐγὼ Ἀρχάγγελος πέλω, Γαβριὴλ μοι ὄνομα, τῷ πρεσβυτῇ ἔφησεν ὁ Ἀσώματος. τὸ παρὸν κώφωσον, καὶ σιγὴν ἄσκησον, ἀπιστήσας ἐμοῖς ῥήμασιν. ἐπεὶ δὲ πέφυκε σοι, σάλπιγγα τοῦ Λόγου ἡ Σύζυγος, τοῦ Πνεύματος τρανώτατος σοι, γλῶττα ἐκβαίνεις πρωτότοκα· Προφήτης Ὑψίστου, κληθήσῃ Παιδίον τοῦ αὐτοῦ προετοιμάσαι ἐν χάριτι, τρίβους, ὡς ηὐδόκησεν.

Δόξα, ἦχος π. β.

Ἄγγελος ἐκ χειρωτικῶν ὠδίνων προῆλθες Βαπτιστὰ, ἐξ αὐτῶν τοῦ ἀπαργαύνου, τοῦ ἔρημον οἰκήσας, σφραγὶς τε πάντων τοῦ Προφητῶν ἐδείχθης. ὃν γὰρ ἐκεῖνοι πολυτρόπως ἐθεάσαντο, καὶ αἰνιγματωδῶς προεκήρυξαν, τοῦτον βαπτίσαι ἐν Ἰορδάνῃ κατηξιώθης, φωνῆς τε ἀκήκοας Πατρικῆς ἀρανόθεν, μαρτυρούσης αὐτῷ τὴν Υἱότητα, καὶ τὸ Πνεῦμα εἶδες, περιστερᾶς ἐν εἴδει, τὴν φωνὴν ἔλκον ἐπὶ τὸν βαπτιζόμενον. ἀλλ' ὦ πάντων τοῦ Προφητῶν ὑπέρτερε, μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν πίστει σε τελούντων τὸ μνημόσυνον. Καὶ νῦν. Θεοτοκίον.

Ὃν δεῖς προσρέχων ἐπὶ σοὶ, κατηχημένος ἀπὸ σοῦ, ἐκπορεύεται ἀγνὴ, Παρθένε Θεοτόκε. ἀλλ' αἰτᾶται τοῦ χαίρειν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως. Ἦχος Σταυροθεοτοκίον.

Παίδαγνος ὡς εἶδέ σε, ἐπὶ Σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνέβοα μητρικῶς· Τέκνον μου καὶ Θεέ μου, γλυκύπατον μου πάτνον, πῶς φέρας πάθος ἐπονείδιστον.

Ἀπολυτίκιον, ἦχος δ'.

Πρώην ὑπὸ τίκτουσα, σεαυτὴν ἐφαίδρυνε. ἰδοὺ γὰρ σαυτὴν λαβὲς, Ἡλίου λύχνον σαφῶς, φωτίζειν τὸν μέλλοντα, πᾶσαν τὴν Οἰκουμένην, ἀβλεψίαν νοσοῦσαν. χόρευε Ζαχαρία, ἐκβοῶν παῤῥησίᾳ· Προφήτης τοῦ Ὑψίστου ἐστὶν, ὁ μέλλων τίκτεσθαι.

Καὶ Θεοτοκίον. οἷον βούλει. Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. ϛάλμ. ἦχ. π. ά.

Τὸν σωσιάρχον Λόγον.

Ἐλισάβετ χειρώσεως ἠλευθέρωται, ἡ Παρθένος δὲ πάλιν Παρθένος ἔμεινεν, ὅτε φωνῇ

φωνῇ τȣ̃ Γαβριὴλ, γαςρὶ συνέλαβεν. ἀλλ' ἐν νηδύϊ προσκιρτᾷ, τὸν ἐν Γαςρὶ Παρθενικῇ, Θεὸν προγνȣ̀ς καὶ Δεσπότην, ὁ Πρόδρομος Ἰωάννης, εἰς σωτηρίαν ἡμῶν σαρκȣ́μενον.

Δόξα, τὸ αὐτὸ, καὶ νυν. θτ. Ὅμοιον.

ΧΑῖρε Ἅγιον Ὄρος καὶ Θεοβάδιςον. χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε. χαῖρε ἡ μόνη πρὸς Θεὸν Κόσμȣ γέφυρα, ἡ μετάγȣσα θνητȣ̀ς πρὸς τὴν αἰώνιον ζωήν. χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκȣ̃σα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἕτερα κα. μτ. τὴν β'. ςιλο. ἦχος δ'.

Ταχὺ προκατάλαβε.

ΩΡυγὼν ἡ φιλέρημος, ὁ ἱερὸς Βαπτιςὴς, κηρύξας μετάνοιαν, καὶ φανερώσας Χριςὸν, γενόμενον ἄνθρωπον, πάντων ἁμαρτανόντων, ἐγενήθη προςάτης, πᾶσι χειμαζομένοις, βοηθῶν ἀεννάως. αὐτȣ̃ ταῖς ἱκεσίαις Χριςὲ, σῶσον τὸν Κόσμον σȣ.

Δόξα, τὸ αὐτὸ, καὶ νυν. πλ. Ὅμοιον.

ΗΜόνη κυήσασα, τὸν Ποιητὴν τȣ̃ παντὸς, ἡ μόνη κοσμήσασα, τὴν ἀνθρωπότητα, τῷ τόκῳ σȣ Ἄχραντε, ῥῦσαί με τῶν παγίδων, τȣ̃ δολίȣ βελίαρ, ςῆσόν με ἐπὶ πέτραν, τῶν Χριςȣ̃ θελημάτων. αὐτὸν ἐκδυσωπȣ̃σα ἐκτενῶς, ὃν ἐσωμάτωσας. Εἰς τὸν Ὄρθρον, Κανόνες, τῆς Ὀκτωήχȣ εἰς, καὶ τȣ̃ Ἁγίȣ εἰς ἡ. Εἰ δὲ βȣ́ληται ὁ Προεςὼς ἑορτάσαι, λέγεται τὸ Εὐαγγέλιον. καὶ ὁ Ν'. Ὁ Κανὼν Ἰωάννȣ τȣ̃ Δαμασκηνȣ̃.

Ὠδὴ α'. ἦχος π. β'. Ὡς ἐν ἠπείρῳ.

ΩΗ̃ς ςειρεύȣσης ψυχῆς μȣ τȣ̀ς λογισμȣ̀ς, τȣ̀ς ἀκάρπȣς ἔκτειλον, ςειρεύȣσης ὁ βλαςὸς, εὐφημεῖν ὁρμήσαντος τὴν σὴν, ἐν νηδύϊ μητρικῇ, ἁγίαν Σύλληψιν.

ΟΙερὸς Ζαχαρίας ἐν τῷ Ναῷ, εἰσελθὼν τεθέαται, Θεῖον Ἄγγελον αὐτῷ, ἐμφανῶς μηνύοντα· Υἱὸν, μτ. γῆρας Ἱερεῦ, ἕξεις τὸν Πρόδρομον.

ΑΥ̓χνος Ἡλίȣ τῆς δόξης ὁ φωταυγὴς, ἐν νηδύϊ ἄρχεται, ἀναλάμπειν μητρικῇ. δι' ȣ̃ σκότος λέλυται παθῶν, καὶ ςειρώσεως δεσμὰ, ὁ μέγας Πρόδρομος. θτ.

ΩῸν ἐν γαςρί σȣ Δεσπότην ἐν μητρικῇ, Θεοτόκε πάναγνε, βαςαζόμενον γαςρὶ, κατιδὼν ἐσκίρτησε σαφῶς, Ἰωάννης ὡς αὐτȣ̃, ὑπάρχων Πρόδρομος.

Ὠδὴ γ'. Οὐκ ἔςιν Ἅγιος ὡς σύ.

ΗΣτεῖρα σήμερον καρπὸν, ἱερὸν συλλαμβάνει, τὸν μετέπειτα πᾶσαν, ἀκαρπίαν τῶν ψυχῶν, ἀξίνῃ τῇ νοητῇ, ἀποτέμνειν, μέλλοντα ἐν χάριτι.

ΚΩφεύσας ἔνδον τȣ̃ ναȣ̃, Ζαχαρίας ὁ μέγας, τὴν φωνὴν τὴν τȣ̃ Λόγου, ἀγγελίᾳ φοβερᾷ, κομίζεται καὶ λαμπρῶς, μεγαλύνει, Κύριον τὸν εὔσπλαγχνον.

ΟΔείξας τρίβον ἀσφαλῆ, τοῖς Πιςοῖς μετανοίας, προτροπῇ τȣ̃ Ἀγγέλȣ, ἐν νηδύϊ μητρικῇ, βλαςάνει Θείᾳ βȣλῇ, παρ' ἐλπίδα, ὁ ἔνδοξος Πρόδρομος. θτ.

ΓΑςρὶ φερόμενον Χριςὸν, τῆς Παρθένου ὡς ἔγνω, ὁ ἐκ ςείρας ἐσκίρτα, προμηνύων τὴν χαρὰν, ἐπιδημήσασαν γῇ, κατηφείας, πάντας ἐκλυτρώσασθαι.

κα. ἦχος π. β'. Πρὸς τὸ, Ἀγγελικαὶ Δυνάμ.

ΕΤειρωτικαῖς λαγόσιν ἰδȣ̀ φυτεύεται, ὁ μέγας Πρόδρομος, τȣ̃ φυτȣργȣ̃ τȣ̃ παντὸς, ὁ μέλλων τῇ ἀξίνῃ τῆς μετανοίας, ἐκκόπτειν ψυχῶν τὴν ἀκαρπίαν. ἀγάλλεσθε καρδίαι δεινῶς ςειρεύȣσαι πρίν. εὐφράνθητι πᾶσα Κτίσις, καὶ βόησον ἐκτενῶς· ὁ χορηγὸς τῶν ἀγαθῶν, Κύριε δόξα σοι.

Ἕτερον, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

ΟΥμιῶντι ἐν ναῷ, τῷ Ζαχαρίᾳ Ἱερεῖ, Γαβριὴλ ἐξ Οὐρανȣ̃, ἐπέςη λέγων πρὸς αὐτόν· ὅτι ἐν γήρᾳ σȣ ἕξεις καρπὸν εὐκλεῆ. καὶ ςείρωσις ἡ πρὶν, τῆς Ἐλισάβετ νυνὶ, λυθήσεται εὐθὺς, καὶ ἀκαρπίας γονὴ, καὶ συλλαβȣ̃σα τέξεται, τὸν Κήρυκα τȣ̃ Ἰησȣ̃ τε καὶ Πρόδρομον. αὐτῶν πρεσβείαις, Σωτὴρ τȣ̃ Κόσμȣ, σῶσον τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

ΚΑτεπλάγη Ἰωσὴφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νȣ̃ν, τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει σȣ Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαςήσασαν, καὶ μαρτυρῶν ὁ Μνήςωρ σȣ καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκράυγαζε· Παρθένος τίκτει, καὶ μτ. τόκον, πάλιν μένει Παρθένος.

Ὠδὴ δ'. Χριςός μȣ δυνάμις.

ΦΩνὴ Ἀγγέλȣ σε, τὸν ὄντως Ἄγγελον, τῆς Χριςȣ̃ παρȣσίας τῷ Ἱερεῖ, ἱερῶς προήγγειλε, ςειρωτικῆς ἀπὸ γαςρὸς, ἐκβλαςάνειν μάκαρ Πρόδρομε.

Ἡ Πρώην ἄγονος, καὶ ἡ ὀ τίκτουσα, νῦν εὐφρανθήτι στεῖρα, ὅτι Χριστοῦ, Βαπτιστὴν καὶ Πρόδρομον, καρπογονεῖς πανευκλεῶς, Ἐλισάβετ ἀξιάγαστε.

Ἀξίνη Πρόδρομε, τῆς σῆς δεήσεως, τῶν παθῶν μου ἀκάνθας, καὶ λογισμῶν, ἔκτιλον προσκόμματα, καὶ καρποφόρον μου τὸν νοῦν, ἀρεταῖς παμμάκαρ ποίησον. Θτ.

Ἡδύς σε ἔφερε, τὸν πάντα φέροντα, τῆς Παρθένου ἡνίκα ὁ Βαπτιστὴς, ἐν γαστρὶ φερόμενος, σὲ προσεκύνησε Χριστὸν, καὶ σκιρτῶν ἠγαλλιάσατο.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου.

Μολοῦντι εἶδον τοῦ Ἱεροῦ, καὶ τὰς νομικὰς τῷ Ποιητῇ, λατρείας προσαναφέροντι, ὤφθη τῷ Προφήτῃ Ἅγιος Ἄγγελος, μηνύων τοῦ Προδρόμου, τὴν θείαν Σύλληψιν.

Πῶς ἔσται τοῦτό μοι τηλαυγῶς; πέλω γὰρ Πρεσβύτης ὡς ὁρᾷς, καὶ Στεῖραν Σύζυγον κέκτημαι. ἔφη Ζαχαρίας πρὸς τὸν Ἀρχάγγελον· φύσεως ἐναντία, λέγεις μοι ῥήματα.

Πρὸς Σάῤῥαν βλέψον τοῦ Ἀβραάμ. ἴδε πῶς ἐκείνη Ἰσαὰκ, ἐν γήρᾳ τέτοκεν, ἄνθρωπε, καὶ τοῖς λεγομένοις δικαίως πίστευε· Πρεσβύτῃ προσεφώνει, ὁ μέγας Ἄγγελος. Θεοτοκίον.

Εὐλογημένη ἐν γυναιξὶ, σὺ Θεοχαρίτωτε σαφῶς, ἡ Ἐλισάβετ ἐβόα σοι. ὅτι κυοφόρον ἀνάνδρως ἔγνων σε, τὴν μόνην μετὰ τόκον, ἄφθορον μείνασαν.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Ἀμφίβολον κέκτημαι, τὴν διανοίαν ἐγὼ, καὶ ἀπιστῶ τοῖς λόγοις σου, τῷ Ἀρχαγγέλῳ ἔφη ὁ Ἱερεύς. λαοῦ Σωτηρίαν γὰρ, οὐκ ἐμῆς, ἐξ ὀσφύος καρπὸν ᾔτησα.

Ὁ Πλάστης τῆς φύσεως, τῶν Ἀγγέλων Βασιλεὺς, ὁ Λειτουργὸς ἀντέφησε, τῆς παρουσίας Ἄγγελον τῆς αὐτοῦ, ηὐδόκησε τίκτειν σε. τοῖς ἐμοῖς, μὴ ἀπίστει λόγοις ἄνθρωπε.

Ὁ εἶδός σου πύρινον, καὶ ἡ θέα σου φρικτὴ, καὶ θαυμαστὸς ὁ λόγος σου, ὁ Ζαχαρίας ἔφη τῷ Λειτουργῷ. ἀλλ' οὖν οὐ πιστεύω σοι, ὑπὲρ φύσιν, λαλοῦντι ξένα ῥήματα. Θεοτοκίον.

Ὁ Λύχνος τὴν Ἥλιον, ἐν νεφέλῃ μητρικῇ, γαστρὸς κατακρυπτόμενον, ἐπεγνωκὼς ὑπάρχων ἐν ζοφερῷ, τῆς μήτρας σκηνώματι, προσεκύνησε χαίρων, καὶ ἐσκίρτησε.

Κοντάκιον, ἦχος α'. Χορὸς Ἀγγελικός.

Εὐφραίνεται λαμπρῶς, Ζαχαρίας ὁ μέγας, σὺν τῇ πανευκλεεῖ, Ἐλισάβετ Συζύγῳ, ἀξίως συλλαμβάνοντες, Ἰωάννην τὸν Πρόδρομον, ὃν Ἀρχάγγελος, εὐηγγελίσατο χαίρων, καὶ οἱ ἄνθρωποι, ἀξιοχρέως τιμῶμεν, ὡς Μύστην τῆς χάριτος. Ὁ Οἶκος.

Ὁ Ἱερὸν Εὐαγγέλιον ἀναπτύξωμεν, ὃ Λουκᾶς ἡμῖν ἔγραψεν ὁ ἱερὸς καὶ θαυμάσιος, καὶ τὴν τοῦ Προδρόμου θεασώμεθα Σύλληψιν τὴν φαιδρὰν καὶ ἐπίσημον. φησὶ γὰρ, ὡς εἰσῆλθεν ὁ Πρεσβύτης καὶ Δίκαιος Ζαχαρίας, εἰς τὰ Ἅγια τῶν Ἁγίων τοῦ θυμιᾶσαι τῷ τῆς εὐφημερίας καιρῷ, ἐπέστη αὐτῷ Γαβριὴλ εὐαγγελιζόμενος, καὶ λέγων· ἕξεις Ἱεράρχα Υἱὸν ἐν τῷ γήρᾳ, Προφήτην τε καὶ Πρόδρομον, Φωνήν τε καὶ Κήρυκα, καὶ Λύχνον ἀείφωτον, τὸν Μύστην τῆς χάριτος.

Τῷ αὐτῷ Μηνὶ ΚΓ'. Ἡ Σύλληψις τοῦ Ἁγίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

ᾗ. Ἀνδρὶ Προφήτῃ χρησμός τοῦ Ἀρχαγγέλου, Τεκεῖν Προφήτην, καὶ Προφήτου τι πλέον. Εἰκάδι τῇ τριτάτῃ γαστὴρ λάβε Πρόδρομον εἴσω.

Ἀυτὴν τὴν Θείαν Σύλληψιν εὐηγγελίσατο τῷ Προφήτῃ καὶ Ἱερεῖ Ζαχαρίᾳ, ὁ Θεῖος Ἀρχιστράτηγος Γαβριήλ. εἰσηκούσθη ἡ δέησίς σου εἰπών. ὡς ἐκ τούτου προμηνύεσθαι διὰ τὸ παράδοξον, τοῦ τε γήρως καὶ τῆς στειρώσεως τῆς Ἐλισάβετ, τὸν Θεῖον καὶ Παρθενικὸν τῆς Παναχραντοῦ Θεοτόκου Τόκον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Ἀνδρέου καὶ Ἰωάννου, Πέτρου καὶ Ἀντωνίου, τῶν ἐν Ἀφρικῇ τελειωθέντων.

ᾗ. Ὑπὲρ νυγέντος πρὶν μιᾷ λόγχῃ Λόγου, Λόγχαις ἤνεγκε, νυγεὶς διτταῖς Ἀνδρέας. Ἔχθραν πλανηθεὶς καὶ σφαγεὶς Ἰωάννης, Σφάττει τὸν ἐχθρὸν καὶ σὺν αὐτῷ τὴν πλάνην. Ἀντώνιος καὶ Πέτρος ὡς στεῤῥαὶ πέτραι, Πρὸς τὰς μεληδὸν ἐκκοπὰς ἐκαρτέρουν.

Βασιλεὺς τὴν Ῥωμαίων Ἀρχὴν διϊθύνοντος, τῆς Ἀφρικῆς ἁπάσης τῶν Ἀγαρηνῶν ἐκράτει, καὶ ἐτυραννεῖ ὁ ὠμότατος Ἀβραχῆν. οὗτος, πορθήσας τὰς Συρακούσας (αὕτη δὲ ἐστὶ Μητρόπολις Σικελίας) ἐκεῖθεν ἠγά-

ἠγάγετο Ἰωαννῆν, ἅμα σὺν τοῖς παισὶν αὐτῆ, Πέτρῳ καὶ Ἀντωνίῳ, παῖδας ἔτι ὡρας, τυγχάνοντας, ὃς καὶ παραυτίκα τοῖς Ἀγαρηνῶν ἐκέλευσεν ἐκπαιδεύεσθαι γράμμασιν. ἐπεὶ δὲ εἰς ἄνδρας ἐτέλων, καὶ φρονήσει καὶ ἀρετῇ πολλὸς ὑπερῆχον, ἀγαθὸς ἐπ' αὐτοῖς ὁ βελίαρ, Γενικὸν μὲν Ἀντώνιον, Σακελλάριον δὲ τὸν Πέτρον προχειρίζεται. ὅτι μὲν κρυφίως ἐχριστιάνιζον, ὡς τὸ φανερὸν δὲ τὰ τῆς Σαρακηνῶν ὑπεκρίνοντο. ἀλλ' οὐκ ἔλαθον. γνοὺς γὰρ τοῦτο ὁ Ἀβραχὴμ, καὶ μανεὶς, τὰς πόδας αὐτῶν ξύλῳ ἀσφαλισάμενος, ξύλοις ἀγρίοις αἰκίζεται. πεντακοσίας τοίνυν λαβὼν καὶ τῆς ποδῶν ὁ μακάριος Ἀντώνιος, καὶ τούτοις καπακλασθεὶς, εὐχαρίστει τῷ Θεῷ. ἅπα δ' ὤμῳ ἐπιβιβάζεται, καὶ κατὰ τοῦ σάγματος χοινίοις δεδεμένος, διὰ μέσης τῆς Πόλεως θεατρίζεται. Πέτρος δὲ γυμνωθεὶς, ῥάβδοις τὸν τοῦπα αὐτοῦ καὶ τὴν κοιλίαν αἰκίζεται, καὶ ἐν τῇ ἀρκτῇ ἀποτίθεται. ἐξαγαγὼν δὲ αὐτὸς, τοὺς βραχίονας ἀπὸ τῆς ὤμων καὶ τὰς χεῖρας ξύλοις ἀγρίοις σωθλᾷ, ἕπαντα τοὺς μηροὺς αὐτῶν καὶ τὰ σκέλη, καὶ τοὺς πόδας ὡσαύτως συνέτριψεν, ὡς ὅλων μὲν τὸ ὀστῶδες ἀπαλυνθῆναι, τὸ σαρκῶδες δὲ χυλωθεὶ, καὶ τῷ αἵματι συμφυραθῆναι. μετὰ δὲ ταῦτα ἀνθράκων πλήθη ἀθροίσας, καὶ χαλκέα προσκαλεσάμενος, διὰ σιδηρᾶς λαβίδος πεπυρακτωμένης, τὰ αἰδοῖα αὐτῶν ἐκέλευσεν ἀποτεμεῖν, καὶ τοῖς τῆς μαχαιρίων ζόμασιν ἐμβαλεῖν. τούτων ἐν τούτοις πελαθέντων, τὸν Πατέρα αὐτῶν Ἰωαννῆν ἑλκύσας πρὸς ἑαυτὸν, καὶ τῇ λαιᾷ χειρὶ τὸν τράχηλον ἀνακλάσας, τὴν ἰδίαν αὐτοῦ μάχαιραν ἔπηξεν ἐν τῷ φάρυγγι, καὶ ὅπως ἐπανῷ τῶν ἰδίων αὐτοῦ τέκνων ἀφῆκε τὸ πνεῦμα. εἶθ' ὅπως πυρὰν πολλὴν ἀνάψας, κατέκαυσεν ἅμα τὰ τῆς Ἁγίων σώματα. τὸν δὲ μακάριον Ἀνδρέαν γηραιὸν ὄντα παντὸς τὴν ἡλικίαν, χρόνοις πολλοῖς καθηρχθεῖσα, καὶ λιμῷ καὶ δίψει καὶ γυμνότητι καὶ πλαστωγίαις παντοδαπαῖς ὑποβαλομένον, καὶ μὴ παθόμενον τῷ κυνὶ, τί ποιεῖ ὁ θὴρ; ἵππῳ ἐπιβὰς, καὶ ἀκόντιον λαβὼν, κατ' ὀλίγον τὸν Ἅγιον δρόμον, καὶ τῷ ζήθει ἔκρασεν. ἐπεὶ οὖν ὁ Ἅγιος ἐχαρίσατο, ἐρρίζε φωνὴν πρὸς τὸν Θεὸν, αὖθις ἐκ τῆς ὄπισθεν ὁ μιαιφόνος παρὼν, ἑτέρῳ τοῦτον ἔβαλε καὶ τῷ νώτῳ παλτῷ, καὶ ὅπως καὶ τῆς αὐλάγχνων αὐτοῦ τῆς δύο δοράτων διαδυομένων, πίπτει ὁ μακάριος ἐπὶ τῆς γῆς, μαχαίρᾳ τὴν τιμίαν ἀποτμηθεὶς κεφαλὴν, καὶ ὅπως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Γεραΐδος τῆς Παρθένου.

Ἐν τῇ γέγονεν ἐν τῇ Αἰγυπτίων Χώρᾳ, ἐν τόπῳ ἐπιλεγομένῳ Τάμμα, Θυγάτηρ Πρεσβυτέρου τινὸς Πέτρου τοὔνομα. ἦν δὲ τὸ τῆς Μοναζουσῶν χῆμα περιβεβλημένη, ὅσα ἐτῶν ὡσεὶ δώδεκα. καπελθοῦσα δὲ μεθ' ἑτέρων Παρθένων ὑδρεύσασθαι, καὶ θεασαμένη πολλὰς Παρθένους, καὶ πλῆθος ἀνδρῶν Πρεσβυτέρων καὶ Διακόνων καὶ Μοναζόντων, ὃς ἄγχε δεσμίους ὁ Ἡγεμὼν Λουκιανὸς, παρερχομένων πλοίῳ, καὶ μαθοῦσα ὅτι διὰ Χριστὸν δέδενται, ἀνδρισαμένη συνέμιξεν αὐτοῖς ἑαυτὴν, δεηθεῖσα ἐπὶ τοῦτο τοῦ Κομιτησίου. τοῦ δὲ παρανέσαντος αὐτῇ τὴν ἀσφάλειαν ἐλέσθαι, καὶ μὴ συναποθανεῖν τοῖς δεσμίοις. ἐπεὶ οὐκ ἐπείθη, ἐνεφανίσθη τῷ Ἡγεμόνι, καὶ τοὺς αὐτοῦ Θεοὺς ἐμυκτήρισε, καὶ εἰς τὸ τοῦτο ἐνέπτυσε πρόσωπον, ὡς τὰ Χριστιανῶν διαπαίζοντος, καὶ τὴν διὰ ξίφους μετὰ πολλὰς βασάνους ἐδέξατο τελευτήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ὁσίων Γυναικῶν Ξανθίππης καὶ Πολυξένης τῆς αὐταδέλφων.

Τὰς συγγόνους Ξανθίππην καὶ Πολυξένην, Χοροὶ συνοίκους λαμβάνουσιν Ἀγγέλων.

Γυνὴ ὑπῆρχον ἐκ τῆς Ἰωνίων Χώρας, ἐπὶ Κλαυδίου Καίσαρος. ὧν ἡ μὲν Ξανθίππη, γυνὴ ὑπῆρχε Πρόβου, ἀνδρὸς τὴν Ἀρχὴν τῆς Χώρας ἐθνύοντος. αὐτὴ δὲ ἐμαθητεύθη παρὰ τοῦ Ἀποστόλου Παύλου καὶ τὴν Χώραν εὐθημήσαντος, μετὰ τῆς ἄλλων δὲ καὶ ὁ ἀνὴρ αὐτῆς. ἡ δὲ Πολυξένη ἡρπάγη παρά τινος κακοχόλου, ἀλλὰ χάριτι Θεοῦ ἄφθορος ἔμεινε, καὶ ὑπὸ τοῦ Ἀποστόλου Ἀνδρέου ἐβαπτίσθη. πολλῶν δὲ πιστευσάντων δι' αὐτῆς, παραλαβοῦσα Ὀνήσιμον τὸν Ἀπόστολον, ὥρμησεν ἐπὶ τὴν Πατρίδα αὐτῆς Ἰωνίαν, καὶ μετὰ τοῦ πολλοῦ ἐκείνου πλοῦ καὶ τὰς ἀπάρας φυγὰς, συνεπαγομένη ἔχουσα καὶ τὴν Ῥεβέκαν, μεθ' ἧς ἐβαπτίσθη, καταλαβεῖν τὴν ἑαυτῆς ἀδελφὴν Ξανθίππην. αὗται τὸν

ἐπι-

ἐπίλοιπον βίον καλῶς διανύσασαι, καὶ πολλὰς δυνάμεις ἐπιδραξάμεναι, πρὸς Κύριον ἐξεδήμησαν.

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠιδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Τ Πίστεως μυσταῖς ῥήμασι, τὴν κώφωσιν κομίζω προσηλώσατε· καὶ τιτρωμένην ὀπωΐκα ἴδῃς τὴν φωνὴν, τὸ Λόγος ἀνάλαβε φωνήν· ἀλογήτους ἃ ἐκβοᾷ, τὸ Ἰσραὴλ ὁ Θεός.

Ἡ Σελήνη Ἐλισάβετ προσενέγκασα, πολύφωτος ὡς Ἥλιος, ὁ Ζαχαρίας, σελασφόρον Λύχνον τὸ φῶς, ἐκτέτοκε φαίνοντα ἡμῖν, τοῖς ἐν τῷ σκότει τῶν παθῶν, καταβεβλῆσθαι δεινῶς.

Οἷς σκιρτήμασιν ὡς ῥήμασι χρησάμενος, Χερσὶ ὁ μέγας Πρόδρομος, προσεκύνησεν ἐν νηδύϊ σὲ Παρθενικῇ, αὐτὸς βαστάζόμενος γαστρὶ, τῆς Ἐλισάβετ Ἰησοῦ, ὁ τῶν Πατέρων Θεός. δίς.

Ἡ Σελήνη Ἐλισάβετ εὐδόν φέρουσα, ἀγέρα θεῖον Πρόδρομον, προσεκύνησε, φωτεινῷ Νεφέλῃ Μαρίαμ, τὸν Ἥλιον φέρουσαν Χερσὶν, σαρκοφορούμενον ἐκ σοῦ, διὰ τὸ σῶσαι ἡμᾶς.

Ὠιδὴ ἡ. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Οὗ Νυμφίος ὁ φίλος προετοιμάζεται, ἡ Φωνὴ δὲ τοῦ Λόγου ἄρχεται ἀσκέχεται, καὶ χαρωτικῶς νῦν λαγόσιν ἐκτρέφεται, τοῦ Παμβασιλέως, ὁ μέγας Στρατιώτης.

Τ Ταρδύνας καρδίας γεωργὸς ἐῤῥάθησε, τῶν παθῶν ἡ ἄξινη χαλκεύεται, μόχος ὁ σεπτὸς, ἐγκρατείᾳ στιβύεται, Πρόδρομος ὁ μέγας, λαοὶ ἀγαλλιᾶσθε.

Α δεσμὰ ὥσπερ πάλαι τῆς χαρᾶς, τῆς ἐμῆς διανοίας ἔντοσθεν πώρωσιν, λῦσον Βαπτιστὰ, καὶ καρπὸς μετανοίας με, ποίησον βλαστᾶναι, καὶ ζῆν εἰς τοὺς αἰῶνας. δίς.

Τοφόρον σε Κόρη ὡς ἐθεάσατο, Ἐλισάβετ ἐνθέως ἠγαλλιάσατο, ἔνδοθεν αὐτῆς τὸ ἔμβρυον σκιρτήσαντος, ὡς ἐπεγνωκότος, τὸν ἑαυτοῦ Δεσπότην.

Ὠιδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν.

Χ Ριστὸς ὁ μέγας καὶ Θεῖος Πρόδρομος, χαρωτικὰς νῦν πύλας, διανοίξας αὐλίζεται, ὡς ἐν Βασιλείοις ἐν νηδύϊ μητρός· ὅπως ὡς Στρατιώτης, προεξελεύσεται, τοῦ Παμβασιλέως τὰς ὁδοὺς ἑτοιμαζόμενος.

Θεοῦ Προφῆται Πρεσβῦται χόρδαι. τέξεται Υἱὸν, ὃν μείζων ἐν βροτοῖς οὐκ ἐγήγερται, Ἰωάννην Κυρίᾳ τὸν Πρόδρομον. σκιρτήσον Ἐλισάβετ, γῆ πᾶσα γηθήσον, αἴνεσιν τῷ παύτων Ποιητῇ Θεῷ προσάγουσα.

Ἡ Μῶν ἡμῖν πίστει ἀδραμόντων σε, μέμνησο νῦν Προφῆτα τοῦ Κυρίου καὶ Πρόδρομε, ψυχικῶν ἐκ παθῶν ἐκλυτρόμενος, σώζων ἡμᾶς κινδύνων, πρὸς τὴν Οὐρανίον, τείβον ὁδηγῶν, θεοπρεπῶς ἀναβακάρισε. Θεοτοκίον.

Τ Γνὼ μητέρα σαφῶς ἐπέγνωσε, χαρωτικῶν δεσμῶν ἡ Ἐλισάβετ ὡς ἤθετο, ἑαυτὴν λελυμένην καὶ φέρουσαν, Πρόδρομον τὸ ἐν μήτρᾳ σοῦ κατοικήσαντος, ἄχραντε Παρθένε, Μαρίαμ Θεοχαρίτωτε.

Ἐξαποστειλάριον.

Τοῖς Μαθηταῖς συνελθοῦσιν.

Ἡ Τοῦ Προδρόμου εὔδοξος, Σύλληψις προμηνύει, τὸν ἐκ Παρθένου μέλλοντα, τίκτεσθαι Βασιλέα, ὡς ὄντος ἐξ Ἐλισάβετ, τῆς ἀκάρπου καὶ χείρας, Πρεσβύτου Ἱερέως τε, Ζαχαρίου τοῦ παύου. ὧν ταῖς εὐχαῖς, καὶ τῆς Θεοτόκου καὶ Ἰωάννου, τοῦ Βαπτιστοῦ σου Κύριε, σῶσον οἰκτιρον παύτας.

Θεοτοκίον. Ὅμοιον.

Χ Αρμονικῶς τὸ χαῖρέ σοι, τοῦ σεπτοῦ Ἀρχαγγέλου, οἱ λυτρωθέντες Παῖδες, τῆς ἀρχαίας κατάρας, διὰ τοῦ Θέου σου Τόκου, εὐχαρίστως βοῶμεν· χαῖρε Ἀδὰμ ἡ λύτρωσις, Θεοτόκε Παρθένε. χαῖρε Σεμνὴ, δι' ἧς ἀπηλλάγημεν τοῦ θανάτου. χαῖρε δι' ἧς ἐτύχομεν, Οὐρανῶν Βασιλείας.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἰσῶμεν ξα'. καὶ ψάλλομεν ξα. προσόμοια, ἦχος α.

Τῶν Οὐρανίων Ταγμάτων.

Τ Γαλλιᾶται ἡ Κτίσις, ἐν τῇ Συλλήψει σου, Πρόδρομε καὶ Προφῆτα, Βαπτιστὰ Ἰωάννη. ὁ Θεὸς γὰρ σου Τόκος, σημαίνει ἡμῖν, τοῦ Δεσπότου τὴν Γέννησιν. καὶ διὰ τοῦτο συμφώνως οἱ ἐπὶ γῆς, ἐπαξίως ἐυφημοῦμέν σε. Ὅμοιον.

Ὡ Σ θαυμαστὸν μαρτυρίαν, εἶδον ὁ Ἄγγελος, τὴν Σύλληψιν τῆς χάριτος, τῇ Μαρίᾳ προσάγει, πρὸς πίστωσιν προσφέρων. διὸ καὶ ἡμᾶς, Ἐλισάβετ τὴν χάριτος, καὶ Ζαχαρίαν ὁμόζυγον τὸν αὐτῆς, καὶ Ἰωάννην εὐφημήσωμεν.

Ὅμοιον.

Ὁ Θεοσκεύαστος Λύχνος, τοῦ ἀϊδίου φωτὸς, ὁ τοῦ Νυμφίου φίλος, τοῦ Ἡλίου τῆς δόξης, ὁ μέγας Ἑωσφόρος, ἡ ζῶσα Φωνὴ, Θείου Λόγου ὁ Πρόδρομος, τῇ παρουσίᾳ Κυρίου Ἀγγελικῇ, προσφωνήσει νῦν συνείληπται.

Ὅμοιον.

Θυσιαστήριον Θεῖον, τῆς εὐωδίας Χριστοῦ, ἐκ δεξιῶν τὴν στάσιν, εἰληφὼς καὶ τὴν γνῶσιν, αὐτοῦ εὐωδιάζων συμβολικῶς, διαγινώσκεται Πρόδρομε, ἐπιστασίᾳ Ἀγγέλου ἐκ δεξιῶν, τῶν Ἁγίων προτυπούμενος.

Δόξα, καὶ νῦν. ἦχος π. κ.

Ἡ Ἐλισάβετ συνέλαβε τὸν Πρόδρομον τῆς Χάριτος, ἡ δὲ Παρθένος τὸν Κύριον τῆς δόξης· ἠσπάσαντο ἀλλήλαις αἱ Μητέρες, καὶ τὸ βρέφος ἐσκίρτησεν. ἔνδοθεν γὰρ ὁ δοῦλος ᾔνει τὸν Δεσπότην. θαυμάσασα ἡ Μήτηρ τοῦ Προδρόμου, ἤρξατο βοᾷν· πόθεν μοι τοῦτο, ἵνα ἡ Μήτηρ τοῦ Κυρίου μου ἔλθῃ πρός με; ἵνα σώσῃ λαὸν ἀπεγνωσμένον, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικά. Καὶ ἐκ τοῦ Κανόνος, Τοῦ Προδρόμου, ᾠδὴ γ'. καὶ ς'. Προκείμενον, ἦχος βαρύς. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ. στίχ. Εἰσάκουσον ὁ Θεός. Ὁ Ἀπόστολος. Πρὸς Ἐφεσίους. Ἀδελφοὶ, Ἀβραὰμ δύο Υἱοὺς ἔσχεν. Ἀλληλούϊα. Δίκαιος ὡς φοίνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, ἐγένετό τις ἱερεύς. Τέλος, τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Ζήτει εἰς τὸ Γεννέσιον τοῦ Προδρόμου, καὶ ἐν τῇ Ἀποτομῇ. Κοινωνικὸν. Εἰς μνημόσυνον αἰώνιον ἔσται. Μὴ θαυμάσῃς περὶ τῆς μεγάλης Δοξολογίας. ἔξεστι γὰρ, ὡς ὁ τὸ Τυπικὸν συγγραψάμενος λέγει, καὶ τῆς Ὀκτωήχου ψαλλομένης, καὶ ὡς ἐν ἑτέρῳ Τυπικῷ εἴδομεν τοῦ, Τῷ Κυρίῳ ᾄσωμεν λιγομένου, ποιῆσαι καὶ μεγάλην Δοξολογίαν. Εἰδ' οὐ βούλει, εἰπὲ καὶ Ἀποστίχου τῆς Ὀκτωήχου.

Δόξα, τὸ παρὸν Ἰδιόμ. ἦχος π. β'.

Ἔνσαρκε Λύχνε, Πρόδρομε τοῦ Σωτῆρος, βλάστημα Στείρας, φίλε τοῦ ἐκ Παρθένου· ὃν σκιρτήμασι νηδύος προσεκύνησας, καὶ ἐβάπτισας νάμασι τοῦ Ἰορδάνου, τούτῳ πρέσβευε δεόμεθα Προφῆτα, τὰς τῶν μελλόντων ἐκφυγεῖν τρικυμίας.

Καὶ νῦν. Θεοτοκίον.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων, ὑπάρχουσα Θεοτόκε Παρθένε. σῶζε Πόλιν καὶ λαὸν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν Πιστῶν.

Μηνὶ τῷ αὐτῷ ΚΔ'.

Τῆς Ἁγίας Μεγαλομάρτυρος, καὶ Ἰσαποστόλου Θέκλης.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ϛι. ς'. καὶ ψάλλομεν ϛι. ἦχος πλ.

Κύριε, εἰ καὶ κριτηρίῳ.

Κύριε, εἰ καὶ ἐν θυρίδι ἡ Θέκλα, προσεπάγη τῷ πόθῳ σου, ἀλλὰ νοερῶς ἐν ὑψίστοις παρισταμένη τῷ θρόνῳ σου, ἐξεπλήττετο τὴν σὴν, ἀσύγκριτον εὐπρέπειαν, τοῦ σαρκωθέντος φιλανθρώπως, ἵνα σώσῃς τὰς ψυχὰς ἡμῶν.

Κύριε, εἰ καὶ δεσμευθεῖσα ἡ Θέκλα, τῷ Ἀποστόλῳ προσέδραμεν, ἀλλὰ προσπαθείας γηΐνων, τὸν δεσμὸν ἀπεσείσατο, καὶ κραταιότητι τῆς σῆς, ἁλοῦσα ἀγαπήσεως, βεβαιωθεῖσα συνεδέθη, σοὶ τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Κύριε, εἰ καὶ Διδασκάλου ἡ Θέκλα, οὐχ ἑκοῦσα σοῦ μεμόνωται. ἀλλὰ συμπαρόντα σε εἶχεν, ἐν καιρῷ τῆς ἀθλήσεως, καὶ γυμνωθεῖσα στολῆς, ἐσκέπετο τῇ δόξῃ σου, καὶ στεφανωθεῖσα τῇ χειρί σου, προασπίζει τῶν ψυχῶν ἡμῶν.

Κύριε, εἰ καὶ τῷ πυρὶ παρεδόθη, ἡ Ἁγνὴ καὶ Πρωτομάρτυς σου· ἀλλ' οὐ κατεφλέχθη ἐν τούτῳ, δροσισμὸν κεκτημένη σε, καὶ ἐν θηρίοις πολλοῖς ἀνάλωτος διέμεινε, τῇ χειρί σου φυλαχθεῖσα, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος π. β'. Ἀνατολίου.

Οἱ δὲ, Ἀνδρέου Ἱεροσολυμίτου.

Ἀθλητικοῖς παλαίσμασι, τὸν ἐχθρὸν κατεπάτησας, Θέκλα παμμακάριστε, καὶ τὰς τούτου μηχανὰς, μαρτυρικῶς συντρίψασα. Θάμυριν ἔφυγες, καὶ Χριστῷ ἐνυμφεύθης τῷ ἀληθεῖ ἐραστῇ. τοῦ Παύλου συνόμιλε, καὶ τοῦ Στεφάνου σύναθλε. παῤῥησίαν ἔχουσα, Πρωτομάρτυς Χριστοῦ ἐν γυναιξὶ, τῶν πιστῶς ἐκτελούντων τὴν πανέορτον μνήμην σου, ἐκ κινδύνων λύτρωσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ

Καὶ νῦν. Θτ. Τριήμερος ἀνέστης Χριστέ.

Ὁ μέγα μου προσφύγιον, ἐλπίς τε καὶ προστάτις μου, σὺ ὑπάρχεις, Μητροπάρθενε Ἁγνὴ, σπεῦσον τοίνυν ἐν τάχει, καὶ ῥῦσαί με τῶν κύκλῳ, κακῶν συνεπιτιθεμένων μοι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁ Ῥῶσάσε Σταυρούμενον, Χριστὲ ἡ σὲ Κυήσασα, θρηνωδοῦσα, ἀνεβόα μητρικῶς· Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, πῶς φέρεις Πάθος ἐπονείδιστον;

Ἀποστ. ζ. ἦχος α.

Τῶν Οὐρανίων Ταγμάτων.

Ὦ Εὐκλεὲς Πρωτομάρτυς, καὶ Ἰσαπόστολε, τῶν Ἀθλουσῶν ἡ δόξα, καλλιπάρθενε Θέκλα, ἴασαι βοῶ σοι· πάθη δεινὰ, τῆς ψυχῆς μου καὶ μώλωπας, θεοπειθέσι λιταῖς σου, καὶ ἐκ πυρὸς, τοῦ ἀσβέστου με ἐξάρπασον.

ζ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Δι' ὀμβροτόκου νεφέλης, τὴν φλόγα ἔσβεσε, δροσοβολοῦσα Θέκλα, ὡς πιστὴν καὶ ἐνδίκως, φλέγουσα ἀπίστους ἡ πανσθενὴς, τοῦ Χριστοῦ Θεία δυνάμις, καὶ ἐκ θηρίων καὶ ταύρων διασπασμῶν, ῥυομένη σε ἐδόξασε.

ζ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας.

Ὃν πανωραῖον ἐν κάλλει, Νυμφίον Ἄχραντον, ἐπιποθοῦσα Θέκλα, τὸν Μνηστῆρα ἠρνήσω, Παύλου Ἐκκλησίας νυμφαγωγοῦ, ἑπομένη τοῖς ῥήμασι. μεθ' οὗ ἀρθεῖσα εἰς λῆξιν τὴν παντερπῆ, ἐμνηστεύσω ὃν ἐπόθησας.

Δόξα, ἦχος πλ. δ'. Ἀνατολίου.

Τεόντων ὁρμὰς κατεπάτησας, καὶ Θάμυριν καταισχυύασα, Πρωτομάρτυς Ἀπόστολε, ἠκολούθησας τῷ Νυμφίῳ σου κράζουσα. εἰς ὀσμὴν μύρου σου ἔδραμον Χριστέ. διὸ καὶ Παῦλον διώκουσα, ἐξ Οὐρανοῦ ἐδέξω τὸ χάρισμα, καὶ τὸ στέφος κεκλήρωσαι παρὰ τοῦ Ἀθλοθέτου Θεοῦ, καὶ πρεσβεύεις ἀπαύστως, δωρηθῆναι πταισμάτων ἱλασμὸν, τοῖς ἐν πίστει ἐκτελοῦσι τὸ ἱερόν σου μνημόσυνον.

Καὶ νῦν. Θτ. Οἱ Μάρτυρές σου Κύριε.

Ἐλπίς μου καὶ προστάτις μου, καὶ ἀντίληψις καὶ προσφυγή μου, καὶ καταφύγιον πέλεις πανάχραντε Ἁγνή. ὅθεν καὶ προσφεύγω πρὸς σὲ Δέσποινα, κράζων καὶ βοῶν σοι τὸ, ἡμάρτηκα. σῷσόν με Κόρη σῷσον, ἁμαρτανόντων μόνη, ὡς ἀληθῶς ἐγγυήτρια.

Σταυροθεοτοκίον. Ὅμοιον.

Οὐ φέρω Τέκνον βλέπειν σε, τὸν τὴν ἐγρήγορσιν πᾶσι διδοῦντα, Ξύλῳ ὑπνώσαντα, ὅπως τοῖς πάλαι, ἐκ παραβάσεως καρποῦ, ὕπνῳ ὀλεθρίῳ ἀφυπνώσασι, θείαν καὶ σωτήριον ἐγρήγορσιν, παράσχῃς, ἡ Παρθένος, ἔλεγε θρηνωδοῦσα. ἣν μεγαλυνόμεν.

Τροπάριον, ἦχος δ'.

Ἡ Ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου, καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω ἐν σοὶ, καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω σὺν σοί. ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῷσον τὰς ψυχὰς ἡμῶν. Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ξιλό. Εἰς τὸν Ναὸν τῆς Πρωτομάρτυρος, ψάλλεται τὸ Πεντηκοστάριον τοῦ Μαλαξοῦ.

Πρωτομάρτυς τοῦ Χριστοῦ, Θέκλα, πρεσβεύειν μὴ διαλίπῃς τῷ σῷ ἐραστῇ, ἐλεῆσαι τοὺς τὴν σὴν μνήμην γεραίροντας.

Κανόνες τῆς Ὀκτωήχου, καὶ τῆς Ἁγίας.

Οὗ ἡ ἀκροστιχὶς,

Ἄνευ τῶν Θεοτοκίων.

Ἡ Πρωτομάρτυς ἐνθέως δοξάζεται.

Ὠδὴ α. ἦχος πλ. Ἄσωμεν τῷ Κυρίῳ.

Ἰωάννου Μοναγοῦ.

Ἦχος γλώττης οὐ σθένει, τοὺς πανευκλεεῖς τῆς Πρωτομάρτυρος, διηγήσασθαι ἄθλους. ἀτονεῖ γὰρ πρὸς ὕμνον ἐπάξιον.

Πέπαυται τοῦ Τυράννου, ἡ ἀλαζονεία ἡ ὑπέροφρυς. κατὰ τούτου Γυναῖκες, εὐσεβῶς ἐν Χριστῷ γὰρ ἠνδρίσαντο.

Ῥήμασιν ἀπορρήτοις, εὐαγγελικῶς ἐνηχηθεῖσά σου, παμμακάριστε Παῦλε, τῷ Χριστῷ ἡ Παρθένος νενύμφευται.

Θεοτοκίον.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνοῦμέν σε.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Ὦ Τῆς ἀγαπήσεως, τῆς ὑπὲρ ἔννοιαν Πάνσεπτε, ᾗ ἐν Χριστῷ, Παύλῳ συνεδέθης, ἑνωθεῖσα τῷ Πνεύματι.

Ῥῶσαι ἡ ἐνήδονος, τὴν τετρωμένην σου ἔρωτι, πνευματικῇ, φρένα οὐκ ἰσχύει, τῶν γηΐνων ἀπόλαυσις.

Ὅλη ἐκδημήσασα, τῆς σαρκὸς παθῶν ῥήμασι, τοῖς μητρικοῖς, ἐκ ἐμαλακίσθης, Ἀθληφόρε πανάφημε. Στ.

Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Παναγνε, τὰς προσβολὰς, ἀποχρωμένη, τῆς δεινῶν περιςάσεων.

Κα. ἦχος δ'. Καπεπλάγη Ἰωσήφ.

Τῆ Ποζόλε τῶ σοφῶ, Παῦλε τῆς λόγων ἠκροῶ, καὶ καπέλιπες φθαρτὰ, καὶ ἀνυμφόθης τῷ Χριςῷ, καὶ τὴν λαμπάδα τῆς πίςεως δραξαμένη, δυνάμιν πυρὸς καπεπάτησας, καὶ φρύαγμα θηρῶν καπεπαύνας, καὶ ὁρανόθεν ἄφθαρτον, τὸ γέφος τῆ κορυφῆ σε ἀπέλαβες. καὶ νῦν πρεσβεύεις, εἰς τὸ σωθῆναι, τὰς ἐκτελοῦντας τὴν μνήμην σε.

Δόξα, ἦχος τῆ. Τὴν Σοφίαν.

Εἰς ἀνδρείαν τὸ θῆλυ διʼ ἀρετῶν, μεταθεῖσα τῷ πόθῳ τῷ τῶ Χριςῶ, Θεῦ οἰκητήριον, ἀμφωτέρωθεν γέγονας, τῆς παθῶν τὸν γνόφον, ἀσκήσει μαύσασα, μαρτυρικῶς ἐδέχθης, ἀθλήσεως καύχημα. ὅθεν καὶ τῷ Κόσμῳ, ὡς φωτὴρ διαλάμπεις, διοτῶς ἔξασράπτουσα, τὰς ἀκτῖνας τῶ Πνεύματος, Πρωτομάρτυς πανάφημε. πρέσβευε Χριςῷ τῷ Θεῷ, τῆς πταισμάτων ἄφεσιν δωρήσασθαι.

Καὶ νῦν. Στ. Ὅμοιον.

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξὶ, σὲ ἀπόρως τεκοῦσαν Θεὸν σαρκὶ, πᾶσαι μακαρίζομεν, γενεαὶ τῆς ἀνθρώπων. τὸ γὰρ πῦρ ἐσκίωσεν, ἐν σοὶ τῆς Θεότητος, καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίςην καὶ Κύριον. ὅθεν τῆς Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν, τὸν παναγιον τόκον σε, καὶ συμφώνως βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῆς πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀυμνοῦσιν ἀξίως τὴν δόξαν σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Λυτρωτὴν, ἡ Ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαξε δακρύουσα, καὶ πικρῶς ἐκβοῶσα· ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρῶσης σε τὸν Σταυρῶσιν, ὑπὲρ ὑπομένης, διὰ σπλάγχνα ἐλέους, μακρόθυμε Κύριε, τὸ ἔλεος ἡ ἄβυσσος, καὶ πηγὴ ἀνεξάντλητος. ἱλάσθητι καὶ δώρησαι τῆς πταισμάτων ἄφεσιν τοῖς πίςει σε, ἀυμνοῦσι τὰ Θεῖα Παθήματα.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἠνησάθησαν Θαμύριδι, ὁ νυμφαγωγός σε Παῦλος ἡρμόσατο, τῷ Νυμφίῳ ὡς ἀμώμητον, τῷ ἐπουρανίῳ, Θέκλα παύσοφε. Τῆ πρτήθης τὸ ἔρωτος, τῆς θεοσεβείας Παύλε τοῖς ἔπεσι, καὶ Θαμύριδος τὰ ῥήματα, ὥσπερ λῆρον Μάρτυς, ἐμυκτήρισας. Ἀντισμῷ Θεὸς Αἵματος, τὸ Ἀδαμιαῖον γένος ηὐλόγηται. Εὖα χαίρει καθορῶσα δὲ, γυναιξὶ τὸν ὄφιν, ὑποπίπτοντα. Ἠνεγκαίαν ποθήσασα, παντὰ τὰ περιπνεῦ τῷ βίῳ ἀπώσατο, πλῆθον γένους ὡραιότητι, καὶ ἠδυμῆ μνησῆρα, ἡ Παναμωμος. Θεοτοκίον.

Ἐλασμὸν ἡμῖν δώρησαι, τῆς ἀγνοημάτων ὡς ἀναμάρτητος, καὶ ἀμόλυντον τὸν Κόσμον σε, ὁ Θεὸς πρεσβεύεις, τῆς Τεκούσης σε.

Ὠδὴ ε'. Ὀρθρίζαντες.

Πέρογκον ἀθλήσεως ςάδιον, ἠγωνίσω, Θέκλα παμμακάριςε, καὶ τὸ βραβεῖον ἠξίωσαι.

Εσύληται ὁ δράκων ὁ δόλιος, ἡ Παρθένος Θεοῖς γὰρ Παθήμασιν, ὑπακοὴ ἐδιδάσκετο.

Νίκα τὴν αἰδῶ σε ἡ σώθεος, παῤῥησία· πῦρ γάρ σε ἐγκάρδιον, τὸ τῆς Τειάδος ἔξέκαυσε. Θεοτοκίον.

Παρθένον μετὰ τόκου ὑμνοῦμέν σε, Θεοτόκε. σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ Κόσμῳ ἐκύησας.

Ὠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Εωΐδος τὸ τῆς φύσεως σαθρὸν, τῆ δυνάμει τῶ Σταυρῶ αὐερρώσθη, νεανικὸν, κόσμον τῷ Θεῴ πόθῳ. περιελοῦσα γὰρ μήκπωρ ἐθάρσησε, καὶ ἔθραυε τὰ ἔρασῶ, τὰ δὲ ὠδὴ ζητοῦσα διδάγματα.

Θλάμων ὑπερφυῶς τῶν Νυμφικῶν, αὐθαιρέτῳ αὐτηλάξατο πόθῳ, ἡ δʼ Ἐκλεὴς, καὶ Πρωτομάρτυς Θέκλα, τὸ τῶν κακούργων οἰκεῖν δεσμωτήριον. ὁ πόθος γὰρ τὸ Ποιητῶ, τῆς κτισμάτων ἐνίκα τὰς ἔρωτας.

Ἐν πνεύματι καπεφίλει τὰ δεσμὰ, τὸ εὐθὲς Διδασκάλε ἡ Μάρτυς, ἐν τῇ φοσρᾷ, ὡς ἐνθέῳ λαμῶνι, ἀρδόμενη τοῖς λόγοις, καὶ ηὔξανε, καὶ ἔφερεν ὡς ἀληθῶς, τῷ Δεσπότῃ καρπὸν ὡραιότατον. Στ.

Ἡ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύσα, Παναγία Θεοτόκε Παρθένε, ὅτι Πιςῶν,

ῥύε-

ςήριγμα σὺ ὑπάρχεις, καὶ τῇ ἐλπίδι τῇ σῇ κραταιούμεθα, καὶ πόθῳ σὲ καὶ τὸν ἐκ σοῦ, σαρκωθέντα ἀφράςως δοξάζομεν.

Κοντάκιον, ἦχος πλ. Ὡς ἀπαρχάς.

ΤΗ̃ς παρθενίας τῷ κάλλει ἐξέλαμψας, τοῦ μαρτυρίου ςεφάνῳ κεκόσμησαι, ἀποςολὴν πιςεύῃ Παρθένε ὡς ἔνδοξος. καὶ τοῦ πυρὸς μὲν τὴν φλόγα εἰς δρόσον μετέβαλες, ταύρου δὲ θυμὸν προσευχῇ σου κατέῤῥαξας, ὡς Πρωτόαθλος. Ὁ Οἶκος.

ΕΌρτῆς σεβασμίας ἡ ἔλλαμψις, ὑπερλάμπει φαιδρῶς ὑπὲρ Ἥλιον. μαρμαρυγὰς γὰρ φωτὸς ἀπαςράπτουσα, τοῖς Πιςῶν ὀφθαλμοῖς ἐνοπτρίζεται. διὸ Ἀγγέλοις συγχορεύοντες, τῷ Σωτῆρι Θεῷ ἀλαλάξωμεν πάντες, βοῶντες αὐτῷ· ἐμεγάλυνας Σῶτερ τὰ ἐλέη σου, δωρησάμενος δώρημα τέλειον τῷ λαῷ, τὴν Πρωτόαθλον.

Τῷ αὐτῷ Μηνὶ κδ'. Τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Ἰσαποςόλου Θέκλης.

ξι. Αὐτός σε σώζει Θέκλα ῥήξας τὴν πέτραν.
Οὗ τῷ Πάθει πρὶν ἐῤῥάγησαν αἱ πέτραι.
Πέμπτη ἀμφὶ τετάρτην εἰκάδα δέξατο Θέκλαν.

ΑΥ̃τη γέγονεν ἐκ Πόλεως Ἰκονίου, μητρὸς Θεοκλείας, τῶν εὐγενῶν καὶ ἐνδόξων. κατηχήθη δὲ τὸν λόγον τῆς Πίςεως παρὰ τοῦ μεγάλου Παύλου τοῦ Ἀποςόλου, διδάσκοντος ἐν τῷ τοῦ Ὀνησιφόρου οἴκῳ. ἣν δὲ ὅτε προσῆλθε τῇ Πίςει, ἐτῶν δεκαοκτὼ, μνηςευθεῖσα Θαμύριδι. περιφρονήσασα δὲ πυρὸς, ἐν ᾧ ἐβλήθη, καὶ μητρὸς, καὶ Μνηςῆρος, τῷ Παύλῳ ἠκολούθησε. καὶ μετὰ ταῦτα γενομένη ἐν Ἀντιοχείᾳ, θηρίοις ἐκδίδοται ὑπὸ Ἀλεξάνδρου, καὶ ταύροις εἰς διασπασμὸν προσρίπτεται, καὶ ἐκ πάντων τῇ τοῦ Χριςοῦ χάριτι ῥυσθεῖσα, καὶ ἐν διαφόροις Πόλεσι τὸν Κύριον Ἰησοῦν Χριςὸν εὐαγγελισαμένη, καὶ πολλοὺς πρὸς τὴν εἰς Χριςὸν Πίςιν ἐπισπασαμένη, ὕςερον ἐν τῇ ἰδίᾳ Πατρίδι γίνεται. καὶ ἔν τινι τῶν ὀρέων ἰδιάσασα, καὶ πολλὰς δυνάμεις ἐπιτελέσασα, τὸν βίον κατέλιπε, πέτρας ῥαγείσης, καὶ ὑποδεξαμένης αὐτήν. ὁ δὲ πᾶς χρόνος τῆς ζωῆς αὐτῆς ἔτη ἐννενήκοντα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κόπριος.

ξι. Κόπρις οὐ Κόπρις, ἀλλ' ἀρεταῖς κυπρίζων,
Βότρυς γλυκανθεὶς προσφέρεται Κυρίῳ.

ΟΥ̃τος ἐν κοπρίᾳ ἐγεννήθη, ἔξω τῆς Μονῆς τοῦ μεγάλου Θεοδοσίου τοῦ Κοινοβιάρχου παρὰ γυναικὸς διωκομένης ὑπὸ τῶν Ἀγαρηνῶν, μετὰ καὶ ἄλλων οὐκ ὀλίγων πλησιοχώρων, προσφυγόντων τῷ Ἁγίῳ ἐπὶ σωτηρίᾳ. μετὰ γοῦν τὴν τῶν ἀθέων διάβασιν, κατασιγασθέντων, ὑπὸ τῆς ἐνοικούσης αὐτῷ θείας χάριτος, εὑρόντες οἱ Μοναχοὶ τῆς Μονῆς, τὸ γεννηθὲν ἐν τῇ κοπρίᾳ Παιδίον, προςάξει τοῦ μεγάλου Θεοδοσίου αὐτελάβοντο τοῦτο, καὶ Κόπριν ὠνόμασαν. ἐτρέφετο δὲ τὸ Παιδίον γάλακτι αἰγός. ἡ γοῦν ἀφορισθεῖσα αἴξ πρὸς τὸ θηλάζειν τὸ Παιδίον, ἐνέμετο μὲν μετὰ τῶν λοιπῶν. ὁπηνίκα δὲ τὴν ὥραν τοῦ θηλᾶσαι τὸ Παιδίον ἐςοχάζετο, μόνη κατήρχετο ἐκ τοῦ ὄρους, καὶ μετὰ τὸ θηλᾶσαι τὸ Παιδίον, πάλιν ὑπέςρεφε. καὶ τοῦτο οὕτως ἐποίει, μέχρις αὖ ὁ Παῖς δραςικωτέρας ἐδράξατο τροφῆς. οὕτως εἰς ἡλικίαν τελεωτέραν φθάσας, ποθεινὸς ἦν τῷ μεγάλῳ Θεοδοσίῳ. διὸ καὶ Πνεύματος Ἁγίου ἠξιώθη, καὶ τὸ κατ' εἰκόνα φυλάξας, τὰ θηρία ὑπέταξεν. ἄρκτον γὰρ εὑρὼν ἐν τῷ κήπῳ ποτὲ θριδακίνας ἐσθίουσαν, καὶ ἐκ τοῦ ὠτὸς κρατήσας αὐτὴν, ἤγαγεν ἔξω, καὶ τῇ τοῦ μεγάλου εὐχῇ ταύτην ἀσφαλισάμενος, οὐδέ ποτε ἄλλο τε ὥρμησεν ἐν τῷ κήπῳ εἰσελθεῖν. ἀλλὰ καὶ μετὰ ὄνου εἰς τὸ ὄρος ἀνελθὼν χάριν συγκομιδῆς ξύλων, ὡς ἐποιεῖτο τὴν τούτων συλλογὴν, ἄρκτος ἐλθοῦσα, ἔπληξε τοῦτον ἐν τῷ μηρῷ. κρατήσας οὖν τὴν ἄρκτον ὁ Κόπρις, ἐπέθηκεν αὐτῇ τὰ ξύλα, λέγων· οὐκ ἐῶ σε. σὺ γὰρ ποιήσεις τὸ τοῦ ὄνου διακόνημα, ἄχρις αὖ ὑγιὴς γένηται. καὶ τῇ εὐχῇ τοῦ μεγάλου, ὑπετάσσετο αὐτῷ ἡ ἄρκτος, καὶ διεκόμιζε τὰ ξύλα. οὗτος ὅτε ἐν τῷ μαγειρείῳ ἐξυπηρέτει, τοῦ χαλκοῦ σκεύους καχλάζοντος, καὶ τοῦ ὀσπρίου ἐκχεομένου, μὴ εὐχερῶς εὑρὼν τὸ κατὰ συνήθειαν ξύλον, χαλάσας γυμνὴν τὴν χεῖρα, κατέπαυσε τὸν βρασμὸν αὐτοῦ, ἀβλαβὴς διαμείνας. οὗτος ἐννενηκονταετὴς γεγονὼς, ἔλαμπε μέσον τῶν Πατέρων ἐκείνων ὥσπερ Ἥλιος, τῇ Ἱερωσύνῃ κοσμούμενος. καὶ παντοίαις ἰδέαις ἀρετῶν, καὶ ἐν ἀποκρύφῳ ἑςὼς τόπῳ, παρέτεινε τὰς πρὸς Κύριον εὐχάς. ὡς καὶ τὸν μέγαν Θεοδόσιον μετὰ τὴν πρὸς Κύριον αὐτοῦ ἐκδημίαν, φαίνεσθαι συνερχόμενον αὐτῷ, καὶ συμψάλλοντα, καὶ

τελευταῖον εἰπεῖν πρὸς αὐτόν· ἰδὺ ἀδελφὲ Κόπρι, ὁ καιρὸς τῆς ἀναλύσεώς σου ἐπέστη, καὶ ἐλθὲ πρὸς ἡμᾶς, ἐν τῷ ἑτοιμασθέντι σοι τῆς ἀναπαύσεως τόπῳ. ὡς δὲ ἤκουσεν ὁ θαυμάσιος, μετ' ὀλίγας ἡμέρας μικρὸν μαλακισθεὶς, καὶ τοὺς ἁγίους Πατέρας ἀσπασάμενος, ἀπῆλθεν ἐν εἰρήνῃ πρὸς Κύριον.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὡς δεσμίῳ τῷ Παύλῳ, συνεδέθης τῷ πόθῳ ὦ Παμμακάριστε, ἐν ἅμμασιν ἀλύτοις, τῇ πίστει συμφωνοῦσα, εὐσεβῶς καὶ συμψάλλουσα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Συμπαρέστης τῷ Παύλῳ, πρὸ βημάτων ἀδίκων ὦ Καλλιπάρθενε, καὶ πόθῳ τοῦ Δεσπότου, ἐβόας ἐν ἐκστάσει, τὴν αἰδῶ ἀπορρίψασα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Διὰ πόθον τὸν θεῖον, τῇ καμίνῳ τὸ δέμας Μάρτυς ἐκδέδωκας, καὶ τῇ τοῦ ποθουμένου, διέμεινας δυνάμει, ἀκατάφλεκτος ψάλλουσα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὀμβροτόκος νεφέλη, ὑετῷ καὶ χαλάζῃ τὴν φλόγα σβέσασα, ἐνδίκως καταφλέγει, τοὺς ἄφρονας καὶ σώζει, μελῳδοῦσαν τὴν Μάρτυρα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Παρθενικῆς ἐκ νηδύος, σαρκωθεὶς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν. διό σου τὴν Μητέρα, εἰδότες Θεοτόκον, εὐχαρίστως κραυγάζομεν. ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ζενοφανής σου ὁ λογισμός. τὸν γὰρ τάφον, ὡς Ἐδὲμ κατῴκησας Παρθένε, Μάρτυς ἀνυμνοῦσα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀμαυρωθῆναι τῆς εὐπρεποῦς παρθενίας, γενναιόφρον μὴ φέρουσα κάλλος, θνήσκειν ἠρετίσω, καὶ ζῆς εἰς τοὺς αἰῶνας.

Ὁμοποιῷ καὶ ὑπερφυεῖ συναφθεῖσα, τῷ Χριστῷ Πρωτομάρτυς Νυμφίῳ, θῆρας ἠρετίσω, φρουροὺς εἰς τοὺς αἰῶνας.

Ἐκδυσαμένης σου τῆς φθορᾶς τὴν ἐσθῆτα, εὐσταλὴς Χριστοῦ σταδιοδρόμος, ἦλθες πρὸς ἀγήρω, ζωὴν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ὃν κατελθόντα ἐξ Οὐρανοῦ καὶ ἐν μήτρᾳ, Παρθενικῇ οἰκήσαντα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Σὲ τὴν ἀπειρόγαμον.

Τίς σου τὸ ἀήττητον, ὦ Πρωτομάρτυς μὴ θαυμάσῃ; θῆρας νοητοὺς τὰ πάθη γὰρ, τῆς ψυχῆς τιθασσεύουσα, τὰ ἀκρατῆ θηρῶν ὁρμήματα οὐκ ἐπτόησας. ἀλλὰ μένεις ἐν μέσῳ τούτων ἀδιάφθορος.

Ἄβατος ἀκρότομος, Θεοῦ προστάξει σοι ἐρράγη, πέτρα θεοφόρῳ Μάρτυρι, λουτρὸν ἀναγεννήσεως, ἐσφραγισμένη θεία Νύμφη, ὡς θάλαμος τῇ σφραγίδι, καὶ ἐν ἀγκάλαις ὑπεδέξατο.

Ἆσαι Πρωτομάρτυς, τοὺς μώλωπας τοὺς τῆς ψυχῆς μου, Κόσμῳ τὴν εἰρήνην βραβεῦσον, τῷ πιστῷ Βασιλεῖ ἡμῶν, κατὰ βαρβάρων δυσμενῶν, νέμουσα τρόπαια, καὶ εἰρήνην ταῖς Ἐκκλησίαις σαῖς δεήσεσι. Θ'.

Νέκρωσόν μου Δέσποινα, τὴν ἔτι ζῶσαν ἁμαρτίαν, ζώωσον ψυχῆς τὴν νέκρωσιν, ἐνεργείᾳ τῆς ὄντως Ζωῆς, τῆς γεγεννημένης ἐκ γαστρός σου, δι' ἄφατον εὐσπλαγχνίαν, τοῖς εὐσεβῶς σε μεγαλύνουσιν.

Ἕξαπος. Γυναῖκες ἀκουτίσθητε.

Ὡσθεῖσα καλλιπάρθενε, ταῖς θείαις εἰσηγήσεσι, τοῦ Θεοκήρυκος Παύλου, φθαρτὸν Μνηστῆρα παρεῖδες, καὶ τούτῳ ἠκολούθησας, Πρωτομάρτυς πολύαθλε, ὦ Θέκλα Ἰσαπόστολε. διὸ καὶ νίκης τὸ στέφος, παρὰ Χριστοῦ ἐκομίσω. Θεοτοκίον. Ὅμοιον.

Κυρίως Θεοτόκον σε, ὁμολογοῦμεν Δέσποινα, οἱ διὰ σοῦ σεσωσμένοι. τὸν γὰρ Θεὸν ἀπορρήτως, ἐκύησας τὸν λύσαντα, διὰ Σταυροῦ τὸν θάνατον, πρὸς ἑαυτὸν δ' ἑλκύσαντα, Μαρτύρων δήμους· μεθ' ὧν σε, ἀνευφημοῦμεν Παρθένε.

Εἰς τοὺς Αἴνους, ἰστῶμεν ἐξ. δ'. καὶ ψάλλομεν ἐξ. Ἰδιόμελα, ἦχος α'. Ἀνατολίου.

Ἀθλητικὸν στάδιον σήμερον πρόκειται, λαοὶ χορεύσωμεν, καὶ τὰ ἐν αὐτῷ τελούμενα, παράδοξα πράγματα κατοπτεύσωμεν. ἄσπιλος γὰρ ἀμνὰς, πρόκεισαι σφαγῇ, ὑπὲρ τοῦ σφαγιασθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἡ καλλιπάρθενος καὶ θεόνυμφος. διὸ Τριάδος τῇ πίστει, τὴν τῶν Τυράννων κατήργησεν ἀθεότητα, καὶ σὺν Ἀγγέλοις χορεύουσα, τῷ Σωτῆρι πρεσβεύει, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Τοῦ αὐτοῦ.

Νυμφίον ἔχουσα ἐν Οὐρανοῖς, Χριστὸν τὸν Θεὸν ἡμῶν, νυμφῶνος κατεφρόνησας

σας τῶ ἐπιγάμω, καὶ Μνησῆρος, Θέκλα Πρωτομάρτυς. ταῖς γὰρ μητρῴαις θωπείαις ἐμφρόνως μὴ παθῆσα, Παύλῳ ἠκολούθησας, ἐπ' ὤμων ἀραμένη τὸ σημεῖον τῦ Σταυρῦ. καὶ τὸ μὲν πῦρ οὐκ ἐνάρκησας· τῷ δὲ θηρῶν τὴν ὠμότητα, εἰς ἡμερότητα μετέβαλες. Φωκαῦ δὲ ἀπενέκρωσας, τῇ ἐν Χριστῷ καταδύσα τῦ Ἁγίου Βαπτίσματος. ἀλλ' ὡς ἐν ἄθλοις γενναίως, ἐνθέως διαπρέψασα, μὴ διαλίπης ἱκετεύουσα ἀπαύστως τῷ Κυρίῳ, ὑπὲρ τῶν πίστει τελούντων τὴν ἁγιστέβαστον μνήμην σου.

Ἦχος β'. Τὸ αὐτό.

Γ'Ναθῆσα ἑαυτὴν παντοδυνάμῳ νεύματι, κρατυνομένη ὡς Πρώταθλος τῷ Χριστῷ, καὶ τὴν γεώδη καταλέψασα σορκήν, ἐνεδύσω τὴν λαμπάδα τῆς αἰωνίου ζωῆς, ὅλβιος ὑπάρξασα θάλαμος. ἐν ᾧ αἱ τῶν θηλαιῶν ἀγέλαι προσαναπαύονται, εἴσοδον δραμοῦσα τῆς αἰωνίου ζωῆς. μεθ' ὧν ἱκέτευε Ἀπόστολε Θέκλα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'. Τὸ αὐτό.

Χορείας ἐγκρατῶς φιλομάρτυρες. τῶν ἀγώνων γὰρ ἐφέσηκεν ὁ κυρίος, καὶ τῆς Πρωτομάρτυρος ἡ ἐτήσιος μνήμη, πάντας εἰς δοξολογίαν προτρέπουσα Θεῦ, Θέκλα πρώτη Μαρτύρων ἐν γυναιξὶ τὸ ἀθλητικὸν σχῆμα ἐνδυσαμένη, πρώτη καὶ σεφηφόρος ἀναδέδεκται, καὶ παῤῥησίᾳ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, Ἦχος δ'.

Μὴν σὴν ὑπὲρ ἄνθρωπον ἄθλησιν, Πρωτομάρτυς Χριστῦ, οὐκ ἀνθρώπων μόνον ἐθαύμασαν τὰ Ἔθνη, ἀλλὰ καὶ θῆρες πεθήπασιν ἄγριοι. αἰ φλόγες, αἱ φλόγες ἐλογίσθησάν σοι καλλιπάρθενε Θέκλα, διὰ τὸν σὸν Νυμφίον Χριστόν. γέγονας γὰρ δι' αὐτὸν πάσχουσα, καὶ Κόσμῳ χωρίζομένη, ἵνα τῆς ἐπουρανίου τύχῃς μακαριότητος, εὐπαῤῥησίᾳ πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς γενναῖον εἰ Μάρτυσιν.

Ἐπομβρίας τὸ Πνεῦμα τοῦ, τὸ Ἁγίου Παναγία, τῷ ἐμῷ διανοίαν κατάβρεξον, ἢ τῷ σαγήνῃ κυήσασα, Χριστὸν τὸν ἀμέτρητον, ἀνομίας τῶν βροτῶν, οἰκτιρμοῖς ἀποσμήχουσα, ἀποζήρανον, τῷ πηγῷ τῶν παθῶν μου, καὶ χαμαίῤῥους, καπάξιόσον τρυφῆς με, τῆς ἀειζώου Παναγία.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν Σταυρῷ ὡς ἑώρακε, καθηλούμενον Κύριε, ἡ Ἀμνὰς καὶ Μήτηρ σου ἐξεπλύτετο. καὶ τί τὸ ὅραμα ἔκραζον, Τί σοι πεθανόντι; παῦσά σοι ὁ ἀπατεών, δῆμος αὐτὸν ἀποδίδωσιν, ὁ παράνομος, ὁ πολλῶν σου θαυμάτων ἀπολαύσας. ἀλλὰ δόξα τῇ ἀῤῥήτῳ, συγκαταβάσει σου Δέσποτα.

Ἀπόστ. ἃ. τῆς Ὀκτωήχου.

Δόξα, Ἦχος β'. Ἀνατολίη.

Δεῦτε φίλαθλοι, τῶν θηλαιῶν τὸ καύχημα, τὴν Πρωτομάρτυρα Θέκλαν ἐν ὕμνοις τιμήσωμεν. αὕτη κατεπάτησε τῦ ἐχθρῦ τὰ παλαίσματα, καὶ τὴν νίκην ἄρασα, ἀξίως ἐσεφανώθη. διὸ δυσωπᾶ ἡ πολύαθλος, τῦ ῥυσθῆναι κινδύνων, καὶ τῆς μελλούσης Κρίσεως, τοὺς ἐν πίστει καὶ πόθῳ πελάτας τὴν μνήμην αὐτῆς.

Καὶ νῦν. Θεοτοκίον.

Ἄλλην, κραταιὰν καταφεύγω, καὶ ἰσχύος πύργον καὶ τεῖχος, ἀκαταμάχητον, ὄντως ὑπερκτήμεθα, εἰ μὴ σὲ Παράγνε, καὶ πρὸς σὲ καταφεύγομεν, καὶ σοὶ ἐκβοῶμεν· Δέσποινα βοήθησον, μὴ ἀπολώμεθα. δεῖξον, τὴν σὴν χάριν εἰς πάντας, καὶ τῆς δυναστείας τὴν δόξαν, καὶ τῆς εὐσπλαγχνίας σου τὸ μέγεθος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τόκον, ἡ τεκοῦσα τῆς ζωῆς, ὃν ἀγγελοκήπτως ἐν μήτρᾳ ἐκυοφόρησας, Ξύλῳ ὡς ἑώρακας, τὸν κρεμάμενον, θρηνῳδοῦσα ὠλόλυζες, καὶ ἔκραζες τέκνον, γλεῦκος εὐαπόσαξον, δι' ὃ ἡμέθαρθη, πᾶσα, τῶν παθῶν εὐεργέτα, δι' ἐμοῦ τῆς σὲ τεκούσης, θείαις παρακλήσεσιν ὡς εὔσπλαγχνος.

Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικά. Οἱ μακαρισμοὶ τῆς Ὀκτωήχου εἰς ς'. Καὶ τῆς Ἁγίας, ᾠδὴ ς'. εἰς δ'. Προκείμενον, Ἦχος δ'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς. ἃ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τόν. Ὁ Ἀπόστολος. Πρὸς Τιμόθεον. Τέκνον Τιμόθεε, παρακαλοῦμέν σε. Ζήτει Κυριακῇ λγ'. Ἀλληλούϊα. Τὰ πρωΐα ὑπέρμενα τῶν Κυρίων. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶτα ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις. Ζήτει Σαββάτῳ ιζ'. τῷ Ματθαίῳ. Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ. Ἀλληλούϊα. Καὶ ἐξῆς.

Μηνὶ

Μνεί τῷ αὐτῷ ΚΕ.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Εὐφροσύνης. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἰσῶμεν ϛ. καὶ ψάλομεν ϛ. ἦχος δ. ά.

Ὅσιε Πάτερ.

Μῆτερ Ὁσία, Εὐφροσύνη ἀξιάγαστε, τῷ ὄντως ἀφροσύνῃ ἐπιποθήσασα, τὴν ταύτῃ προξενοῦσαν ὤφλησας τρόπον. πλούτου ἠλλάξω δέ, πτωχείαν πολλήν, σαρκικὸν μνησῆρος, τὸν ζῶντα εἰς αἰῶνας, τρυφῆς ῥεούσης, τὸ ἐγκρατές, τῆς ἀναπαύσεως πόνους τοὺς ἐν ἀσκήσει, τὸν ὑπερκόσμιον ζωὴν τοῦ ἐν τῷ Κόσμῳ· ἧς καὶ ἐπέτυχες φρονίμοις συνπαρθένοις, διατηρήσασα τὸν σὸν λαμπάδα ἄσβεστον, καὶ νυμφῶνος ἀξιωθεῖσα, ὡς Παρθένος, ὡς Νύμφη Χριστῷ παυδέμνητε.

Εἴθροις δακρύων, ἀρδόμενα τὴν διάνοιαν, ἐθαλλόμενα ἀσκήσει τοὺς ἀρίστους καρπούς. ἄμπελος καθάπερ ὡραιοτάτη, ἐβλάστησας βότρυας ὡραίους σεμνοῖς, ὧν τῷ θείῳ γλυκασθέντες σαφῶς ἐμφορηθέντες, τὰ ἀθηρίωτα τῆς ψυχῆς, καταγλυκαίνομεν σοῦ τῇ μιμήσει, καὶ ἀφρονόμεθα τοῦ θείου ἀφροσύνου, μέθυσθαι ἀθέμενοι τοῦ ἐκ τῆς ἁμαρτίας, βοῶντες· παύσεμνε, Χριστὸν δυσώπει παύτοπε, δωρηθῆναι τῇ Οἰκουμένῃ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Θεοτοκίον.

Θαῦμα ξένον, καὶ τῇ φύσει δυσπαράδεκτον. πῶς ἔλαθες τῆς Εὔας τὸ παλαιὸν πέρνεσθαι, δεινὰς μηχανουργίας, μέσον ἀνδρῶν, καταστηνώσασα πελάφνοι, πυρὸς ἐν μέσῳ, διῆλθες μὴ φλεχθεῖσα, πῶς σωσεκάλυψας γυναικῶν τὸ ἄδοξον, νέα μυρίπνοε θεία δωτίνα, τὸν τὴν ἀδοξίαν ἡμῶν ἀναλαβόντος, καὶ ἀναστήσαντος, ἐκ Κόρης ἀπειράνδρου. ὃν καθικέτευε, Ἀγγέλοις συγχορεύουσα, δωρηθῆναι τῇ Οἰκουμένῃ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Δόξα, ἦχος β'. Τὸ Στιχηρόν.

Σὸν καθαρὸν τῆς ἁγνείας σου χεῖμα, ἄμωμον ἐξ ἀνδρῶν φυλάξασα, Νύμφη Χριστῷ ἐχρημάτισας Εὐφροσύνη παμμακάριστε. σώματος μὲν κάλλος, ἀσκητικοῖς πόνοις μαράνασα· ψυχὴν δὲ ὡραΐσασα τῇ ἀμόρφῳ τῆς κάλλους. ἐν γὰρ τῷ ἄῤῥενι τὸ θῆλυ σαφῶς ὑποκρύψασα, ἔλαθες τὸν βελίαρ τὰ σπέδρα, ἀγγελικῶς ἀποβιώσασα. ἀλλ' αἴτησαι εἰρήνην τοῖς πόθῳ δι' ἡμῶν σε, ὡς χαρᾶς ἐπώνυμος Κοσμοχαρμόσυνε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, ἡλιόμορφε Ἁγνή. χαῖρε ἡ αἰτία ἁπάντων καλῶν Παναμώμε. χαῖρε ἡ χωρήσασα, Θεὸν ἀχώρητον, ἡ τὸν σάρκινον βλαστήσασα, τῆς ἀθανασίας. χαῖρε θεῖον ὄχημα, πύλη ἡ πάμφωτος. χαῖρε, ἡ ἀῤῥᾶς αὐαιρέτις, τῆς προγονικῆς ἡμῶν Κόρη, ἀγαθῶν ἡ πρόξενος ὑπάρχουσα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὅτε, ἡ ἀμίαντος Ἀμνάς, ἔβλεψε τὸν ἴδιον Ἄρνα, ἐπὶ σφαγὴν ὡς βροτὸν, θέλοντα ἑλκόμενον, θρηνοῦσα ἔλεγεν· ἀπέκτονάς μου ὠδίνας με, Χριστὲ τὸν Τεκόντα. τί τοῦτο πεποίηκας, ὁ Λυτρωτὴς τοῦ παντός; ὅμως, ὑμνῶ καὶ δοξάζω, σοῦ τὸν ὑπὲρ νοῦν τε καὶ λόγον, ἄκρον ἀγαθότητα φιλάνθρωπε.

Εἰς τὸν ϛ. τῆς Ὀκτωήχου.

Ἀπολυτίκιον, ἦχος πλ. δ.

Σὲν σοὶ Μῆτερ ἀκεράσως διεσώθη τὸ κατ' εἰκόνα. λαβοῦσα γὰρ τὸν Σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπεροράν μὲν σαρκὸς, παρέρχεται γάρ. ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου. διὸ καὶ μετ' Ἀγγέλων συναγάλλεται, Ὁσία Εὐφροσύνη τὸ πνεῦμά σου.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ἓξάψ. Κανόνες, τῆς Ὀκτωήχου, εἷς, καὶ τῆς Ἁγίας, δύο.

Ὠδὴ ά. ἦχος πλ. δ. Ἁρμοπλάτιον.

Ἐσαγίαις ἐν φωναῖς ὑμνούμενος, ὑπὸ φρικτῶν χορατῶν, καὶ σωφρονὰ δείξας, τὸς βροτοὺς δοξάζειν σε, καὶ νῦν αὐτὸς τὸν βλάσφημον, ἀνατρέπων προθήκην, τὸ Ἐσαγίου ἔξαισιον, ἔδω τὸ Παιδὸς ἁρπαγὴν καὶ φωνήν. Ἐκ τοῦ Θεοῦ ἀπὸ ψυχῆς ἐπόθησας, καὶ ἐμνηστεύθης αὐτῷ, κοσμικὸν μνησῆρα, καὶ σαρκὸς ἀπάθειαν, καὶ πλοῦτον τὸν ἐπίκηρον, καὶ τρυφὴν καὶ δόξαν, καταλιποῦσα Παυδέμνητε, καὶ ἀσκητικὸν βίον ζήσασα. Ἔμφορωτάτη γῆ καθάπερ πέφηνας, ἑκατοντάδονα, καρπὸν ἀποδοῦσα, Εὐφροσύνη παύσεμνε. καὶ γὰρ ἐν τῇ καρδίᾳ σου, δεξαμενῇ προθύμως, τὸν συμβολὴν τοῦ σωτῆρος, ἐνεργὲς εἰς ἔργον ἐσπούδασας.

Θεοτοκίον.

Στήσεσι θείων Προφητῶν ἑπόμενοι, καθωμολόγησαν, τὸν τοῦ Θεοῦ Λόγον, σάρ-

σάρκα προσλαβόμενον, οἱ Θεοφόροι Μάρτυρες, ἧς ἀλλοιώτε Παρθένε. ὦ Θεοτόκον δοξάζομεν, ἄσμασιν ἀεὶ μακαρίζοντες.

Ἕτερος Κανὼν τῆς Οὐσίας. ᾠδὴ ἡ ἀκροστ.

Ὕμνον σοι μέλπω προφρόνως Εὐφροσυνὴ.

Ἰωσήφ. Ὡδὴ ἀ. ἦχος πλ. ά.

Ἵππον καὶ ἀναβάτην.

Ὑμνοις θεοπρεπέσιν, ὑμνῶντα σήμερον, τιμῶ ἁγίαν σε μνήμην, καὶ ὄντως ἀξιέπαινον, φωτί με καταύγασον, τῶν δ' ἐχθρῶν σε παύσεμνε, δ' Εὐφροσυνὴς θείας ἐπώνυμε.

Ὁ νοῦν τὸ θεῖον κάλλος, Χριστὸν ποθήσασα, καὶ ταῖς τούτου θελχθεῖσα, ἀύλοις ὡραιότησι, τὸ κάλλος τῶν σωμάτων, ἐβδελύξω Ἔνδοξε, θεωρίαις θείαις σχολάζουσα.

Νύμφη ὡραϊσμένη, τῶν ἀρετῶν καλλοναῖς, ἐμνηστεύσω τὸν ὄντως, ὡραῖον κάλλει Χριστόν, λιποῦσα τὸν πρόσκαιρον, Εὐφροσυνὴ μνήστορα, καὶ τὸν βίον πᾶσαν πρπνότητα. Θεοτοκίον.

Ὅλος ἐπιθυμία, καὶ γλυκασμὸς καὶ ζωὴ, ὁ ἐκ σοῦ ἀνατείλας, ὑπερβολὴ χρηστότητος, Παρθένε Πανάμωμε. ὃν δυσώπα σῶσαί με, τὸν ἀπαύστως σε μακαρίζοντα.

Ὡδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Τοῦ σοφῶν καὶ σωστῶν, ὁ ἀποκρύψας τὰ βάθη, Μυστηρίων σε καὶ ἀποκαλύψας, νηπίοις παῦπα θαυμαστῶς, νηπίῳ ἐκκαλύπτας νοῦ, ἀρθεῖσι ἐν νεφέλαις, μέλος σαφῶς τὸ τερπάγιον.

Μῆς ἐμπαθείας δυσαδῆ, χιτῶνα ἐκδυσαμένη, τῇ σοφίᾳ τὴν στολὴν ἐνεδύσω, ἀπαθείας τῷ Χριστῷ, μέσον ἀνδρῶν ἀπήρασπας, ἀσκητικῶς βιοῦσα, καὶ σκεπομένη τῇ χάριτι.

Μῆς ἐγκρατείας χαλινῷ, τὰς ἀκαθέκτους ὀρέξεις, τῆς σαρκὸς ἀναχαιτίζουσα Μῆτερ, πρὸς τὸν δρόμον τὸν καλὸν, τῆς ἱερᾶς ἀσκήσεως, τὴν σὴν καρδίαν ἔχεις, εὐθυπορεῦσαν ἀπρόσκοπα. Θεοτοκίον.

Παρθένε Θεοτόκε, τὸν Λόγον ὃν ἐγέννησας ἐκ σοῦ σαρκωθέντα. ὃν οἱ Μάρτυρες Θεὸν, ἀνδρείως ὡμολόγησαν, ὡς γνησίως τοῦτο, καὶ γεφανῖται γενόμενοι.

Ἄλλος. Ὁ πήξας ἐπ' ὕδατος.

Ἐγκαλῶς ἐγκαρτερήσασα ἀγωνίσμασι, τῶν ἐχθρῶν καθεῖλες τὰ μηχανήματα, ἔτρεψας δαιμόνων προσβολὰς, Ἀγγέλοις ὁμοιώθης, ἀθανασίαν μελετήσασα, Μῆτερ ἀνύμνησε τὸν σωτῆρα.

Γυμναίνει τῶν Μοναζῶν καρδίας ὁ βίος σου, γνήσιος ὑπάρχων καὶ παιδαγώγησις, πρὸς σωτηρίους ἐντολὰς, πρὸς τείβους ἀφθαρσίας, πρὸς τῆς ἀγάπης τὸν ἄκρατον ὅρον Εὐφροσυνὴ τὸ κτίσαντος.

Λαμπρύνει τὴν ἧβὴν Πιερίδων εὐθέως συσήμανε, ἡ λαμπράσα μνήμη καὶ ἀξιέπαινος, θέλγει τὴν Ὁσίων τὰς χορὰς, Ἀγγέλοις ἐπεφράινει· μεθ' ὧν ἀυλίζῃ ὥσπερ Ἄγγελος. ὧν περ καὶ τὸν βίον ἐζήλωσας. Θεοτοκίον.

Λαθῶν με τὸ χαλεπὸν χαμάζε κλυδώνιον. πονηρῶν πνευμάτων βυθὸς συνέχει με, ἡ τῆς ἁμαρτίας καταιγὶς, δονεῖ μου τὴν καρδίαν, Θεοκυήτορ σύ με γάλιξον, τὸν εἰλικρινῶς σε δοξάζοντα.

Ὡδὴ ἦχος πλ. ά. Τὸν σωτῆρα.

Ὁ τῆς θήλεος χαῦνον ἐπινδρώσασα, ἐρανίαις ἐλπίσι μέσον κατῴκησας, ἀδιαλείπτῳ λογισμῷ ἀνδρῶν θεόπνευστε, τὸν τῆς Εὔας πτερνισμὸν, ἀποπάτησασα ταῖς σαῖς, Παρθένε πτέρναις ταῖς πόνοις, καὶ ταῖς ἀγρύπνοις μελέταις. διὸ εὐπίστως σε μακαρίζομεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μὴν ἐλπίδαμα πᾶσαν προσανατίθημι, ἐπὶ σοὶ Θεοτόκε. μὴ καταισχύνῃς με, μὴ δὲ ἐκπέσοιμι Ἀγνὴ τῆς προσδοκίας μου. σὲ γὰρ μόνην θαρρῶν ἀγαθὴ, εὐθαρσῶς τροπεῦμαι, πάντας ἐχθρούς, καὶ καταβάλλω καυχώμενος. ὡς ἄμαχόν σε πλευτῶν ἀντίληψιν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ Σταυρῷ σε ὁρῶσα Χριστὲ ἡ Μήτηρ σου, θρηνωδοῦσα ἐβόα οἰκτρῶς, καὶ ἔλεγε· πῶς ἀτεκνώσαί με εὐδοκεῖς, τὴν σὲ γεννήσασαν, μεμονωμένην ἐπὶ γῆς, καὶ γαλουχήσασαν τὸν τροφὸν, διδοῦσα πᾶσιν ἀνθρώποις; ὅμως ὑμνῶ εὐλογῶ σε, τὸ ὑπὲρ πάντων σῶμα μακρόθυμον.

Ὡδὴ δ'. Σὺ μοι Χριστὲ, Κύριος.

Οἰκονομῶν πρὸς τὸ συμφέρον τὰ πάντα Σωτὴρ καὶ παιδεύων, πάντας πρὸς διόρθωσιν, καὶ τῶν κακῶν πάντων ἀποχλῶν, καὶ τὰ νοῦ σωφρόνως, σασμῷ τὴν γῆν σωσεπάραξας, βλασφήμους ἀνατρέπων, δόξας αἱρετιζόντων, καὶ διδάσκων ὡς θέμις δοξάζειν σε.

Ἀσκη-

Τ Ὸ σκηπτιχὶ, παλαίσραν ὡὖσας χαίρε-
σα, Εὐφροσώη, ἀὐδρῶν μέσον μέ-
νεσα, καὶ θανατῦσα τὰς ἐμπαθῆς, τῆς
σαρκὸς ὀρέξας, τῷ πόθῳ τῷ τῦ Δεσπότ
σε. διὸ τῆς ἀθανάτ, κατοικίας καὶ δόξης,
ἠξιώθης λαβῦσα τὸν ςέφανον.

Π Ρὸς ςεναγμὸς, τῇ σῶν δακρύων προσ-
φέρσα, ὥσπερ μὕρα, Μήτερ τῷ Δεσπό-
τη σε, τὴν ἰὠδίαν τὴν παρ' αὐτῦ, τὴν τῇ
χαρισμάτων, τῶν Θείκων ἀνεπλήρας. διʼ
ὧν ἰὠδιάθης, καὶ διέπνευσας πᾶσι, τὴν ὀσ-
μὴν τῇ θαυμάτων θεόπνευςε. Ἅπ.

Ὁ Πλον Χριςὲ, τὸν σὲ Τεχθῆναι παιδί-
μωμον, κεκτημένοι, πλανης ἐτροπώσαν-
το, τὰς μηχανὰς, Μάρτυρες σοφοὶ, καὶ τὰς
τῇ τυραννων, θωπείας σοφῶς διέλυσαν,
καὶ νῦν ςεφανηφόροι, δεδαγμένοι βοῶσι·
τῇ σῇ πάσε δόξα φιλάνθρωπε.

Ἄλλος. Τὸν θεὸν ἐννοήσας σε.

Π Ατρί σε Οὐρανίῳ προσέχθσαν, τῷ τῇ
ψυχῶν νυμφαγωγῷ, Πατρὸς ςοργὴ
ὁκ ἐκώλυσεν, ὅτε προσκαίρε Νυμφίε, ὁ-
δεῦσαι τὴν ὁδὸν τὴν σωτήριον.

Ὡ Σ φοίνιξ θεοφρόνως ἤνθησας, δι-
καιοσύνης γλυκασμὸν, καὶ ὡσὶ κέ-
δρος παρ' ὕδασι, τῆς ἐγκρατείας θεόφρον,
καρπὸς ἐναρέτης ἐπλήθυνας.

Π Ρὶ τῆς ἐγκρατείας ἐτέρπσας, πᾶς φρυ-
γανώδεις ἡδονὰς, καὶ πυρωθῆσα τῷ αὖ-
θραχι, τῆς τῦ Κυρίε ἀγάπης, θαυμάτων
λαμπηδόνας ἐξήςραψας. Θεοτοκίον.

Ἱκτήρησον οἰκτίρμων ὑπάρχσα, τὴν πα-
ναθλίαν μὲ ψυχὴν, Θεοκυῆτορ Παν-
άμωμε, τὴν ἐκ παθῶν ἁμαρτίας, δεινῶς
ἁμαυρωθῆσαν καὶ ςείσσαν.

Ἀδὴ ε'. Ἵνα τί με ἀπώσω.

Π Ροτυπῶν τῇ Δικαίων, τὴν ἐν τῇ δόλ-
τερα Χριςὲ παρσίᾳ σε, ὑπαντὴν φε-
κώθη, ἐν νεφέλαις καὶ τὴν ἀξίσιον, ἁρπα-
γὴν εἰργάσω, τὴν τῦ Παιδὸς, διʼ ὃ διδά-
σκεις, τὸ τερσάγιον μέλος ὀρθότομον.

Ν Οῒς ἐνθέοις σε ἔργοις, ἔδειξας τὴν κλῆ-
σίν σε ἐπαληθεύσσαν. ὡς γὰρ λίθος
ὤφθης, πολυτίμητος σμάραγδος εὔδοξε,
διαλάμπων μέσον, τῇ Ἱερῶν ἀνδρῶν Παρ-
θένε, τῇ λαμπρότητι τῆς καθαρότητος.

Ω Τ φροσώη τὴν Θεὸν, ἔχες ἐν καρδία
σε δ' φραινομένη ἀεὶ, ἐν οἷς τῦ Κυρίε,
διατάγμασιν οἷς τρυφήσασα, πολιτείαν ἤ-
σκας, τὴν ἀκραιφνῆ καὶ πανόλβιαν, Εὐφρο-
σώη Παρθένε Θεόνυμφε. Θεοτοκίον.

Τ Ὴν θεοτόκον, πάντες ἐπιγνόντες σε
Μάρτυρες εὔδοξοι, τὸν ἐκ σῦ πεχθέν-
τα, Θεὸν Λόγον ἀδότες ἐκήρυξαν, πρὸς τὴν
ἁμαρτίαν, νεανικῶς μέχρι θανάτε, ἀνθι-
σάμενοι Κόρη πανύμνητε.

Εἱρμὸς, ἄλλος. Ὁ ἀναβαλλόμενος.

Φ Έγγε θείων πράξεων, ὡς λίθος σμά-
ραγδος, Σεμνὴ ὡράθης, ἀνδρῶν ἐν μέ-
σῳ, ἀνδρεῖκα παλαίσματα, ἐπιδεικνυμένη,
καὶ πέρσσα τὸν Κύριον.

Τ Ὰ ἴνσσα τὰ δάκρυα, ὥσπερ ἀρώματα,
ἰὠδιάθης, ἐμεγαλωύθης, ὡς μῦρον
πολύτιμον, Θεῷ προσωύχθης Παρθένος
ἀδιάφθορος.

Ὅ Λως σε τὴν ἔφεσιν, Θεῷ προσένεγκας,
αὐτὸν ποθῦσα, αὐτὸν ζητῦσα, αὐτᾷ
ὠιχνεύσσα, τὴν νομοθεσίαν, Παρθένε τὴν
σωτήριον. Θεοτοκίον.

Ν Έον ἀπεκύησας, ὡς βρέφος Ἄχραντε,
τὸν προαιώνιον, Πατρὸς ἀνάρχως, ἀ-
λαβόνως ἐκλάμψαντα. ὃν ὑπὲρ τὸ Κόσμε,
δυσώπα Θεονύμφευτε.

Ὠδὴ ς'. Γλάθητί μοι Σωτήρ.

Ω Τνέσασας μοὶ τὴν γῆν, καὶ βλέμματι
σωσεπέραξας. καρδίας δὲ τῇ βροπῶν,
κλονήσας ἐσάλευσας, δεινῶς βλασφημέν-
των σε· ἀλλʼ ἀνεκαλέσω, συμπαθῶς αὖθις
τὸ σωτήριόν.

Ὡ Ραία Νύμφη Χριςὲ, ἐθέχθης καὶ πε-
ριδέξιος, τῷ κάλλει τῇ ἀρετῶν, σεαυ-
τὴν κοσμήσασα, Εὐφροσώη παύσεμνε.
διὸ καὶ παραδόξως, Οὐρανίε κατηξίωσαι.

Μ Αρώσατα τῆς σαρκὸς, τὰ θνητώδη ἐρ-
μήματα, τὸν ἔρωτα τῆς Χριςῦ, ἀγά-
πης λαμπρότερον, ἔχες διαπύπτοντα, καὶ
φωτίζοντά σε, τῆς ψυχῆς τὰ αἰθητήρια.
Θεοτοκίον.

Ν Ευρέμενοι τῶν ἐκ σῦ, ἐκπεμπομένων
δωρέμεσιν, οἱ Ἀθλοφόροι Χριςὲ,
νομίμως ἐνήθλησαν, τῷ ἀγωνὶ Μητέρα
σε, ἀνυμνολογῦντες, ἀπορρήτως σὲ κυή-
σασαν.

Εἱρμὸς, ἄλλος. Μακρομερῶς κλύδωνι.

Ὡ Σ λύχνε, καὶ ἄμωμος, ὡς ὡραία ὡς περι-
καλλὴς, τῷ Νυμφίῳ λέγῳ σὺ μεμνῆ-
σέ-

ςεῦσαι, εἰς αἰῶνας διατηρῶντί σε ἄφθορον.

Ἐ Τεναγμοῖς καὶ δάκρυσιν, ἐκζητοῦσα τὸν Δημιουργὸν, τῆς ἐκείνου θείας κατηξίωσαι, ὡς ἐκλεκτὴ, σὺν ἐκλεκτοῖς Ἀξιάγαςε.

Ἐ Γκρατείας ἄγαλμα, σωφροσύνης ἔμψυχος εἰκὼν, τοῖς Πιςοῖς ὡράθης εὐφημοῦσί σου, τὸ ἱερὸν, ὦ Εὐφροσύνη μνημόσυνον.

Θεοτοκίον.

Ὑ Πὲρ νοῦν τὸν ἄχρονον, ὑπὲρ λόγον τὸν Δημιουργὸν, Παναγία τέτοκας λυτρούμενον, πάσης φθορᾶς, τοὺς Θεοτόκον ὑμνοῦντάς σε.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Μ Ἧς ἄνω ζωῆς, ποθοῦσα ἐπιτεύξασθαι, τὴν κάτω τρυφὴν, σπουδαίως καταλέλοιπας, καὶ σαυτὴν ἀνέμιξας, ἀναμέσον ἀνδρῶν ὡραιοτάτη. διὰ Χριςὸν γὰρ τὸν Νυμφίον σου, μνηςῆρος προσκαίρου κατεφρόνησας.

Ὁ Οἶκος.

Ἐ Ν εὐφροσύνῃ καὶ θυμηδίᾳ, τὰς ψυχὰς εὐφρανθέντες, ἀναςῶμεν σπουδῇ ἀκοῦσαι λόγον παράδοξον. ὑπερβαίνει γὰρ ἔννοιαν πᾶσαν τὸ διήγημα τοῦτο καὶ καταπλήττει. ὅτι γυνὴ ἐν μέσῳ ἀνδρῶν καταμένουσα, ἐνίκησε τὸν βελίαρ, καὶ τὸ πῦρ κατεπάτησε τῶν ἡδονῶν, καὶ οὐκ ἐφλέχθη τὸ σύνολον. τὸν Χριςὸν γὰρ ποθοῦσα ἡ ἄσπιλος, μνηςῆρος προσκαίρου κατεφρόνησεν.

Τῷ αὐτῷ Μηνὶ κε'. Τῆς Ὁσίας Μητρὸς ἡμῶν Εὐφροσύνης Θυγατρὸς Παφνουτίου τοῦ Αἰγυπτίου.

ξι. Τὸ θῆλυ κρύπτεις ἀνδρικῶς εὐφροσύνη,
Καὶ κρυπτὰ τὸν βλέποντα, Δεσπότην βλέπεις.
Εἰκάδα Εὐφροσύνη κτ πέμπτην πότμον ὑπέςη.
Ἡ τὴν φύσιν λαθοῦσα καὶ τερπνὰ βίου,
Κλῆσιν Σμάραγδος, τὸν δὲ νοῦν Εὐφροσύνη.
Λιποῦσα πᾶσαν τοῦ βίου φαντασίαν,
Ἀνδρῶν Μοναςῶν ἀγαπήσασα βίον.
Εὐνοῦχος ὥσπερ βασιλικῶν δογμάτων,
Ἐν ἀνδρικῷ χήματι γνωςὸς οὐδ' ὅλως.
Μονῇ προσῆλθε καὶ θέλημα καὶ τρίχας,
Ἐκδοῦσα, καὶ σπεύδουσα λαθεῖν Πατέρα.
Καὶ εὖ τυχοῦσα τοῦ ποθουμένου πόσοις,
Κόποις πόνοις τε καὶ προσευχαῖς συντόνοις.
Τὸ μαλακὸν τέτηκε δεινῶς σαρκίον,
Ἅπαντας ἐκπλήττουσα τῇ κακουχίᾳ,
Οὐκ ἔςιν εἰπεῖν ἀδυνατεῖ καὶ λόγος.
Ὦ πῶς λαθοῦσα Πατέρα, πρᾶγμα ξένον,
Καλὴ Θυγάτηρ, τῶν Μοναςῶν ἐν μέσῳ,
Τρέχουσα λίθος ὡς Σμάραγδος εὑρέθη.
Πολλὴ γὰρ ἡ ζήτησις ἐκ τῶν ἰδίων,
Πατρὸς βρύχοντος ἐκ πόνου καὶ καρδίας,
Τῆς Εὐφροσύνης τὴν μακραὶ ἐκδημίαν,
Τριπλῇ δεκάδι καὶ πρὸς ὀκτὼ φεῦ χρόνοις.
Ὄρη βάραθρα καὶ τόπους ἐρημίας.
Περιπολοῦντος, καὶ ςένοντος ἐκ βάθους.
Ἀλλ' ὁ Σμάραγδος αὐτὸς ἡ Εὐφροσύνη,
Ὦ Πάτερ εἰπὼν τὸν τελευταῖον λόγον.
Ὡς ἐμπόρευμα τῶν μακρῶν λαβὼν κόπων,
Τῶν Οὐρανῶν γέγηθε τῇ μεταςάσει.
Κἀκεῖνος ὥσπερ ἐκπλαγεὶς φεῦ τοῦ πάθους,
Πέπτωκεν εἰς γῆν ὥσπερ ἄψυχος νέκυς.
Ἄκουσμα καὶ γὰρ παράδοξον καὶ ξένον,
Ἤκουσεν ὄντως. τί γὰρ ἄλλο καὶ πάθῃ;
Καὶ λοιπὸν ἀφεὶς καὶ βίον καὶ Πατρίδα,
Καὶ ζῆλον ὥσπερ αἰνετῶν παιδὸς πόνων.
Ἐνθεὶς ἑαυτῷ, καὶ πόθου δείξας φλόγα,
Διάδοχος βίου γὰρ ὡς Πατὴρ τέκνου.
Γεγὼς μετέςη πρὸς μονὰς οὐρανίους.
Εἰς τὸν Ὅσιον Παφνούτιον, τὸν Πατέρα αὐτῆς.

ξι. Μύσας ὁ Παφνούτιος ἐν τῷ σαρκίῳ,
Τῷ πνεύματι ζῇ, καὶ θεωρεῖ φῶς μέγα.
Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Παφνουτίου.

ξι. Σταυροῦσι Παφνούτιον οἱ Κόσμου φίλοι,
Τὸν παντὶ Κόσμῳ καὶ πρὶν ἐςαυρωμένον.
Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἀνάμνησις τοῦ μεγάλου Σεισμοῦ, ἐν ᾗ τελεῖται ἡ ἐν τῷ ἀέρι ἁρπαγὴ τοῦ Παιδὸς.

ξι. Ἀρθεὶς ἄνω Παῖς τὸ τρισύμνητον μέλος,
Καθὼς νόες ψάλλουσιν, Ἄγγελοι κάτω.

Ἐ Πὶ τῆς Βασιλείας Θεοδοσίου τοῦ Νέου, τοῦ Θεοῦ οἷς τρόποις οἵδε θελήσαντος δεῖξαι τοῖς ἀνθρώποις, καὶ πρὸ τῆς Ἀναςάσεως τὴν ἡμέραν τῆς Ἀναςάσεως, γέγονε Σεισμὸς φοβερὸς, καὶ διὰ τοῦτο τοῦ λαοῦ παντὸς σὺν τῷ Βασιλεῖ Θεοδοσίῳ καὶ Πρόκλῳ τῷ Πατριάρχῃ, μετὰ παντὸς τοῦ τῆς Ἐκκλησίας πληρώματος, καὶ πάσης τῆς Πόλεως ἔξω λιτανευόντων διὰ τὸν φόβον ἐν τῷ κάμπῳ, ἤδη τῆς τῶν Θεοπαχητῶν αἱρέσεως ἐξ ἐπηρείας τοῦ διαβόλου ἀρχὴν λαμβανούσης, καὶ τῷ Τρισαγίῳ τὸ, ὁ Σταυρωθεὶς δι' ἡμᾶς βλασφημουν-

μούντων, ὀξαίφνης Παιδίον ἁρπαγὲν εἰς τὸν ἀέρα ἀνεφέρετο, πάντων ἐν ἐκπλήξει καὶ φόβῳ κραζόντων ἐπὶ πολλὰς ὥρας τὸ, Κύριε ἐλέησον. αὖθις κατηνέχθη τὸ παιδίον, ὡς ἐπὶ νεφέλης καθήμενον, καὶ φωνῇ μεγάλῃ παρεκελεύσατο, ὅτι οἱ τῶν Ἀρχαγγέλων χοροὶ, ἀνὲν τῆς προσθήκης τοῦ, ὁ Σταυρωθεὶς, τὸν Τρισάγιον ὕμνον ἀναπέμπουσι τῷ Θεῷ, Ἅγιος ὁ Θεὸς, Ἅγιος Ἰσχυρὸς, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. καὶ εὐθέως ταῖς τοιαύταις φωναῖς, ἀπέδωκε τὴν ψυχὴν τῷ Θεῷ, καὶ ὁ τοῦ Σεισμοῦ κλόνος ἐπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Παύλου, καὶ Τάττης, καὶ τῶν Τέκνων αὐτῶν.

ξι. Σαβηνιανὸς τέμνεται σὺν τῷ Παύλῳ, Μεθ' ὧν σεαυτὸν Τάττα τάττεις ἐμφρόνως.

Οὗτοι οἱ Ἅγιοι Παῦλος καὶ Τάττα, καὶ οἱ τούτων Παῖδες, Σαβηνιανὸς, Μάξιμος, Ῥοῦφος, καὶ Εὐγένιος, ὥρμηντο ἐκ Πόλεως Δαμασκοῦ, καὶ διαβληθέντες ὡς Χριστιανοὶ, ξύλῳ ἠσφαλίσθησαν, καὶ ἁλύσεσιν ἐδέθησαν, καὶ πάλιν ἀνακριθέντες, σφοδρῶς ἐτύφθησαν, καὶ ταῖς τῶν ἀνόμων χερσὶ στρεβλούμενοι, τὰς ψυχὰς τῷ Θεῷ παρέθεντο.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Ἐχθροὺς ματαιόφρονας, νηπιοφρόνως σὲ παροργίζοντας, καὶ δεινῶς βλασφημοῦντας, προσθήκῃ νόθῳ τῆς Τρισαγίας φωνῆς, διὰ Νηπίου φωνῆς, νῦν διήλεγξας, ἐπιστηρίξας, πιστοὺς ἐν ξένοις τέρασι.

Θεῷ προσανέθηκας, τὴν τῆς καρδίας σου πᾶσαν ἔφεσιν, αὐτὸν στέργουσα πίστει, αὐτὸν ζητοῦσα καὶ ἀνιχνεύουσα, τῶν προσταγμάτων αὐτοῦ τὴν σωτήριον, νομοθεσίαν Σεμνὴ, δι' ἧς ἐφεῦρες ζωήν.

Νηστείαις δεήσεσι, σκληραγωγίαις καὶ χαμευνίαις Σεμνὴ, ἐκλεπτύνασα σάρκα, τὸν νοῦν ἀνύψωσας πρὸς τὸν Κτίστην σου, ᾧ ἐνυμφεύθης, ὃν καὶ ἐπόθησας, οὗ καὶ ἐτρύφησας νῦν τῆς ὡραιότητος.

Θεοτοκίον.

Ὑπάρχουσα Δέσποινα, καθαρωτέρα πάσης τῆς Κτίσεως, ὑπεδέξω τὸν Λόγον ἐκ σοῦ ἀῤῥήτως ἀποτικτόμενον· ὃν οἱ γενναῖοι ποθήσαντες Μάρτυρες, τὰς τῶν βασανῶν πυρὰς ἐνεκαρτέρησαν.

Εἱρμὸς ἄλλος. Ὁ ὑπερυψούμενος.

Φῶς σοι ἀνατέταλκε, καὶ ἡ τούτου σύζυγος, Εὐφροσύνη ἔνδοξε. εὐθεῖαν γὰρ ἔσχηκας, τὴν γνώμην μελῳδοῦσα· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἁβδὸν δυναμοῦσάν σε, τὸν Σταυρὸν κατέχουσα, δαιμόνων τὰ χάσματα, διέβης ἀπήμαντος, Ὁσία μελῳδοῦσα· ὁ Θεὸς εὐλογητὸς εἶ.

Οἶκον τὴν καρδίαν σου, τοῦ Ἁγίου Πνεύματος, Ὁσία ἐτέλεσας, τοῦ σὲ ἐνιχύσαντος, καὶ δείξαντος πνευμάτων, πονηρῶν δυνατωτέραν.

Θεοτοκίον.

Σῶμα περικείμενον, Θεὸν τὸν ἀσώματον, Πανάμωμε τέτοκας, ἡμᾶς ἐκλυτρούμενον, τοὺς φόβῳ μελῳδοῦντας· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ἐπὶ τῷ πύργῳ πάλαι μὲν, τῆς Χαλάνης συνέχεας, γλώσσας τῶν κακῶς ὁμονοούντων Κύριε· νῦν ἐστηλίτευσας, τὰς γλωσσαλγίας τῶν δυσσεβῶν, ἐπὶ βλασφημίᾳ συμφωνούντων ἀθέσμῳ ἐν γλώσσῃ ψελλιζούσῃ, αἰθερίου ἀρθέντος, Νηπίου παραδόξως, εἰς θάμβος τῶν ὁρώντων.

Ἀσκητικοῖς παλαίσμασι, τὸν ἐχθρὸν κατεπάτησας, καὶ ἠγαλλιάσθης, ἀληθῶς τῷ πνεύματι. ἐντεῦθεν ἀΐδιος, σὲ Εὐφροσύνη πάνσεμνε, Κόρη ὑπεδέχθη, τὰ βραβεῖα τῆς νίκης, κατέχουσαν καὶ πίστει, τῷ Σωτῆρι βοῶσαν· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μέσον ἀνδρῶν κατῴκησας, τὴν ἁγνείαν φυλάττουσα, καὶ συντηρουμένη, μηχαναῖς τοῦ ὄφεως, ἀπήμων ἀκράδαντος, τοῦ Θεοῦ σε σκεπάζοντος, καὶ διατηροῦντος, τῇ οἰκείᾳ δυνάμει, καὶ πᾶσι προδεικνύντος, τῆς ψυχῆς σου τὴν αἴγλην, καὶ γνώμην καὶ ἀνδρείαν, θεόφρον Εὐφροσύνη.

Θεοτοκίον.

Νέον ὡς βρέφος τέτοκας, τὸν Πατρὶ καὶ τῷ Πνεύματι, ἄχραντε Παρθένε, συμφυῶς νοούμενον, Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν οἱ γενναῖοι Μάρτυρες καθομολογοῦντες ἱερῶς ἐναθλοῦσι. μεθ' ὧν σε Παναγία, μακαρίζουσι πίστει, λαοὶ φυλαὶ καὶ γλῶσσαι, εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος. Σοὶ τῷ Παντουργῷ.

Ὕλην τῶν παθῶν, ἀπετινάξω Κόρη, Ἀγγέλων τὸν ἄϋλον, βίον ζηλώσασα.

οἷς

οἷς περ συμμέλπεις· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νέμει σοι ζωὴν, ὁ τῆς ζωῆς ταμίας. αὐτοῦ γὰρ τοῖς ἴχνεσιν, ἐξηκολούθησας, τούτου τὸ κάλλος, ἐπόθησας τὸ θεῖον· ᾧ καὶ συνευφραίνῃ, εἰς πάντας τοὺς αἰῶνας.

Ἤρθης πρὸς μονὰς, τὰς ἀειζώους ὄντως. ἀφέσεως ἔτυχες, ἧς ἐπεπόθησας. ξύλου Παρθένε, ζωῆς κατατρυφῶσα, καὶ ὑπερυψοῦσα, Χριστὸν εἰς τοὺς αἰῶνας. θτ.

Ὅλη ἐκλεκτὴ, ὡραϊσμένη ὅλη, Θεὸς ἣν ἡγίασεν, ἣν ἐξελέξατο, ὤφθης Παρθένε, ἀεὶ δεδοξασμένη, ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τοῦτο.

Ἐξέστη ἐπὶ ξένῳ καὶ φοβερῷ, τεραστίῳ τῷ νῦν τελεσθέντι ἡ Γῆ, καὶ Οὐρανὸς, ὅτε πρὸς αἰθέριον ἁρπαγὴν, ἀπὸ λαοῦ Θεόφρονος, τὸ Νήπιον ἤρθη τὸ τὴν ᾠδὴν, μεμυσταγωγημένον, τοῦ Τρισαγίου μέλους, δι' οὗ ἀθάνατος ὑμνεῖται Θεός.

Ἐκσπάσας σε ἰλύος βιωτικῆς, ὁ Νυμφίος ὁ σὸς Εὐφροσύνη σεμνὴ, εἰς τὴν στερρὰν, πέτραν προσταγμάτων τῶν ἑαυτοῦ, ἔστησε καὶ κατεύθυνε, σοῦ τὰ διαβήματα προφανῶς, εἰς πρᾶξιν ἐναρέτου, καὶ σεμνῆς πολιτείας, καὶ κατεσκηνώσεν εἰς θείας αὐλάς.

Ἀσκήσεως τὸν δρόμον τὸν εὐκλεῆ, διανύσασα σθένει τοῦ Πνεύματος, καὶ σεαυτὴν τέμενος τελέσασα Θεϊκὸν, τὴν εὐφροσύνην εἴληφας, τὴν διηνεκῆ τε καὶ καθαρὰν, τοῦ κάλλους τοῦ Νυμφίου, ἀεὶ κατατρυφῶσα, ὦ Εὐφροσύνη παμμακάριστε. θτ.

Ὡς Ἥλιος ἡ μνήμη τῶν Ἀθλητῶν, τοὺς πιστοὺς περιλάμπει τοῖς θαύμασιν. ὁ γὰρ ἐκ σοῦ, ἄχραντε Παρθένε τεχθεὶς Θεὸς, ὃν εὐσεβῶς ἐκήρυξαν, τούτους κατελάμπρυνεν ἐμφανῶς, δοξάζων τοὺς ἐν πίστει, αὐτοῦ τὴν παρουσίαν, τετιμηκότας, ὡς ὑπέσχετο.

Εἱρμὸς ἄλλος. Ἡσαΐα χόρευε.

Ἱεραὶ πανήγυριν, Μοναζόντων δῆμος συγκροτεῖ, τὴν μνήμην σου ἐκτελῶν, τὴν θεολαμπῆ· χορὸς ἐπαγάλλεται, Μοναζουσῶν. ὤφθης γὰρ σεμνὴ, πάντων ἀγλαΐσμα, Εὐφροσύνη ἀξιάγαστε,

Ὡς σεπτὸν ἀνάθημα, Οὐρανίου γέγονας ναοῦ, ὡς κρῖνον ἐν ταῖς αὐλαῖς, ἤνθησας Θεοῦ, ὡς ῥόδον ἡδύπνοον, προσηνέχθης τῷ Παμβασιλεῖ, μύρον ὡς τίμιον, Εὐφροσύνη παμμακάριστε.

Σεαυτὴν ἐφαίδρυνας, ἀρετῶν σου κόσμῳ φωτεινῷ, καὶ ἤχθης πρὸς νοητὸν, θάλαμον Ἁγνή. καὶ νῦν τὸ ἀμήχανον, κατανοεῖς, κάλλος τοῦ Χριστοῦ, καὶ τῆς Θεώσεως, ἀπολαύεις τελεώτερον.

Ἡ Ἁγία μνήμη σου, ἁγιάζει σήμερον Πιστοὺς, πηγάζουσα φωτισμὸν, ἁγιαστικόν. ἐν ᾗ δυσωποῦμέν σε, ὡς ἐκλεκτὴν, Νύμφην τοῦ Χριστοῦ, σῶζε πρεσβείαις σου, Εὐφροσύνη τοὺς τιμῶντάς σε. Θεοτοκίον.

Φωτὶ τοῦ προσώπου σου, τὸν ἐν ἀσκότει κείμενον παθῶν, καταύγασον τοῦ φωτὸς, Πύλη νοητὴ, μὴ νὺξ καταλάβῃ με, τοῦ θανάτου, ἄχραντε Ἁγνὴ, τῆς σωτηρίας μου, τὰς ἐλπίδας ἀνακόπτουσα.

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Τὸν ἄρχοντα διέλαθες, τῆς αἰσχύνης καὶ τοῦτον, ἐν φιλοσόφῳ σχήματι, ἐναπέδειξας ἄρσεν, Παρθένος οὖσα τὴν ψυχὴν, καὶ τὸ σῶμα γέγονας, ἀνὴρ φρονήσει καὶ πίστει, Εὐφροσύνη Ὁσία, τῶν Παρθένων καλλονὴ, Μοναζουσῶν ὡραιότης.

Θεοτοκίον. Ὅμοιον.

Ὁρόνοι καὶ Κυριότητες, Ἐξουσίαι Δυνάμεις, Ἀρχάγγελοι καὶ Ἄγγελοι, Μητροπάρθενε Κόρη, τῷ σῷ Υἱῷ λατρεύουσιν, ὡς Θεῷ καὶ Δεσπότῃ, καὶ σὲ ἀπαύστως ὑμνοῦσι. τοῦτον ἱκέτευε Κόρη, λυτρωθῆναί με Ἁγνὴ, τῆς φοβερᾶς καταδίκης.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς συνήθες, καὶ Ἀπόλυσις.

Μηνὶ τῷ αὐτῷ Κϛ'.

Ἡ Μετάστασις τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ, Ἰωάννου τοῦ Θεολόγου.

Εἰ βούλει, ποίησον Ἀγρυπνίαν. ἐν ᾗ ἐν τῷ μικρῷ Ἑσπερινῷ, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ξι. δ'. καὶ ψάλλομεν προσόμ. ἦχος β'.

Ὅτε, ἐκ τοῦ ξύλου σε νεκρόν.

Λεῦτε, τῆς σοφίας τὸν βυθὸν, καὶ τῶν ὀρθοδόξων δογμάτων, τὸν Συγγραφέα πιστοὶ, ὕμνοις στεφανώσωμεν, ἐνθέοις σήμερον, Ἰωάννην τὸν ἔνδοξον, καὶ ἠγαπημένον. οὗτος γὰρ ἐβρόντησεν, ὁ Λόγος ἦν ἐν ἀρ-

ἀρχῇ. ὅθεν βροντοφῶνος ἐδείχθη, ὡς τὸ Εὐαγγέλιον Κόσμῳ, λάμψας πολυσόφως ὁ ἀοίδιμος.

Ὄντως, σὺ ἐφανὴς ἀληθῶς, φίλος ἐπιστήθιος μέγας, τῷ Διδασκάλῳ Χριστῷ. στήθει γὰρ ἀνέπεσας. ὅθεν ἐξηύτλησας, τῆς σοφίας τὰ δόγματα. ἐν οἷς καὶ πλουτίζεις, πᾶσαν τὴν περίγειον, ὡς θεηγόρος Θεοῦ. ὅθεν καὶ κατέχουσα ταύτην, ἡ τερπνὴ Χριστοῦ Ἐκκλησία, νῦν εὐφραινομένη ἐπαγάλλεται.

Χαίροις, Θεολόγε ἀληθῶς. χαίροις τῆς Μητρὸς τοῦ Κυρίου, Υἱὲ παμπόθητε. σὺ γὰρ παρισάμενος, ἐν τῷ Σταυρῷ τοῦ Χριστοῦ, τῆς ἐνθέου ἀκήκοας, φωνῆς τοῦ Δεσπότου. Ἴδε νῦν ἡ μήτηρ σου, πρὸς σὲ βοήσαντος. ὅθεν, ἐπαξίως σε πάντες, ὡς Χριστοῦ Ἀπόστολον μέγαν, καὶ ἠγαπημένον μακαρίζομεν. Δόξα, ἦχος β'.

Θεολόγε Παρθένε, Μαθητὰ ἠγαπημένε τοῦ Σωτῆρος, ταῖς ἱκεσίαις σου ἡμᾶς περίσωζε δεόμεθα, ἀπὸ βλάβης παντοίας, ὅτι σοῦ ἐσμὲν Ποίμνιον.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὡσεὶ ἐλαία κατάκαρπος, ἡ Παρθένος ἐβλάστησε, σὲ τὸν καρπὸν τῆς ζωῆς, καρποφορεῖν τῷ Κόσμῳ, τὸ μέγα καὶ πλούσιον ἔλεος. Εἰς τὸν ξι. ξι. ἦχος π. β'.

Τριήμερος ἀνέστης Χριστέ.

Ἣν μνήμην τοῦ σεπτοῦ Μαθητοῦ, Χριστοῦ τοῦ Βασιλέως ἡμῶν, ἐπαξίως, ἀνυμνήσωμεν Πιστοί. αὐτὸς γὰρ τῆς Τριάδος, τὴν γνῶσιν ἀριδήλως, πᾶσι τοῖς Ἔθνεσιν ἐκήρυξεν.

ξι. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ἣν ζάλην μετεποίησε τῆς πλάνης τῶν εἰδώλων νῦν, εἰς γαλήνην, ὁ Ἀπόστολος Χριστοῦ, τὸν Κόσμον ὁδηγήσας, ἐν Πίστει ὀρθοδόξῳ. ὅθεν πρεσβεύει ὑπὲρ πάντων ἡμῶν.

ξι. Οἱ Οὐρανοὶ διηγοῦνται.

Μέγιστον ἀντιλήπτορα, Χριστὲ τὸν σὸν Ἀπόστολον, ἐδωρήσω, Ἐφεσίοις τὸν σοφὸν, καὶ Θεῖον Θεολόγον, ὃν καὶ νῦν εὐφημοῦμεν, ὡς οἰκιστὴν καὶ πολιοῦχον αὐτῆς.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ῥιὰς ἀπειροδύναμε, μονὰς ἡ Τρισυπόστατος, ταῖς πρεσβείαις, Θεολόγου τοῦ σεπτοῦ, καὶ τῆς Ἀειπαρθένου, καὶ μόνης Θεοτόκου, σῷσον ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε.

Ἀπολυτίκιον, ἦχος β'.

Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον, ῥῦσαι λαὸν ἀναπολόγητον. δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος· ὃν ἱκέτευε Θεολόγε, καὶ ἐπίμονον νέφος Ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ.

Μετὰ τὸν Προοιμιακὸν, τὸ πρῶτον Ἀντίφωνον, τὸ, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ξι. ἡ. καὶ ψάλλομεν τὰ παρόντα ξι. προσόμοια γ'. καὶ ποιοῦμεν ὀκτώ. ἦχος α'.

Τῶν Οὐρανίων Ταγμάτων.

Ὁ Θεατὴς τῶν ἀῤῥήτων ἀποκαλύψεων, καὶ Ἑρμηνεὺς τῶν ἄνω, τοῦ Θεοῦ Μυστηρίων, ὁ Παῖς τοῦ Ζεβεδαίου, γράψας ἡμῖν, τὸ Χριστοῦ Εὐαγγέλιον, θεολογεῖν τὸν Πατέρα καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα ἐξεπαίδευσεν. Ὅμοιον.

Ἡ Θεοκίνητος λύρα, τῶν Οὐρανίων ᾠδῶν, ὁ Μυστογράφος οὗτος, τὸ Θεόγραφον στόμα, τὸ ᾆσμα τῶν ᾀσμάτων, ᾄδει τερπνῶς, τὰ μὲν χείλη κινῶν ὡς νευρὰς, ὥς περ δὲ πλῆκτρον τὴν γλῶτταν ἀνακινῶν, καὶ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς. Ὅμοιον.

Ἣν βροντοφώνῳ σου γλώττῃ ἀναφθεγγόμενος, τῆς τοῦ Θεοῦ σοφίας, τὸν ἀπόκρυφον Λόγον, Θεοῦ ἠγαπημένε, κράζεις ἀεὶ, ἀναπτύσσων τὰ χείλη πυκνῶς, τὸ ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ δαδουχεῖς, πάντα ἄνθρωπον πρὸς γνῶσιν Θεοῦ.

Δόξα, ἦχος β'. Γερμανοῦ. Οἱ δὲ, Βυζαντίου.

Ὃν Υἱὸν τῆς Βροντῆς, τὸν θεμέλιον τῶν Θείων λόγων, τὸν ἀρχηγὸν τῆς Θεολογίας, καὶ Κήρυκα πρώτιστον, τῆς ἀληθοῦς δογμάτων Θεοῦ σοφίας, τὸν ἠγαπημένον Ἰωάννην καὶ Παρθένον, μερόπων γένος καταχρέως εὐφημήσωμεν. οὗτος γὰρ ἄληκτον ἔχων τὸ Θεῖον ἐν ἑαυτῷ, τὸ ἐν Ἀρχῇ μὲν ἔφησε τοῦ Λόγου, αὖθίς τε τὸ πρὸς τὸν Πατέρα ἀχώριστον, καὶ τὸ ἴσον μετὰ ταῦτα τῆς τοῦ Πατρὸς Οὐσίας. δεικνύων ἡμῖν δι' αὐτοῦ, τὴν ὀρθοδοξίαν τῆς Ἁγίας Τριάδος. δημιουργόν τε ὄντα σὺν τῷ Πατρὶ, καὶ ζωὴν φέροντα, καὶ φῶς ἀλή-

ἀληθινὸν, τὸν αὐτὸν ἔδειξεν ἡμῖν, ὦ θαύματος ἐκϛατικοῦ, καὶ πράγματος σοφιϛικοῦ. ὅτι πλήρης ὢν τῆς ἀγάπης, πλήρης γέγονε καὶ τῆς Θεολογίας. δόξῃ καὶ τιμῇ καὶ πίϛει, θέμεθλος ὑπάρχων τῆς ἀκραιφνοῦς ἡμῶν Πίϛεως. δι' ἧς τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης. ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας. αὐτὶ ϛύλου πυρὸς, δικαιοσύνης ἀνέτειλεν Ἥλιος. αὐτὶ Μωϋσέως, Χριϛὸς, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος. τὸ Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα, ἐν οἷς καὶ ἱϛάμεθα.

Καθολικῆς α'. Ἐπιϛολῆς Ἰωάννου.

Κεφ. δ'. 21. Ἀγαπητοὶ, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν. καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεϛὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. Καὶ αὕτη ἐϛὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιϛεύωμεν τῷ ὀνόματι τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριϛοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἡμῖν ἐντολήν. καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἔδωκεν ἡμῖν. Ἀγαπητοὶ, μὴ παντὶ πνεύματι πιϛεύητε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐϛίν· ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν Κόσμον. Ἐν τούτῳ γινώσκετε τὸ Πνεῦμα τοῦ Θεοῦ. πᾶν πνεῦμα, ὃ ὁμολογεῖ Ἰησοῦν Χριϛὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐϛί· Καὶ πᾶν πνεῦμα, ὃ μὴ ὁμολογεῖ Ἰησοῦν Χριϛὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔϛι. Καὶ τοῦτό ἐϛι τὸ τοῦ Ἀντιχρίϛου, ὃ ἀκηκόατε, ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ Κόσμῳ ἐϛὶν ἤδη. Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐϛὲ, τεκνία, καὶ νενικήκατε αὐτούς. ὅτι μείζων ἐϛὶν ὁ ἐν ὑμῖν, ἢ ὁ ἐν τῷ Κόσμῳ. αὐτοὶ ἐκ τοῦ Κόσμου εἰσὶ, διὰ τοῦτο ἐκ τοῦ Κόσμου λαλοῦσι, καὶ ὁ Κόσμος αὐτῶν ἀκούει. ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμέν. ὁ γινώσκων τὸν Θεὸν, ἀκούει ἡμῶν. ὃς οὐκ ἔϛιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν.

Καθολικῆς α'. Ἐπιϛολῆς Ἰωάννου.

Ἀγαπητοὶ, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐϛὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα, καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέϛαλκε τὸν Υἱὸν Σωτῆρα τοῦ Κόσμου. Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐϛὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν, καὶ πεπιϛεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐϛὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. Κεφ. δ'. 11.

Καθολικῆς α'. Ἐπιϛολῆς Ἰωάννου.

Ἀγαπητοὶ, ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισεῖ, ψεύϛης ἐϛίν. Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾶν; καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. Πᾶς ὁ πιϛεύων, ὅτι Ἰησοῦς ἐϛὶν ὁ Χριϛὸς, ἐκ τοῦ Θεοῦ γεγέννηται. Καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐϛιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· Καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν. ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ, νικᾷ τὸν Κόσμον. Καὶ αὕτη ἐϛὶν ἡ νίκη, ἡ νικήσασα τὸν Κόσμον, ἡ Πίϛις ἡμῶν. Τίς ἐϛιν ὁ νικῶν τὸν Κόσμον, εἰ μὴ ὁ πιϛεύων, ὅτι Ἰησοῦς ἐϛὶν ὁ Υἱὸς τοῦ Θεοῦ; Κεφ. δ'. 20.

Εἰς τὴν Λιτὴν ψάλλομεν ϛι. Ἰδιόμελα, ἦχος α'. Γερμανοῦ.

Ποταμοὶ Θεολογίας, ἐκ τοῦ τιμίου σου ϛόματος ἀνέβλυσαν Ἀπόϛολε. οὗ ὧν ἡ Ἐκκλησία τοῦ Θεοῦ ἀρδευομένη, προσκυνεῖ ὀρθοδόξως Τριάδα ὁμοούσιον. ἣν καὶ νῦν αἴτησαι, Ἰωάννη Θεολόγε, ϛηριχθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Ἀνδρέου Πυρῦ.

Τὸ φυτὸν τῆς ἁγνείας, τὸ μῦρον τῆς εὐωδίας πάλιν ἀνέτειλεν ἡμῖν, εἰς τὴν παροῦσαν Ἑορτὴν, βοῆσαι πρὸς αὐτόν· ὁ ἀναπεσὼν ἐπὶ τὸ ϛῆθος τὸ Δεσποτικὸν, καὶ ἐπομβρήσας τῷ Κόσμῳ τὸν λόγον, Ἰωάννη Ἀπόϛολε, ὁ τὴν Παρθένον φυλάξας ὡς κόρην ὀφθαλμοῦ, αἴτησαι ἡμῖν παρὰ Χριϛοῦ τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Μαθητὰ τοῦ Σωτῆρος, Παρθένε καὶ Θεολόγε, σοὶ ὡς Παρθένῳ, τὴν Παρθένον καὶ Θεοτόκον παρέθετο, Χριϛὸς ὁ Θεὸς ϛαυρούμενος. καὶ ταύτην ἐφύλαξας ὡς κόρην ὀφθαλμοῦ. διὸ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Ὡς τῶν ἀπορρήτων μυϛηρίων αὐτόπτης, ἐκέκραγες βοῶν, τὸν προαιώνιον Λόγον, ἐν ἀρχῇ ὑπάρχειν πρὸς Θεὸν, Ἰωάννη Ἀπόϛολε, ἐπιϛήθιε Χριϛοῦ, καὶ φίλε γνήσιε, καὶ τῆς Τριάδος τὸ ἥδυσμα. Ἐφέσου καὶ τῆς Πάτμου, τὸ ϛήριγμα τὸ ἄσειϛον, ἡμῶν δὲ βοήθεια. πρέσβευε Θεολόγε παμμακάριϛε, ἐκ δυοσεβῶν ἐχθρῶν, αἰσθητῶν καὶ νοητῶν, λυτρωθῆναι λαὸν, τὸν τὴν μνήμην σου ἀεὶ ἐκτελοῦντα πιϛῶς. Ἦχος β'. Θεοφάνους.

Ἣν τῶν Ἀποϛόλων ἀκρότητα, τῆς Θεολογίας τὴν σάλπιγγα, τὸν πνευματικὸν ϛρατηγὸν, τὸν τὴν Οἰκουμένην Θεῷ καθυποτάξαντα, δεῦτε οἱ πιϛοὶ μακαρίσωμεν, Ἰωάννην τὸν ἀοίδιμον, ἐκ γῆς μεθιϛάμενον, καὶ γῆς οὐκ ἀφιϛάμενον· ἀλλὰ ζῶντα καὶ μένοντα, τὴν φοβεραὶ τοῦ Δεσπότου δευτέραν ἔλευσιν· ἣν ἀκατακρίτως ὑπαντῆσαι ἡμᾶς αἴτησαι, φίλε μυϛικὲ, Χριϛοῦ ἐπιϛήθιε, τοὺς ἐκ πόθου ἐκτελοῦντας τὴν μνήμην σου.

Δόξα, ἦχος δ'. Βυζαντίου.

Ἀναπεσὼν ἐν τῷ ϛήθει τοῦ Διδασκάλου Χριϛοῦ, ἐν τῷ δείπνῳ Κυρίου, ἠγαπημένε Μαθητὰ, ἐκεῖθεν ἔγνως τὰ ἄῤῥητα, καὶ τὴν Οὐρανίον πᾶσιν ἐβρόντησας φωνήν· Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον εἰς τὸν Κόσμον ἐρχόμενον, Χριϛὸς ὁ Θεὸς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὁ Σὺν Πατρὶ, καὶ Πνεύματι δοξολογούμενος Υἱὸς, ἐν ὑψίϛοις ὑπὸ τῶν Χερουβὶμ, τὸν Πρωτόπλαϛον ἀναπλάσαι βουλόμενος, ὅλον ἑαυτὸν ἐκένωσεν ἀφράϛως ἐν μήτρᾳ σου, Θεοτόκε πανύμνητε. καὶ ἐκ σοῦ ἀνατείλας, ἐφώτισε πάντα τὸν Κόσμον Θεότητι, ῥυσάμενος εἰδωλομανίας· καὶ ἐν ἑαυτῷ θεώσας, εἰς Οὐρανοὺς συνανήγαγε τὸ ἀνθρώπινον, Χριϛὸς ὁ Θεὸς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν ϛι. ϛι. Προσόμοια, ἦχος δ'.

Ὁ οὐξ Ὑψίϛου κληθείς.

Τὸν τοῦ Ὑψίϛου Υἱὸν θεολογήσας, Πατρὶ συναΐδιον καὶ ὁμοούσιον, φῶς ἐκ φωτὸς ἀπαράλλακτον, καὶ χαρακτῆρα, τῆς ὑποϛάσεως τοῦ Γεννήτορος, ἀχρόνως ἐκλάμψαντα, καὶ ἀπαθῶς οὐξ αὐτοῦ, Δημιουργόν τε καὶ Κύριον, πάντων αἰώνων, ἠγαπημένε σὺ ἀνεκήρυξας, τοῦτον τῷ Κόσμῳ, τὸν ἐξάγοντα, φῶς ἐκ σκότους, Χριϛὸν τὸν Θεὸν ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

ϛι. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Τοῦ Παρακλήτου τὸ φῶς εἰσδεδεγμένος. ᾧ καὶ φωτιζόμενος ἐθεολόγησας, ἐκ τοῦ Πατρὸς προερχόμενον, διὰ Υἱοῦ δὲ, τῇ ἀνθρωπότητι φανερούμενον, ὁμότιμον συνθρόνον καὶ ὁμοούσιον, ὄντα Πατρὶ τῷ ἀνάρχῳ τε, καὶ Θείῳ Λόγῳ, ἠγαπημένε πᾶσιν ἐκήρυξας. ὅθεν ἐν ὕμνοις, σὲ γεραίρομεν, ὡς τῆς Πίϛεως θεῖον θεμέλιον· ἣν ἀσάλευτον τήρει, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

ϛι. Οἱ Οὐρανοὶ διηγοῦνται.

Τῆς ὑψηλῆς ἐπιβὰς Θεολογίας, ἐμυήθης ἄῤῥητα Θεοῦ μυϛήρια. μίαν Οὐσίαν Θεότητος, καὶ μίαν Δόξαν, καὶ Βασιλείαν καὶ Κυριότητα, τρισὶν ὑποϛάσεσι διαιρουμένην ἀεὶ, οὐσιωδῶς ἀδιαίρετον, καὶ ἑνουμένην, ἐν ἀσυγχύτῳ Θείᾳ ἑνότητι. οὕτω δοξάζων ἀνεκήρυξας, Θεολόγε Τριάδα ἀχώριϛον· ἣν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος π. β'. Ἰωάννου Μοναχοῦ.

Ἀπόϛολε Χριϛοῦ, Εὐαγγελιϛὰ Θεολόγε, τῶν ἀπορρήτων Μύϛης γενόμενος, τῆς σοφίας τὰ ἀπόῤῥητα, ἡμῖν ἐβρόντησας δόγματα. τὸ ἐν ἀρχῇ ἦν τρανώσας τοῖς Πιϛοῖς, καὶ τὸ οὐκ ἦν ἀποβαλὼν, τῶν αἱρετιζόντων ἀπεκρούσω τοὺς λόγους, ἐπιϛήθιος φανεὶς, καὶ φίλος ἠγαπημένος, ὡς Ἡσαΐας ὁ μεγαλοφωνότατος, καὶ Μωσῆς ὁ θεόπτης. παῤῥησίαν ἔχων πρὸς Θεὸν, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὁ Ποιητὴς, καὶ Λυτρωτής μου Πάναγνε Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθὼν ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε. διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρίτε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ χαῖρε τοῦ Ἀγγέλου· χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν. Ἀπολυτίκιον, ἦχος β'.

Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον, ῥῦσαι λαὸν ἀναπολόγητον. δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος. ὃν ἱκέτευε Θεολόγε, καὶ ἐπίμονον νέφος Ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, τὸ αὐτό. καὶ νῦν. Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα, τὰ σὰ Θεοτόκε μυστήρια. τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, μήτηρ ἐγνώσθης ἀψευδὴς, Θεὸν τεκοῦσα ἀληθινόν. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. ξιλό. κα. ἦχος πλ.

Τὴν Σοφίαν καὶ Λόγον.

Σὺ Υἱὸς ἐπεκλήθης Θείας βροντῆς, ὡς τὰ ὦτα κωφεύσας τῶν δυσσεβῶν, καὶ σάλπιγγος ἡδύτερον, διηχήσας ὦ πάνσοφε, εἰς εὐθείας καρδίας, τοῦ Λόγου τὴν Σάρκωσιν. καὶ ὡς γνήσιος φίλος, τῷ στήθει ἀνέπεσας· ὅθεν οὐξαντλήσας, τὸ τῆς γνώσεως δῆλον, τοῖς πᾶσιν ἐκήρυξας, τοῦ Πατρὸς τὸν συναναρχον, Ἰωάννη Ἀπόστολε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον κατέχοντα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ πλάστην τῆς φύσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει δοξάζω σε, τοῦ ῥυσθῆναι πταισμάτων μου. ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, Δέσποινα Παρθένε Ἀγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι. καὶ γὰρ δυνάσαι, ὅσα θέλεις Πανύμνητε.

Μετὰ τὴν β'. ξιλό. κα. Ὅμοια.

Τὸν βυθὸν τῆς ἁλείας καταλιπὼν, τοῦ Σταυροῦ τῷ καλάμῳ πάντα σαφῶς, καὶ Ἔθνη ἐζώγρησας, ὡς ἰχθύας Πανεύφημε. καὶ γὰρ καθώς σοι ἔφη, Χριστὸς ἀναδέδειξαι, Ἁλιεὺς ἀνθρώπων, ζωγρῶν πρὸς εὐσέβειαν. ὅθεν κατασπείρας, καὶ τοῦ Λόγου τὴν γνῶσιν, τὴν Πάτμον, καὶ τὴν Ἔφεσον, ἐκαρπώσω τοῖς λόγοις σου, Θεολόγε Ἀπόστολε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ, ἔργα πράξας αἰσχύνης ὁ ταπεινὸς, ἄξια καὶ δέομαι, Θεοτόκε Πανύμνητε. πρὸ τοῦ νύξ με φθάσῃ, θανάτου ἐπίστρεψον, πρὸς τὴν τῆς μετανοίας, ὁδὸν ὁδηγοῦσά με· ἵνα εὐχαρίστως, προσκυνῶν ἀνυμνῶ σου, τὴν ἄμετρον δυνάμιν, καὶ τὴν Θείαν ἀντίληψιν, Παναγία Θεόνυμφε, πρεσβεύουσα Χριστῷ τῷ Θεῷ, ὑπὲρ οὗ αἰτοῦμαί σε δοθῆναί μοι, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλεον, κα. ἦχος πλ.

Τὴν Σοφίαν καὶ Λόγον.

Ἀναπεσὼν ἐν τῷ στήθει τοῦ Ἰησοῦ, παῤῥησίας τυγχάνων ὡς Μαθητὴς, πυθόμενος τίς ἐστιν, ὁ προδότης σου Κύριε, ἠγαπημένος λίαν, ὑπάρχων Πανεύφημε, διὰ τοῦ ἄρτου οὗτος, σαφῶς ὑπεδείχθη σοι. ὅθεν καὶ ὡς Μύστης, γεγονὼς τῶν ἀῤῥήτων, τοῦ Λόγου τὴν Σάρκωσιν, ἐκδιδάσκεις τὰ πέρατα, Θεολόγε Ἀπόστολε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Παναγία Παρθένε Μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπὰ, ἴασαι δέομαι; καὶ συγγνώμην παράχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος. οἴμοι τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; τότε Δέσποινα βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Οἱ Ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

ξι. Οἱ Οὐρανοὶ διηγοῦνται.

Πᾶσα πνοή. Εὐαγγέλιον, Ἑωθινὸν ια'.

Ο' Ν'. Δόξα. Ταῖς τοῦ Ἀποςόλου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, τὸ Ἰδιόμελ. ἦχος π.β'.

Ἐλέησόν με ὁ Θεὸς, κτ. τὸ μέγα.

Θεολόγε Παρθένε, Μαθητὰ ἠγαπημένε τοῦ Σωτῆρος, ταῖς ἱκεσίαις σου ἡμᾶς, περίσωζε δεόμεθα, ἀπὸ βλάβης παντοίας· ὅτι σοῦ ἐσμὲν ποίμνιον.

Οἱ Κανόνες, εἰ ἐςὶ Κυριακὴ, ὁ Ἀναςάσιμος εἰς δ'. τῆς Θεοτόκου, εἰς δύο, καὶ τοῦ Ἀποςόλου, εἰς ή. Οἱ δύο Κανόνες, ἀνὰ τεσσάρων. εἰδ' οὔ, ὁ παρὼν τῆς Θεοτόκου, εἰς ς'. καὶ τοῦ Ἁγίου ἀνὰ τεσσάρων. Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροςῖ.

Ἀλφάβητος αὐτιςρόφως.

Ὠδὴ α'. ἦχος β'. Ὁ Εἱρμός.

„ Ἐν βυθῷ κατέςρωσε ποτὲ, τὴν Φαραωνί-
„ τιδα, πανςρατιὰν ἡ ὑπέροπλος δυνά-
„ μις· σαρκωθεὶς ὁ Λόγος δὲ, τὴν παμμό-
„ χθηρον ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμέ-
„ νος Κύριος. ἐνδόξως γὰρ δεδόξαςαι.

Ὡς ὡραίαν ὡς περικαλλῆ, ὅλην ὡς ἀμώμητον, ἐν γυναιξὶ Θεός σε ἐκλεξάμενος, σοῦ τὴν μήτραν ᾤκησε, τὴν ἀμώμητον. ὃν δυσώπει Πανάμωμε, μώμου ἐγκλημάτων, ἅπαντας ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε.

Ψαλμικῶς Ἁγνὴ ἐκ δεξιῶν, οἷά περ Βασίλισσα, τοῦ ἐκ τῆς σῆς νηδύος ἀναλάμψαντος, Βασιλέως ἕςηκας· ὃν ἱκέτευε δεξιὸν παραςάτην με, δεῖξαι ἐν ἡμέρᾳ, τῆς αὐταποδόσεως Θεόνυμφε.

Χερσωθεῖσαν φύσιν τῶν βροτῶν, πᾶσιν ἀτοπήμασι, τὸν ὑετὸν τεκοῦσα τὸν Οὐρανίον, ὅλην ἀνεκαίνισας. ἀλλὰ δέομαι τῆς ψυχῆς μου τὴν αὔλακα, ἀποχερσωθεῖσαν, δεῖξον καρποφόρον Θεονύμφευτε.

Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροςῖ.

Βροντῆς τὸν Υἱὸν Χριςοτερπῶς αἰνέσω.

Ὠδὴ α'. ἦχος β'. Καὶ Εἱρμὸς ὁ αὐτός.

Βασιλείαν τὴν τῶν Οὐρανῶν, Μάκαρ ἦν ἐκήρυξας, ἀπολαβὼν καὶ τῷ Λόγῳ συνόμιλος, γεγονὼς Οὐρανίος, τοὺς πιςεύοντας τῷ σεπτῷ σου κηρύγματι, καὶ Θεολογίᾳ, ταῖς σαῖς ἱκεσίαις διαφύλαξον.

Ἑωμαλαῖον φρόνημα δεικνὺς, πάντων κατεφρόνησας, τῶν ἐπὶ γῆς καὶ δεσμῶν τῶν τῆς φύσεως, καὶ τῷ Λόγῳ Πάνσοφε, λογικῶς τε καὶ νουνεχῶς συγγινόμενος, ἐκ τῆς ἀλογίας, τοὺς ἀλογωθέντας ἠλευθέρωσας.

Οὐρανίον γνῶσιν εἰληφὼς, θεολογικώτατα, τὸν τοῦ Θεοῦ Θεὸν Λόγον ἐκήρυξας, ἐν ἀρχῇ ὁ Λόγος ἦν, καὶ ὁ Λόγος ἦν πρὸς τὸν αὐτοῦ Γεννήτορα, καὶ Θεὸς ὁ Λόγος, εὐαγγελιζόμενος ἐκήρυξας. Θεοτοκίον.

Νεανίδων θείων ὁ χορὸς, ἐνθεαςικότατα, ἐν γυναιξί σε καλὴν ᾀσματίζουσι, Θεοτόκε Δέσποινα, καλλοναῖς ὡραϊζομένην Θεότητος. τὸν καλλοποιὸν γὰρ, Λόγον ὑπὲρ λόγον ἀπεκύησας.

Ἕτερος Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροςῖ.

Ἕκτην δέησιν τῷ Θεοῦ Μύςῃ φέρω.

Ἰωσήφ. Ὠδὴ α'. ἦχος π.β'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Εἰς τὰ τοῦ Πνεύματος βάθη τὸν λογισμὸν, ἐλλαμφθεὶς ἐνέκυψας, καὶ τὴν Γέννησιν ἡμῖν, τὴν φρικτὴν ἐτράνωσας βοῶν· Θεολόγε ἐν ἀρχῇ, ὁ Λόγος ἦν τοῦ Θεοῦ.

Κατακαμπτόμενοι πλήθει τῶν πειρασμῶν, καὶ παθῶν καὶ θλίψεων, καὶ δεινῶν ἐπαγωγαῖς, πίςει καταφεύγομεν πρὸς σὲ, Θεολόγε βοηθὸς γενοῦ τοῖς δούλοις σου.

Μὰ τῶν ψυχῶν ἡμῶν πάθη τὰ χαλεπὰ, Ἰατρὸς ὡς ἄριςος, ἰασάμενος Σοφὲ, αἰωνίου λύτρωσαι ἡμᾶς, καταδίκης καὶ πυρὸς τῇ μεσιτείᾳ σου. Θεοτοκίον.

Ἡ Τὸν Θεὸν συλλαβοῦσα τὸν δι' ἡμᾶς, γεγονότα Ἄνθρωπον, τοῦτον αἴτησαι Ἁγνὴ, ἐν ἡμέρᾳ κρίσεως ἡμᾶς, οἰκτειρῆσαι τοὺς πολλὰ ἡμαρτηκότας αὐτῷ.

Καταβασία. Ἀνοίξω τὸ ςόμα μου.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ἐξηύθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, „
ἡ τῶν ἐθνῶν ςειρεύουσα, Ἐκκλησία τῇ „
παρουσίᾳ σου· ἐν ᾗ ἐςερεώθη ἡ καρδία μου. „

Φορέσας με τὸν ἄνθρωπον, ἐκ γαςρός σου πρόεισιν, ὁ Ποιητὴς Πανάμωμε, ἀφθαρσίας ςολὴν δωρούμενος, τοῖς πολλοῖς γυμνωθεῖσιν ἀτοπήμασιν.

Ὑπέρτιμον ἐκύησας, Θεὸν Λόγον Δέσποινα· ὃν ἐκτενῶς ἱκέτευε, οἰκτειρῆσαι τὴν ταπεινὴν μου ψυχὴν, ἡδονῶν ἀτιμίαις σκυθρωπάζουσαν.

Μὰ τραύματα θεράπευσον, τῆς ψυχῆς μου Ἄχραντε, τὴν ταπεινὴν καρδίαν μου, φαρμακευθεῖσαν ἰῷ τοῦ ὄφεως, δραςικῷ σου φαρμάκῳ περιποίησαι.

Τοῦ

Τῶ Ἁγίω, ὁ αὐτός.

Ριάδος ἐφανέρωσας, θεολόγῳ γλώττῃ σε, τὸ ὑπὲρ νοῦν μυςήριον, Ἰωάννη Θεομακάριςε, ὧ ἧ ἐςερεώθη ἡ καρδία μου.

Γλῶσά σε γεγράπται, χαμμαπέως κάλαμος, τῶ Παναγίω Πνεύματος, θεηγόρως ὑποσημαίνουσα, τὸ σεπτὸν τε καὶ θεῖον Εὐαγγέλιον.

Σοφίας σὺ τὸν ἄβυσσον, ἀνιμήσω Παῦσοφε, ἀναπεσὼν θεόφρονι, παῤῥησίᾳ τῇ τῆς Σοφίας πηγῇ, καὶ ταύτης Θεοκήρυξ ἐχρημάτισας.

Θεοτοκίον.

Ἣν μόνην παρθενεύσασαν, καὶ Μητέρα σέβομεν, ὡς σωτηρίας πρόξενον, γενομένην ἡμῖν Παναμώμε, καὶ Κόσμον ῥυομένην ταῖς πρεσβείαις σε.

Ἄλλος. Οὐκ ἔςιν Ἅγιος ὡς σύ.

Νοῒ λαμπρῷ καὶ καθαρῷ, ὁμιλήσας τῷ Λόγῳ, Θεολόγε τερσμάκαρ, ἐμυήθης παρ' αὐτοῦ, τὰ ὑπὲρ λόγον σαφῶς, καὶ τὴν Κτίσιν, πᾶσαν καταφώτισας.

Δεσμῶν με ῥῦσαι χαλεπῶν, ἁμαρτίας Τερσμάκαρ, τῇ σοργῇ σωθέσμων με, τοῦ Δεσπότου καὶ Θεοῦ. ὃν ἀγαπήσας θερμῶς, Θεολόγος, τότε ἐχρημάτισας.

Δόθης πρόμαχος ἡμῖν, καὶ μεσίτης, καὶ ῥύσης, καὶ πρὸς Κύριον πρέσβυς, καὶ θαυμάτων αὐτουργὸς, καὶ ἰαμάτων πηγὴ, Θεολόγε. ὅθεν σε γεραίρομεν. Θεοτοκίον.

Νίκα Λόγος ὁ ἐκ σοῦ, σαρκωθεὶς ἀπορῥήτως, Θεοτόκε ἐν ξύλῳ, ἀνυψώθη τοῦ Σταυροῦ, Παρθενίᾳ τῷ Μαθητῇ, ὡς Παρθένον, Κόριον σε παρέθετο.

Καταβασία. Τὰς σὰς ὑμνολόγους Θεοτόκε. Ἦχος πλ. Δ. Τὴν Σοφίαν καὶ Λόγον.

Ἧς Σοφίας πῶς ἐφάθη ἀναπεσὼν, καὶ τὴν γνῶσιν ἧς ὄντως καταμαθὼν, εὐθέως ἐβόησας, ἐν ἀρχῇ ἦν ὁ Λόγος, καλλιγραφήσας πρῶτος, τὴν ἄναρχον Γέννησιν, καὶ προκηρύξας πᾶσι, τὸν Λόγον τὴν Σάρκωσιν. ὅθεν καὶ τῇ γλώττῃ, σαγηνεύσας τὰ ἔθνη, τὴν χάριν τοῦ Πνεύματος, ἐκδιδάσκεις τοῖς πέρασι, Θεολόγε Ἀπόςολε. πρέσβευε Χριςῷ τῷ Θεῷ, ἧς πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Θεοτοκίον. Ὅμοιον.

Λείμονα Λόγον καὶ συμπαθῆ, ὡς κυήσασα Δέσποινα τὸν παντὸς, ἐλέησον ἅπαντας, τοὺς ἐκ σὲ καταφεύγοντας, παρασμῶν καὶ νόσων, καὶ πάσης κακώσεως, καὶ τῆς αἰωνίου κρίσεως, φλογὸς ἐλευθέρωσον· ὅπως δοξάζωσε, τὴν πολλῶν οἰκτιρμόνων σε, τὸν πλοῦτον δοξάζωμεν, καὶ τὸ ἄμετρον ἔλεος, καὶ βοῶμέν σοι παντοτε· μὴ ἐλλίπῃς πρεσβεύουσα Χριςῷ τῷ Θεῷ, ἧς πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐφημοῦσι τὸν τόκον σε ἀγγέλων.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ἐλήλυθας, ἐκ Παρθένου, ὁ πρέσβυς ἐκ Ἀγγέλου· ἀλλ' αὐτὸς ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσφσας, ὅλον με τὸν ἄνθρωπον. διὸ κραυγάζω σοι· δόξα τῇ δυνάμει σου Κύριε.

Ταγόνα μοι, καταυγέως ὄμβρησον Δέσποινα, ξηραίνουσαν ἅπασι, τὸν τῆς καρδίας μου καύσωνα, καὶ τῆς ἀθυμίας μου, τὰς σφαλερὰς ἐπικλύσας ἀναῤῥέλυσαν.

Ὁμφαίρμε, ἡδονῆς πληγωθέντα καὶ κάμοντα, τραυματίαν Ἄγγαντε, μὴ ὑπερίδῃς· ἀλλ' ἴασαι, λόγχῃ καὶ τῷ Αἵματι, τοῦ Σπαρωθέντος Υἱοῦ σε καὶ Θεοῦ ἡμῶν.

Λατήσασα, δεσποτείαν ἁπάσης τῆς Κτίσεως, δανῶς με πτωχεύσαντα, Χάριτος Θεάς ἀξίωσον· ὅπως μεγαλυνώσε, ὡς ἀγαθήν με προσάτιν Παναμώμητε.

Εἱρμὸς, ὁ αὐτός.

Ὁ Λόγος σε, Θεολόγον ἀξίως ἀνέδειξε, τὴν αὐτοῦ Θεότητα, μυσαγωγήσας Παναύγε, καὶ τὴν τοῦ ἄνθρωπον, Οἰκονομίαν διδάξας τὴν ἀπόῤῥητον.

Νοῦν σύθεον, καὶ Παρθένον τὸ σῶμα κτησάμενος, ναὸς ἐχρημάτισας, ζῶν τε καὶ ἔμψυχος σύδοξε, καὶ κατοικητήριον, τῆς παναγίας Τριάδος Ἱερώτατε.

Ἰότητι, τῆς ἀχράντε Παρθένε τετιμῆσαι, Παρθένε μακάριε, καὶ ἀδελφὸς ἀναδέδειξαι, τοῦ ἐκλεξαμένου σε, καὶ Μαθητὴν Θεολόγον ἐκτελέσαντος. Θεοτοκίον.

Γνόμενος, τὴν τῆς Εὔας ἀρχαίαν παράβασιν, σὲ τὴν Παναμώμητον, καὶ παναγίαν κατῴκησεν, ὅλον με τὸν ἄνθρωπον, ἀναμορφώσας πεσόντα ὁ Ὑπέρθεος.

Ἄλλος. Χριςός μοι δύναμις.

Ταγόσιν ἤρδλασας, τοῦ Λόγου σύδοξε, τὴν ὑφήλιον πᾶσαν, πλάνης ἀθέου καὶ βεβήλου ἐλευθεροῦσαν. διὸ καὶ ἀπὸ ξηραίνας δεσεβῶς, διὰ τοῦτό σε γεραίρομεν.

Σχὼν περίζωσον, καὶ κράτος δέομαι, παραμείνω παντοίας ἐπιφοράς, τὴν ψυχήν

χὴν μου Πάνσοφε, τῶν ἀκαθάρτων δυσμενῶν, προσφυγοῦσαν ἐν τῇ σκέπῃ σου.

ΝΑὸς γενόμενος, τοῦ Θείου Πνεύματος, τοὺς τῷ θείῳ Ναῷ σου διηνεκῶς, πίστει προσεδρεύοντας, ναοὺς ἀνάδειξον Θεοῦ, Θεολόγε μεσιτείᾳ σου. Θεοτοκίον.

ΦΟ θεῖον τέμενος, Θεοῦ ὑμνήσωμεν, τὴν Ἁγίαν Παρθένον περιφανῶς, πάντες μακαρίσωμεν, οἱ θεοθέντες δι' αὐτῆς, καὶ δεινῶν ἀπολυτρούμενοι.

Καταβασία. Τὴν ἀνεξιχνίαστον Θείαν.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

ΜΕσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας Χριστὲ ὁ Θεός. διὰ σοῦ γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, προσαγωγὴν ἐσχήκαμεν.

Ὁδὸν τῆς ζωῆς, ἡ τεκοῦσα Ἄχραντε ὁδήγησον, ὁδὸν εἰς εὐθεῖάν με, νῦν εἰς ἀνοδίας τε καὶ βάραθρα, χαλεπῶν συμπτωμάτων, ἀλόγως κρημνιζόμενον.

ΖΕνώσας φρενὶ, ἑαυτὸν ἀγνώμονι Παρθένε Θεοῦ, ἀσώτως ἐβίωσα, χώραν εἰς μακρὰν παθῶν πλανώμενος. ἀλλ' ἐπίστρεψον σῶσον, ταῖς σαῖς με παρακλήσεσι.

ΝΑμάτων τῶν σῶν, ζωηρρύτων πότισον τὸν δοῦλόν σου, φλογμῷ συγκαιόμενον, τῶν ἁμαρτιῶν καὶ φλογιζόμενον, προσβολαῖς τῶν δαιμόνων, Παρθενομῆτορ ἄχραντε.

Εἱρμὸς, ὁ αὐτός.

ΟΥ'ρανίος νοῦς, Θεολόγε πέφηνας τῇ χάριτι, ὅλος φῶς γενόμενος, τῇ πρὸς τὸν ἀρχίφωτον ἐγγύτητι, καὶ συντόνῳ σου νεύσει, τῇ πρὸς αὐτὸν θεούμενος.

ΝΟΐ καθαρῷ, καὶ ἁγίοις χείλεσι Θεόπνευστε, καὶ πανάγνῳ στόματι, τὸ σὸν Εὐαγγέλιον ἐκήρυξας, καὶ κοινὴν σωτηρίαν, πᾶσι Πιστοῖς προτέθεικας.

ΧΡιστῷ συνοικῶν, ἀπὸ βρέφους ὄργανον τῆς χάριτος, ὑπ' αὐτοῦ προβέβλησαι, τὴν Θεολογίαν ἐξασκούμενος, καὶ Τριάδος τὴν δόξαν, ὑπερφυῶς μυούμενος. Θεοτοκίον.

ΗΜάτων τῶν σῶν, μεμνημένοι σὲ νῦν μακαρίζομεν. διὰ σοῦ Πανάμωμε, τὴν μακαριότητα τὴν ἄφραστον, καὶ ζωὴν τὴν ἀγήρω, παναληθῶς πλουτήσαντες.

Ἄλλος. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

ΩΣ ὄρθρος ἔλαμψας τοῖς ἐν γῇ, τὴν Ἀνατολὴν τὴν νοητὴν, ἀνακηρύττων Ἀπόστολε, Κόσμῳ μετὰ σώματος ἐνδημήσασαν, καὶ τῆς πολυθείας τὸ σκότος λύσασαν.

ΘΕολογίαις σου ἱεραῖς, ἅπασαν κατήρδευσας ψυχὴν, Γεροκήρυξ Ἀπόστολε. ὅθεν σοι κραυγάζω· τὴν χερσωθεῖσάν μου, καρδίαν ἁμαρτίαις, ὅλην κατάρδευσον.

ΕΠλήγην βέλεσι τοῦ ἐχθροῦ, ὅλον με ὑγίωσον Σοφὲ, ἐπιστασίᾳ σου δέομαι, καὶ πρὸς τὰς ὁδούς με Θεοῦ κατεύθυνον, ἀεὶ ταῖς ἀνομίαις ἀποπλανώμενον.

Σταυροθεοτοκίον.

ΟΤε παρέστης σὺν Μαθητῇ, τῷ ἠγαπημένῳ ἐν Σταυρῷ, τοῦ σοῦ Υἱοῦ Παναμώμητε, ἔστενες δακρύουσα καὶ ἐθαύμαζες, αὐτοῦ τὴν πρὸς ἀνθρώπους πολλὴν συμπάθειαν.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

ΕΝ ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

ΜΗ με δείξῃς δαιμόνων ἐπίχαρμα, ἐν τῷ Κριτηρίῳ τῷ μέλλοντι Δέσποινα· ἀλλ' εὐμενῶς προσβλέψαι με, τὸν Κριτὴν καὶ Υἱόν σου δυσώπησον.

ΛΟγισμοῖς παροργίζων σε Κύριε, καὶ ταῖς πονηραῖς καὶ ἀθέσμοις μου πράξεσιν, εἰς ἱλασμὸν προσάγω σοι, τὴν Μητέρα σου, οἴκτειρον σῶσόν με.

ΚΑτακρίσεως ῥῦσαί με Δέσποινα, τὸν αὐτοκατάκριτον ὄντα τοῖς πταίσμασιν, ὡς τὸν Κριτὴν κυήσασα, καὶ Θεὸν τὸν ἁπάντων Πανύμνητε.

Εἱρμὸς, ὁ αὐτός.

ΤΗσοῦς ὁ Θεός μου καὶ Κύριος, σὲ τῆς καθαρότητος ἀποδεξάμενος, καὶ παντελοῦς ἁγνότητος, ἀδελφὸν Θεολόγε προσήκατο.

ΕΤεφανώσας ἁγίως τὸν βίον σου, οὕτω πεποιθὼς τῆς Σοφίας ἀνέπεσες, ἐπὶ τὸ στῆθος Ἔνδοξε, καὶ τὴν χάριν ἐκεῖθεν ἀνείλκυσας.

ΦΑ μεγάλα καὶ θεῖα πυρσεύματα, τῆς Θεολογίας σου πᾶσαν ἐφώτισαν, τὴν Οἰκουμένην Ἔνδοξε, καὶ φωτὶ τρισηλίῳ κατηύγασαν. Θεοτοκίον.

ΟΥ'ρανὸν ὁ τανύσας βουλήματι, Οὐρανὸν ἐπίγειον ἄλλον ἐπλάτυνε, σὲ Θεομῆτορ ἄχραντε, καὶ ἐκ σοῦ ἀνατείλας ἐπέφανεν.

Ἄλλος.

Ἄλλος. Τοῦ βίου τὴν θάλασσαν.

Ὑπῆρξεν ὡς κάλαμος, ὀξυγράφου ἀληθῶς, ἡ Θεολόγος γλῶττά σου, καλλιγραφοῦσα γνῶσιν ἀληθινὴν, καὶ νόμον καινότατον, ἐν πλαξὶ Θεολόγε καρδιῶν ἡμῶν.

Μαράνας προθέλυμνα, ἀσεβείας τὰ φυτὰ, ὡς γεωργὸς πανάριστος, ἐν τῇ ψυχῇ μου φόβον τὸν τοῦ Θεοῦ, ἐμφύτευσον Ἔνδοξε, ἀρετῶν εὐκαρπίαν ἀναθάλλοντα.

Υἱὸν τῆς Παρθένου σε, ὁ ἐκ ταύτης προελθὼν, περιφανῶς ὠνόμασε. μεθ' ἧς δυσώπει θέσει πάντας Υἱοὺς, Θεοῦ Παναοίδιμε, χρηματίσαι ποιοῦντας τὰ εὐάρεστα.

Θεοτοκίον.

Σαρκὸς ὁμοιώματι, ἐγνωρίσθη τοῖς βροτοῖς, Θεὸς ἐκ σοῦ Πανάμωμε. ὃν ἐκδυσώπει πάντοτε τῆς σαρκὸς, ἡμῶν τὰ φρονήματα, Παναγία νεκρῶσαι τὰ ὀλέθρια.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον, ἦχος β'.

Μὰ μεγαλεῖά σου Παρθένε, τίς διηγήσεται; βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

Ὁ Οἶκος.

Ὕψη Οὐρανία ἐκμανθάνειν, καὶ θαλάσσης τὰ βάθη ἐρευνᾶν, τολμηρὸν ὑπάρχει καὶ ἀκατάληπτον. ὥς περ γὰρ ἄστρα ἐξαριθμῆσαι, καὶ παράλιον ψάμμον οὐκ ἔστιν ὅλως· οὕτως οὔτε τὰ τοῦ Θεολόγου εἰπεῖν ἱκανῶς. τοσούτοις αὐτὸν στεφάνοις ὁ Χριστὸς ὃν ἠγάπησεν ἔστεψεν, οὗ τῷ στήθει ἀνέπεσε, καὶ ἐν τῷ μυστικῷ δείπνῳ συνειστιάθη, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

Τῷ αὐτῷ Μηνὶ κϛ'. Ἡ Μετάστασις τοῦ Ἁγίου Ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ, Φίλου, Ἐπιστηθίου, Παρθένου, Ἠγαπημένου, Ἰωάννου τοῦ Θεολόγου.

ξ. Πατρὸς παρέστης ἠγαπημένῳ Λόγῳ, Πάντων Μαθητῶν, ἠγαπημένε πλέον. Πρός γε Θεὸν μετέθη βροντῆς Παῖς εἰκάδι ἕκτη.

Οὗτος ἦν Υἱὸς Ζεβεδαίου καὶ Σαλώμης, ἥτις ἦν Ἰωσὴφ τοῦ Μνήστορος Θυγάτηρ· ὁ γὰρ Ἰωσὴφ τέσσαρας Υἱοὺς ἔσχε, Ἰάκωβον, Συμεὼν, Ἰούδαν, καὶ Ἰωσὴν, καὶ θυγατέρας τρεῖς, τὴν Ἐσθὴρ, τὴν Μάρθαν, καὶ τὴν Σαλώμην· ἥτις ἦν γυνὴ Ζεβεδαίου, Μήτηρ δὲ Ἰωάννου. ἐντεῦθεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, θεῖος ἦν Ἰωάννου, ὡς ἀδελφὸς Σαλώμης τῆς θυγατρὸς Ἰωσήφ. οὗτός ἐστιν ὁ ἐν τῷ στήθει τοῦ Χριστοῦ ἀναπεσὼν, ὡς ἀγαπώμενος σφόδρα, καὶ γὰρ ἐν τῇ προδοσίᾳ, καὶ ἐν τῷ Σταυρῷ, αὐτῷ συμπαρῆν· ὅτε καὶ τὴν Θεοτόκον ἔλαβεν εἰς τὰ ἴδια, καὶ μέχρι τῆς Κοιμήσεως διηκόνει. καὶ μετὰ τὴν Κοίμησιν γενομένων κλήρων παρὰ τῶν Ἁγίων Ἀποστόλων, ποῦ ἂν ἕκαστος αὐτῶν ἀπέλθῃ καὶ κηρύξῃ, καὶ κλῆρον λαβὼν Ἰωάννης ἀπελθεῖν εἰς Ἀσίαν, καὶ δυσχεράνας ἐπὶ τούτῳ, προέγνω κατὰ θάλασσαν πειρασθῆναι, ὃ καὶ προεῖπε τῷ Μαθητῇ Προχόρῳ. καὶ δὴ τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ποιήσας ἐν τῇ θαλάσσῃ, περιφερόμενος ὑπὸ τῆς βίας τῶν κυμάτων, διὰ τὸ λυπηθῆναι ἐπὶ τῷ κλήρῳ, καὶ μὴ ἐλπίσαι ἐπὶ Κύριον, ἐν τόπῳ τινὶ Μαρμαρέοντι καλουμένῳ τῆς Ἀσίας ὑπεδόθη, ἔνθα τῷ Προχόρῳ περιτυγχάνει, κινδύνοις κἀκείνῳ περιπεσόντι, καὶ μόλις εἰς Σελεύκειαν διασωθέντι. ἐν ᾗ μετὰ τὸν θαλάσσιον κλύδωνα, καὶ ὁ τῶν πειρασμῶν συνήντησε τῷ Προχόρῳ, καὶ τῶν ἐκεῖσε ἀνθρώπων βαρύτατα προσφερομένων αὐτῷ, καὶ ἐπὶ μαγείαις διαβαλόντων. πρὸς δὲ καὶ τὸν Ἰωάννην χρυσίον ἐκ τοῦ πλοίου κεκλοφέναι λεγόντων, καὶ φυγῇ χρήσασθαι, ὧν τὰς χεῖρας οὐκ ἀμογητὶ διαδρὰς, τὸν προδεδηλωμένον τόπον κατέλαβεν. Εἰς Ἔφεσον δὲ γενόμενος τὴν Πόλιν, Ῥωμαίνα αὐτοῖς συναντᾷ· ἥτις ἦν μνηστευθεῖσα Πριβάτῳ. γυνὴ δὲ διαβεβοημένη καὶ μέχρι Ῥώμης ἐπὶ κακίᾳ. αὕτη οὖν τούτους μισθωσαμένη, τῷ λουτρῷ κατηνάγκασεν ἐκδουλεύειν, ἐν ᾧ καὶ ἀπείρως τοῦ Ἀποστόλου διατεθέντος, κακῶς τούτοις ἐχρῆτο, ὥς τε καὶ εἰς δουλικὴν τάξιν ἀμφοτέρους τούτους ἐπενεγκεῖν. καὶ τὸν μὲν Ἰωάννην, ἐγκαύστην εἶναι, τὸν δὲ Πρόχορον Ἐπιχύτην διὰ πάσης αὐτῶν τῆς ζωῆς. ἐνώκει δὲ καὶ τῷ λουτρῷ τούτῳ δαίμων τις ἄγριος, ὃς τρίτον τοῦ ἐνιαυτοῦ ἔπνιγεν ἔνδον νεανίσκον, ἢ νεάνιδα. διὰ γὰρ τὸ εὔηχον τοῦ λουτροῦ ποιητικὰς ἀφορμὰς ὁ Σατανᾶς ἐπενόησεν· ἡνίκα γὰρ ἐκτίζετο, διορυττομένων τῶν θεμελίων, νεανίσκον καὶ νεάνιδα τούτῳ ἐνέβαλον, κἀντεῦθεν ἡ τοιαύτη μιαιφωνία ἤρξατο γίνεσθαι. μετὰ δὲ τρεῖς μῆνας εἰσελθὼν

Δόμνος ὁ Υἱὸς Διοσκορίδους ἐν τῷ τοιούτῳ λουτρῷ, ἀπεπνίγη παρὰ τοῦ δαίμονος. καὶ δὴ πένθους πολλοῦ τῇ Ῥωμαίνῃ γενομένου, γνωστὸν ἐγένετο τοῦτο τῇ Ἐφεσίων Πόλει, καὶ αὐτῷ τῷ Πατρὶ Διοσκορίδῃ· ὃς τῇ ἀκοῇ ταύτῃ ὑπὸ λύπης καταποθεὶς, ἀπέψυξε καὶ αὐτός. Πολλὰ οὖν τῆς Ῥωμαίνης καθικετευούσης τὴν Ἄρτεμιν ἀναστῆναι τὸν Δόμνον, καὶ τὰς σάρκας κατατεμνούσης, οὐδὲν πλέον ἠνύετο. τοῦ δὲ Ἰωαίννου πυνθανομένου τὸν Πρόχορον τί τὸ συμβαίν; ἰδοῦσα ἡ Ῥωμαία τούτους κοινολογουμένους, κρατήσασα τὸν Ἰωαίννην, ἔθλιβεν ἰσχυρῶς, καὶ ἄλλα μὲν πολλὰ λέγουσα, καὶ συκοφαντοῦσα αὐτὸν μάγον εἶναι, τελευταῖον δὲ, ὡς εἰ μὴ τὸν Δόμνον ἀναστήσῃ, τὴν ψυχὴν αὐτοῦ χωρίσαι τοῦ σώματος. τοῦ δὲ Ἀποστόλου εὐξαμένου, καὶ ἀναστήσαντος τὸν Παῖδα, ὀυξέστη τὸ πνεῦμα Ῥωμαίνης, καὶ Θεὸν, ἢ Θεοῦ Υἱὸν τοῦτον κατήγγειλε. προσέτι καὶ ἐπίστευσε τῷ Χριστῷ, πολλὰ πρότερον ὀυξομολογησαμένη τῷ Ἰωαίννῃ. ἀναστήσαντος δὲ καὶ τὸν Διοσκορίδην, ἐπίστευσε καὶ αὐτὸς μετὰ τοῦ Υἱοῦ Δόμνου, καὶ πάντες ὀυξωμολογήσαντο, καὶ ἐβαπτίσθησαν, Διοσκορίδης καὶ Δόμνος καὶ Ῥωμαία. διαῤῥηξάσης δὲ τῆς Ῥωμαίνης καὶ τὴν ὠνὴν τῆς δουλείας, ἀπεδίωξεν ὁ Ἰωαίννης καὶ τὸ πνεῦμα τὸ πονηρὸν ἀπὸ τοῦ Λουτροῦ. Ἑορτῆς δὲ τῇ Ἀρτέμιδι ἀγομένης τοῖς Ἐφεσίοις, ἀνελθὼν ὁ Ἀπόστολος, ἔστη ἐπὶ τόπου ὑψηλοῦ, ἔνθα ἦν τὸ μιαρώτατον ἄγαλμα. οἱ δὲ ὄχλοι θυμοῦ ἐπὶ τούτῳ πλησθέντες, λίθους κατὰ τοῦ Ἰωαίννου ἔβαλλον. οἱ δὲ λίθοι μὴ τούτου τὸ παράπαν ἁψάμενοι, τὸ ἄγαλμα μᾶλλον συνέτριψαν εἰς λεπτά. πολλὰ δὲ αὐτοῖς περὶ Πίστεως διαλεχθέντος τοῦ Ἀποστόλου, οὗτοι ἀγανακτήσαντες, πάλιν λίθους ἔβαλλον ἐπ' αὐτόν. ἀλλ' οὐδεὶς τῶν λίθων ἔπληξε τοῦτον, ἀλλὰ ἀνακάμπτοντες, τοὺς βάλλοντας ἔβαλλον καὶ κατέτεμνον, καὶ τὰς στολὰς αὐτῶν θείᾳ ῥοπῇ διεῤῥήγνυον. εὐξαμένου δὲ τοῦ Ἀποστόλου, βρασμὸς μέγας γέγονε τῆς γῆς, καὶ ἔπεσον ἐπὶ τὴν γῆν ἐκ τοῦ πλήθους, ἄνδρες ὡσεὶ διακόσιοι, καὶ ἀπέθανον. οἱ δὲ λοιποὶ, μόλις τοῦ φόβου ἐκνήψαντες, ἐδέοντο ἐλέους τυχεῖν. τρόμος τῶν καὶ κλόνος ἐπῆλθεν αὐτοῖς. ἅμα δὲ ἀναστῆναι καὶ τοὺς τεθνεῶτας. καὶ δὴ προσευξαμένου, καὶ πάντας ἀναστήσαντος, βρασμοῦ καὶ αὖθις γενομένου, προσέπεσον τῷ Ἰωάννῃ, καὶ ἐβαπτίσθησαν ἅπαντες. Ἐπιστὰς δὲ ἔν τινι τόπῳ, καλουμένῳ Τύχῃ, ἰάσατο παράλυτον, ἐπὶ δώδεκα ἔτη κατακείμενον· ὃς καὶ ἀνέστη, δοξάζων τὸν Θεόν. πολλῶν δὲ καὶ ἑτέρων γενομένων σημείων ὑπὸ Ἰωαίννου, καὶ τῆς φήμης τῶν θαυμάτων πανταχοῦ διατρεχούσης· ἰδὼν ὁ δαίμων ὁ παραμένων τῷ Ναῷ τῆς Ἀρτέμιδος, πάντα τὰ ὑπὲρ αὐτοῦ γενόμενα, καὶ γνοὺς ὡς μέλλει καὶ αὐτὸς ἐκεῖθεν ἀπελαυνέσθαι, σχῆμα στρατιωτικὸν ὑποδὺς, ὡς δῆθεν ταξεώτης, καὶ χάρτας ἐπιφερόμενος, ἐκάθητο κλαίων ἔν τινι τόπῳ, καὶ λέγων· δύο μάγους παρὰ τῆς ὀυξουσίας αὐτῷ πιστευθέντας, διαδραναι. διὸ καὶ κινδυνεύειν μέχρι καὶ αὐτῆς τῆς ζωῆς. ὑπεδείκνυε δὲ πρὸς οὓς ἔλεγε, καὶ χρυσίου ἀποδεσμὸν, καὶ τούτους δώσειν ὑπισχνεῖτο, εἰ τοὺς Μάγους ἀνέλωσι. τῆς δὲ Πόλεως ἐπὶ τούτῳ σεισθείσης, ἐκινήθησαν ὄχλοι πολλοὶ κατὰ τῆς οἰκίας Διοσκορίδους, ἀπειλοῦντες κατακαῦσαι αὐτὸν μετὰ τῆς οἰκίας, εἰ μὴ δώη τοὺς Μάγους. τοῦ δὲ Διοσκορίδους μᾶλλον ἑλομένου καταφλεχθῆναι, ἢ τοὺς ζητουμένους ἐκδοῦναι, ἐπιγνοὺς ὁ Ἰωαίννης τῷ Πνεύματι, ὡς ἡ συστροφὴ τοῦ λαοῦ εἰς ἀγαθὸν ἄγει τοὺς πλείους αὐτῶν, παραδίδωσιν ἑαυτὸν μετὰ τοῦ Προχόρου τῷ λαῷ. ἀπαγόμενοι δὲ παρὰ τοῦ ὄχλου, ἐπέστησαν τῷ Ναῷ τῆς Ἀρτέμιδος, καὶ προσηύξαντο πρὸς τὸν Θεὸν, τὸ μὲν ἱερὸν καταπεσεῖν, μηδένα δὲ τῶν παρόντων βλαβῆναι. καὶ δὴ τούτου καταπίπτοντος, ὁ Ἀπόστολος εἶπε πρὸς τὸν παραμένοντα αὐτῷ δαίμονα· σοὶ λέγω τῷ ἀκαθάρτῳ δαίμονι, πόσον χρόνον ἔχεις οἰκῶν ἐνθάδε, καὶ εἰ σὺ τοὺς ταξεώτας τούτους καὶ τὸν ὄχλον αὐτὸν ἐξήγειρας καθ' ἡμῶν, ὁμολόγησον. ὁ δὲ δαίμων ἀνέκραξε λέγων· χρόνους μὲν ἔχω οἰκῶν ἐνταῦθα, διακοσίους τεσσαράκοντα ἐννέα· πάντας δὲ τούτους, ἐγὼ ἐξήγειρα καθ' ὑμῶν. εἶπεν οὖν αὐτῷ ὁ Ἰωαίννης· παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, μηκέτι οἰκῆσαι ἐν τῷ δε τῷ τόπῳ. καὶ ἐξῆλθεν ὁ δαίμων εὐθέως ἀπὸ τῆς Πόλεως. ἔλαβεν οὖν πάντας θάμβος καὶ ἔκστασις, καὶ οἱ πλείους αὐτῶν ἐπίστευσαν τῷ Κυρίῳ. καὶ ἑτέρων δὲ πολλῶν σημείων καὶ τεράτων γενομένων διὰ τῶν τοῦ Ἀποστόλου χειρῶν, καὶ πλήθους πολλοῦ προσελθόντος τῇ Πίστει, ἀνηνέχθη τῷ

τότε

τότε κρατοῦντι τὰ περὶ τούτου. ὡς ὅτι μαγικαῖς τισὶ τῶν λεγομένων Χριστιανῶν παραδόσεσιν ὑπαχθέντες οἱ ὄχλοι, ἀθετοῦσι τοὺς νόμους τῶν Βασιλέων, καὶ τὸ τῶν Θεῶν σέβας καταφρονοῦσιν, ὡς καὶ τὰ κράτιστα τῶν παρ' αὐτοῖς ἱερῶν ἐπ' ἐδάφους καταπεσεῖν. διὸ καὶ ἐν Πάτμῳ τῇ Νήσῳ ὑπερόριοι γίνονται. ὤφθη δὲ ὁ Κύριος ὄναρ τῷ Ἰωάννῃ τὰ περὶ τούτου δηλώσας, ὅτι δεῖ αὐτὸν πολλὰ πειρασθῆναι, καὶ ἐν Νήσῳ τινὶ, ἣ καλεῖται Πάτμος, ἐξορισθῆναι, ἥτις πολλὴν αὐτοῦ χρείαν ἔχει. πλέων δὲ μετὰ τῶν Προτεκτόρων εἰς τὸν τῆς ὑπερορίας τόπον, τινὰ τῶν Στρατιωτῶν ἐν τῇ θαλάσσῃ ἀποπνιγέντα ἀνέστησε, πολλὰ παρ' αὐτῶν εἰς τοῦτο δυσωπηθείς. ἀλλὰ καὶ τὸν ἐσύστερον αὐτοῖς ἐπεγερθέντα λαίλαπα, καὶ σφοδρότατον τῆς θαλάσσης κλύδωνα, εἰς γαλήνην μετεποιήσατο, καὶ ἕνα τῶν Προτεκτόρων δυσεντερίᾳ συχεθέντα, καὶ ἤδη τὰ ἔσχατα πνέοντα, ἰάσατο, καὶ εἰς παντελῆ ὑγείαν κατέστησεν. ἐπὶ τούτῳ οὖν ἐβαπτίσθησαν ἅπαντες. ὁ δὲ Ἰωάννης ἑκουσίως τῇ Πάτμῳ Νήσῳ ὑπερόριος ἀποθεὶς, τὸν Υἱὸν τοῦ Μύρωνος Ἀπολλωνίδην, ἀπαλλάττει τοῦ ἐννοικοῦντος αὐτῷ δαίμονος, καὶ αὐτίκα πᾶσα ἡ τοῦ Μύρωνος οἰκία πιστεύει τῷ Χριστῷ, καὶ βαπτίζεται. ὕστερον δὲ καὶ Λαυρέντιος ὁ τῆς τούτου Θυγατρὸς Χρυσίππης ἀνὴρ, μεγάλα παρὰ τῇ Νήσῳ δυνάμενος. Κυύωψ δέ τις οἰκῶν ἦν ἐνταυθὶ, εἰς ἄκρον τὴν μάγων τέχνην ἐξησκηκὼς, καὶ πᾶσαν τὴν τῶν δαιμόνων ἐνέργειαν ἐν ἑαυτῷ περιφέρων. ὃς τῷ πλήθει τῶν φαντασιῶν οὕτω παρὰ τοῖς ἄφροσιν ἐθαυμάσθη, ὡς καὶ Θεὸς νομίζεσθαι παρ' αὐτῶν. Τὸ οὖν ἐπὶ τῇ διδασκαλίᾳ πεπαρρησιασμένον τοῦ Ἰωάννου ἰδόντες οἱ Ἱερεῖς τοῦ Ἀπόλλωνος, τὰ περὶ τούτου πρὸς τὸν Κυύωπα ἀναφέρουσι, ταῖς οἰκείαις κακοτεχνίαις χρήσασθαι κατ' αὐτοῦ ἀξιοῦντες. ὁ δὲ μὴ ἀνεχόμενος εἰς τὴν Πόλιν παραγενέσθαι, καὶ γὰρ ἐτύγχανεν ἐν ἐρήμοις ἀβάτοις ἔχων τὴν δίαιταν, ἄγγελον πέμψειν ὑπισχνεῖται πονηρὸν κατὰ τὴν οἰκίαν Μύρωνος, τὴν ψυχὴν παραληψόμενον Ἰωάννου. τῇ οὖν ἐπιούσῃ, ἓν τῶν πονηρῶν πνευμάτων ἀποστέλλει πρὸς Ἰωάννην, ἐπισκήψας τὴν αὐτοῦ ψυχὴν ἀγαγεῖν. ἀπελθὼν δὲ ὁ δαίμων εἰς τὸν οἶκον Μύρωνος, ἔστη ἐν τῷ τόπῳ, οὗ ἦν Ἰωάννης. ὃς περὶ τοῦ δαίμονος ἐγνωκὼς, μὴ περαιτέρω προελθεῖν ἐγκελεύεται. ἀλλ' ἐκεῖσε ἐστάναι μέχρις ἂν τὴν αἰτίαν ἐξείπῃ, δι' ἣν πάρεστι. τὸ δὲ πνεῦμα εἶπεν· οἱ Ἱερεῖς τοῦ Ἀπόλλωνος ἦλθον πρὸς Κυύωπα, καὶ πολλὰ κακὰ εἶπον αὐτῷ περὶ σοῦ, καὶ παρεκάλουν αὐτὸν εἰσελθεῖν εἰς τὴν Πόλιν κατασκευάσαι σοι θάνατον, καὶ αὐτὸς οὐκ ἠνέσχετο, λέγων, ὅτι πολλὰ ἔτη ἔχω ἐν τῷ τόπῳ τούτῳ, καὶ οὐ καταλύω ἐμαυτὸν τοῦ εἰσέρχεσθαι εἰς τὴν Πόλιν, διὰ μικρὸν ἄνδρα τετραγῳδημένον. ἀλλ' ὑποστρέψατε εἰς τὴν ὁδὸν ὑμῶν, καὶ αὔριον ἀποστελῶ ἄγγελον, καὶ παραλήψεται αὐτοῦ τὴν ψυχὴν, καὶ ἄξει αὐτὴν πρός με, καὶ παραδώσω αὐτὴν εἰς κρίσιν. εἶπε δὲ ὁ Ἰωάννης· ἀπεστάλης ποτὲ παρ' αὐτοῦ, καὶ λαβὼν ψυχὴν ἀνθρώπου ἀπήνεγκας αὐτῷ; εἶπε δὲ τὸ πνεῦμα· ἀπεστάλην, καὶ ἀπέκτεινα, ψυχὴν δὲ οὐ κατήνεγκα. καὶ ὁ Ἰωάννης· τίνος χάριν πείθεσθε αὐτῷ; καὶ εἶπε τὸ πνεῦμα· πᾶσα ἡ δύναμις τοῦ Σατανᾶ ἐκεῖ κατοικεῖ, καὶ συντάξεις ἔχει μετὰ πάντων τῶν Ἀρχόντων, καὶ ἡμεῖς μετ' αὐτοῦ, καὶ ἀκούει ἡμῶν ὁ Κυύωψ, καὶ ἡμεῖς ἀκούομεν αὐτοῦ. καὶ εἶπεν ὁ Ἰωάννης· ἄκουσον πνεῦμα πονηρὸν, κελεύει σοι ὁ Ἀπόστολος τοῦ Υἱοῦ τοῦ Θεοῦ Ἰωάννης, μηκέτι εἰς ἐπιβουλὴν κινηθῆναι ἀνθρώπου, μηδὲ ἐν τῷ τόπῳ ἐκείνῳ ἀπελθεῖν ἔτι. ἀλλ' ἔξω τῆς Νήσου ταύτης ἀπελθεῖν, καὶ πελάζεσθαι, καὶ μηδαμοῦ τόπον ἔχειν. καὶ εὐθέως τὸ πνεῦμα τὸ πονηρὸν ἐξῆλθε τῆς Νήσου. ἰδὼν δὲ ὁ Κυύωψ, ὅτι οὐδαμῶς τὸ πνεῦμα ὑπέστρεψε, καὶ ἕτερον ἀπέστειλεν. οὗ τῷ προτέρῳ τὰ αὐτὰ πεπονθότος, ἕτερα δύο πνεύματα ἐκ τῶν Ἀρχόντων ἀπέστειλεν· ἓν εἰσελθεῖν πρὸς Ἰωάννην, τὸ δ' ἕτερον ἔξω ἑστηκὸς, ἀγαγεῖν ἀπόκρισιν πρὸς αὐτόν. τοῦ δὲ εἰσελθόντος, καὶ τὰ ὅμοια τοῖς πρὸ αὐτοῦ πεπονθότος, τὸ ἕτερον ἐξελθὸν, τῷ Κυύωπι τὰ πεπραγμένα ἀπήγγειλεν. ἐπὶ τούτοις ὁ Κυύωψ θυμοῦ πλησθεὶς, ἅπαντα τὰ πλήθη τῶν δαιμόνων παραλαβὼν, ἀπῆλθεν ἐν τῇ Πόλει. ἤχησε δὲ ἡ Πόλις ἰδοῦσα τὸν Κυύωπα, καὶ πάντες αὐτὸν προσεκυύουν. διδάσκοντα δὲ τὸν Ἰωάννην καταλαβὼν, ἐπλήσθη θυμοῦ πολλοῦ, καὶ φησὶ πρὸς τὸν λαόν· ἄνδρες τυφλοὶ καὶ πεπλανημένοι, τὴν ὁδὸν τῆς ἀληθείας ἀκούσατε.

σατε. εἰ δίκαιός ἐςιν ὁ Ἰωάννης, καὶ τὰ παρ' αὐτοῦ λαλούμενα ἀληθῆ, θεραπεύσει ἐμέ τε καὶ ὑμᾶς διὰ τὸν λόγον, ὃν λέξω πρὸς αὐτὸν, καὶ πιςεύσω κἀγὼ τοῖς λεγομένοις ὑπ' αὐτοῦ. καὶ ἐπιλαβόμενος ὁ Κυύωψ νεανίσκου τινὸς, εἶπεν αὐτῷ· νεανίσκε, ζῇ ὁ Πατήρ σου; ὁ δὲ εἶπε· τέθνηκεν. ὁ Κυύωψ εἶπε· ποίῳ θανάτῳ; ὁ δὲ εἶπε· ναυτικὸς ὑπῆρχε, καὶ τοῦ πλοίου συντριβέντος ἐν τῇ θαλάσσῃ, ἀπέθανεν ἐν τοῖς ὕδασιν. ὁ δὲ Κυύωψ εἶπε πρὸς τὸν Ἰωάννην· ἰδοὺ δεῖξον, εἰ ἀληθῆ λέγεις, καὶ ἀνάγαγε τὸν Πατέρα τοῦ Παιδὸς ἀπὸ τῆς θαλάσσης, καὶ παράςησον αὐτὸν τῷ Παιδὶ, καὶ πᾶσιν ἡμῖν ζῶντα. εἶπεν ὁ Ἰωάννης. οὐκ ἀπέςειλέ με ὁ Χριςὸς νεκροὺς ἐγείρειν, ἀλλὰ πεπλανημένους ἀνθρώπους διδάσκειν. εἶπε δὲ ὁ Κυύωψ πρὸς πάντα τὸν παρεςῶτα λαόν· κἂν ἄρτι πιςεύετε, ἄνδρες οἱ τὴν Χώραν κατοικοῦντες, ὅτι πλάνος ἐςὶν ὁ ἄνθρωπος οὗτος, καὶ πλανᾷ ὑμᾶς διὰ μαγικῶν ἐμπαιγμάτων. κρατήσατε αὐτὸν, ἕως ἂν ἀγάγω τὸν Πατέρα τοῦ Παιδὸς, καὶ παραςήσω αὐτὸν ὑμῖν ζῶντα. καὶ ἐκράτησαν τὸν Ἰωάννην. καὶ διαπετάσας ὁ Κυύωψ τὰς χεῖρας αὐτοῦ, καὶ κρούσας αὐτὰς παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης, κτύπου μεγάλου γεγονότος ἐν τῇ θαλάσσῃ, καὶ πάντων φοβηθέντων, ἐξ ὀφθαλμῶν πάντων ἀφανὴς ἐγένετο. ἐπῆραν τὴν φωνὴν αὐτῶν ἅπαντες λέγοντες· μέγας εἶ Κυύωψ, καὶ οὐκ ἔςι πλήν σου. καὶ ἐξαίφνης ἀνέβη ὁ Κυύωψ ἐκ τῆς θαλάσσης, ἔχων ὡς ἔλεγε τὸν Πατέρα τοῦ παιδὸς, καὶ ἐξέςησαν ἅπαντες. εἶπε δὲ πρὸς τὸν παῖδα· οὗτός ἐςιν ὁ Πατήρ σου; καὶ εἶπεν ὁ Παῖς· ναὶ Κύριε. καὶ προσεκυύησαν ἅπαντες τὸν Κυύωπα. Ζητούντων δὲ τὸν Ἰωάννην ἀποκτεῖναι, οὐκ ἀφῆκεν ὁ Κυύωψ λέγων, ὡς ὅταν ὄψεται τούτων μείζονα, τότε τιμωρηθήσεται κακῶς. ἤρετο δέ τινα τῶν περιεςώτων. ἔχεις Υἱόν; ὁ δέ· εἶχον, εἶπεν, ἐφονεύθη δὲ παρά τινος δι' ἐπιβουλῆς. ὁ Κύνωψ δὲ, κἀκεῖνον ἀποκαταςῆσαι ζῶντα τῷ Πατρὶ ἐπηγγείλατο. μέγα τοίνυν βοήσας, ἐξ ὀνόματος ἅμα τόν τε πεφονευκότα καὶ τὸν πεφονευμένον ἐκάλει. Οἱ δὲ, παραυτίκα ἔδοξαν παραςῆναι. καὶ εἶπεν ὁ Κυύωψ πρὸς τὸν ἄνθρωπον· οὗτος ἐςὶν ὁ Υἱός σου; καὶ οὗτος ἐςὶν, ὁ ἀποκτείνας αὐτόν; καὶ εἶπεν ὁ ἄνθρωπος· ναὶ Κύριε. ὁ Κυύωψ πρὸς τὸν Ἰωάννην, ὡς δῆθεν τὰς ἐκείνου φαντασίας θαυμάζοντα. τί θαυμάζεις ἐπὶ τούτοις, φησίν· ὁ δέ. οὐ θαυμάζω, εἶπεν, ἐλεῶ δὲ μᾶλλον τὰς ὑπὸ σοῦ ἀπολυμένας ψυχάς. τοῦ δὲ καὶ ἐπὶ πλέον τοῖς τελουμένοις ἐκςήσειν ὑποχομένου, προσαπειλησαμένου δὲ καὶ ἔχατον αὐτοῦ τὴν ζωὴν ἀφαιρήσειν· ταχύ σου τὰ σημεῖα λυθήσονται, φησὶν ὁ Ἀπόςολος. ὅπερ οἱ ὄχλοι ἀκούσαντες, ὁρμήσαντες κατὰ τοῦ Ἰωάννου, ὅπως αὐτὸν διεσπάραξαν, ὡς νεκροῦ μηδὲν ἄμεινον διακεῖσθαι. δόξαν δὲ πᾶσι καὶ αὐτῷ τῷ Κυύωπι θανεῖν τὸν Ἀπόςολον, οὐδὲ ταφῆς ἄξιος αὐτοῖς ἐκρίθη. ἀλλ' ἐπισκήψει Κυύωπος, ἄταφον τοῦτον ἐῶσιν, ὥς τε βορὰν θηρσὶ γενέσθαι καὶ πετεινοῖς. Ἀναχωροῦσι τοίνυν ἕκαςος οἴκαδε ἡδόμενοι τῇ ἀπαλλαγῇ τοῦ Ἰωάννου, καὶ ἅμα τὸν μισαρὸν ἐκθειάζοντες Κυύωπα· μετ' οὐ πολὺ δὲ τῷ Κύνωπι ἀκουσθὲν τὸν Ἰωάννην ἐν τόπῳ τινὶ Λίθου βολὴ καλουμένῳ διδάσκειν, τὸν δαίμονα δι' οὗ τὰς νεκρομαντείας ἐποίει προσκαλεσάμενος, καὶ τὸν τόπον καταλαβὼν, λέγει πρὸς Ἰωάννην· βουλόμενός σοι περιοσοτέραν αἰχυύην περιβαλεῖν, τούτου χάριν ἔασά σε τέως ζῆν· ἀλλὰ δεῦρο ἐπὶ τὸν αἰγιαλὸν, καὶ ὄψει τὴν δυνάμιν μου καὶ ἐντραπήσῃ. ἦσαν δὲ καὶ οἱ τρεῖς δαίμονες οἱ νομισθέντες ἀπὸ τῶν νεκρῶν ἐγηγέρθαι, ἀκολουθοῦντες αὐτῷ. καὶ δὴ κρούσας κτύπῳ μεγάλῳ τὰς χεῖρας, ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν, ἐξ ὀφθαλμῶν ἁπάντων ἐξαίφνης γενόμενος, οἱ δὲ ὄχλοι ἐβόησαν· μέγας εἶ Κυύωψ, καὶ οὐκ ἔςι πλήν σου. Ὁ δὲ Ἰωάννης παραγγείλας τοῖς δαίμοσι τοῖς δῆθεν ἐκ νεκρῶν ἀναςάσι μὴ ἀναχωρεῖν, ηὔξατο πρὸς τὸν Θεὸν, μὴ καταλεχθῆναι ἐν τοῖς ζῶσι τὸν Κυύωπα. παραχρῆμα δὲ, ἦχος ἐγένετο μέγας ἐν τῇ θαλάσσῃ. καὶ εἰληθέντος τοῦ ὕδατος ἔνθα ἔβαλεν ἑαυτὸν ὁ Κυύωψ, οὐκ ἔτι ἐξῆλθεν. οἱ δὲ δαίμονες οἱ δοκοῦντες ἐκ νεκρῶν ἐγηγέρθαι, παραγγείλαντος Ἰωάννου ἐν τῷ ὀνόματι Ἰησοῦ Χριςοῦ τοῦ Ἐςαυρωμένου ἐξελθεῖν τῆς Νήσου ταύτης, ἄφαντοι γεγόνασι. τοῦ δὲ λαοῦ προσδοκῶντος τὸν Κυύωπα τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐν τῷ αἰγιαλῷ, ἀπὸ τῆς ἀσιτίας καὶ τῶν φωνῶν καὶ καύσωνος, οἱ πλείονες αὐτῶν λιποθυμήσαντες,

ἄφω-

ἄφωνοι ἔκειντο. ἐξ ὧν τρία παιδία ἀπέθανον, ὃς ὁ Ἰωάννης οἰκτείρας, καὶ ἐπευξάμενος τὰ πρὸς σωτηρίαν, καὶ πολλὰ περὶ Πίστεως τούτοις διαλεχθεὶς, καὶ τοὺς θανέντας παῖδας ἀνέστησε. Πάντες τοίνυν ὁμοθυμαδὸν τῷ Χριστῷ προσελθόντες, τὸ σωτήριον ἐδέξαντο Βάπτισμα, τοῦ Κυύωπος ἐν τῷ βυθῷ καταποντισθέντος τῆς θαλάσσης ἀθλίως, ὡς ὁ πάλαι Φαραώ. Γυνὴ δέ τις ἦν ἐν τῇ Νήσῳ τὴν κλῆσιν Προκλιανὴ, ταύτῃ Υἱὸς ὑπῆρχεν, ἀγαλματίας μὲν τὴν ὄψιν, γυμνὸς δὲ τοὺς τρόπους, Σωσίπατρος τῷ νεανίσκῳ ἡ κλῆσις. τούτου διὰ τὸ τῆς ὄψεως εὐπρεπὲς, βαβαὶ, μέχρι καὶ τίνων ἡ κακία πρόεισιν, εἰς ἀτόπους ἔρωτας κινηθεῖσα ἡ Μήτηρ, ἐπεί περ οὐ καταπείθει τοῦτον, ὃν εἶχε πρὸς τὸν οἰκεῖον σκοπὸν, πρὸς διαβολὰς ἐτράπη καὶ συκοφαντίας, τἀναντία τούτου κατηγοροῦσα πρὸς τὸν Ἀνθύπατον. μέλλοντος τοίνυν τοῦ Σωσιπάτρου, ἀνεικέστοις ὑποβάλλεσθαι τιμωρίαις, καὶ τοῦ Ἀποστόλου βοηθοῦντος αὐτῷ, ἐξηράνθη ἡ χεὶρ τοῦ Ἀνθυπάτου, τὸ αὐτὸ καὶ τῆς Προκλιανῆς πεπονθυίας, πρότερον τῆς γῆς δεινῶς ἐν βρυγμῷ κινηθείσης. τοῦ δὲ Ἀνθυπάτου, καὶ τῆς Προκλιανῆς μετανοησάντων, εὐθὺς τῷ Ἀποστόλῳ, καὶ ἡ γῆ ἐστηρίχθη, καὶ ἀμφότεροι ἰάθησαν, καὶ τῷ Χριστῷ προσῆλθον. Πάντων δὲ τῶν τὴν Νῆσον οἰκούντων πειθηνίων τῷ Εὐαγγελικῷ κηρύγματι γενομένων, καὶ τῷ Χριστῷ διὰ τῆς Πίστεως προσελθόντων, ὡς μηδένα σχεδὸν ἀπολειφθῆναι, κοινὴ παρὰ πάντων πρὸς τὸν Ἀπόστολον παράκλησις γίνεται, ἐγγράφως τούτοις ἅπαν ἐκθέσθαι τὸ σωτήριον κήρυγμα. ὧν τὸν πόθον ἀποδεξάμενος, πείθεται τῇ αὐτῶν παρακλήσει, καὶ εἴς τι μετὰ τοῦ μαθητοῦ Προχόρου Ὄρος γενόμενος, τρεῖς ἡμέρας διῆγεν ἐν αὐτῷ ἄσιτος, δεόμενος τοῦ Θεοῦ περὶ τούτου. καὶ μετὰ τρεῖς ἡμέρας, ἀστραπῆς γενομένης μεγάλης καὶ βροντῆς, ὥς τε σαλευθῆναι τὸ Ὄρος, ἔπεσεν ὁ Πρόχορος ἐπὶ τῆς γῆς, καὶ γέγονεν ὡσεὶ νεκρός. ὁ δὲ Ἰωάννης ἀναστήσας αὐτὸν, καὶ καθίσας ἐκ δεξιῶν αὐτοῦ, καὶ ἀναβλέψας εἰς τὸν Οὐρανὸν, ἤρξατο λέγειν· Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ τὰ ἑξῆς. καὶ συμπεράνας τὸ ἱερώτατον καὶ πάνσεπτον Εὐαγγέλιον, παρέδωκε τοῦτο αὐτοῖς. κἀκεῖθεν εἰς ἅπαντα διεδόθη τὰ τοῦ Κόσμου πέρατα. Ἐξελθὼν δὲ εἰς τὴν Ἀγροικίαν, ἰάσατο τυφλόν. μετὰ ταῦτα ἦλθεν εἰς Ἔφεσον, εἶτα κἀκεῖσε διατρίψας ἅμα τῷ Προχόρῳ ἐπί τινα τῶν οὐ πόρρω πόλεων, νεανίσκον τινὰ, ὃν πρὸ τῆς εἰς Πάτμον ὑπερορίας τῷ τῆς Ἐκκλησίας Ἐπισκόπῳ ἦν παραθέμενος, τῶν τοῦ Ἐπισκόπου χειρῶν ἀποδράντα, καὶ λῃσταρχον ἤδη γενόμενον εὑρηκὼς, ἀνεκαλέσατο πρὸς μετάνοιαν. ἐν αὐτῇ καί τινα βάρη χρεῶν βαρούμενον οὐκ ὀλίγων, καὶ διὰ τοῦτο δὶς μὲν δηλητήριον φάρμακον πεποκότα δεινῶς, τὸ τοῦ θείου Σταυροῦ σημεῖον τῷ φαρμάκῳ ἐπιβαλόντα, ὡδήγησε πρὸς Χριστὸν, καὶ τοῦ θανάτου ἐῤῥύσατο. προσέτι δὲ καὶ τὸν τὸ φάρμακον δεδωκότα Ἑβραῖον ἐκπλαγέντα τῷ θαύματι, ἐπεὶ κατεῖδεν ὁ Θεῖος Ἀπόστολος τὸ Βάπτισμα ζητοῦντα, τὸν λόγον κατηχήσας τῆς Πίστεως, τοῦ λουτροῦ ἀξιοῖ τῆς θείας Ἀναγεννήσεως. Λύει δὲ καὶ τῷ ἐνδεεῖ ἐκείνῳ ἀνδρὶ τὰ τῆς ἀπορίας, χόρτον πολὺν ἀμείψας, εἰς χρυσὸν καθαρώτατον, καὶ αὐτῷ ἐπιδούς. Εἰς Ἔφεσον δὲ ὑποστρέψας, καὶ πολλὰ πλήθη προσαγαγὼν τῷ Χριστῷ, καὶ θαύματα ἐργασάμενος ἄπειρα, ἓξ πρὸς τοῖς εἴκοσι μετὰ τὴν ἐπανόδον ἔτη διατελέσας ἐν ταύτῃ. ἐννέα δὲ πρὸ τῆς ἐπανόδου. ἀπήλαυσε δὲ τῆς αὐτοῦ ἐνδημίας καὶ Πάτμος, πέντε πρὸς τοῖς δέκα. ἦν δὲ ὅτε εἰς Ἔφεσον ἐξ Ἱεροσολύμων ἀφίκετο, πεντήκοντα καὶ ἕξ, καὶ μηνῶν ἑπτὰ, ὡς εἶναι τὰ τῆς ἐν γῇ βιωτῆς αὐτοῦ ἔτη, πέντε πρὸς τοῖς ἑκατὸν, πρός δε, καὶ μῆνας ἑπτά. Δόμνου δὲ τηνικαῦτα τοῦτον ὁ οἶκος εἶχεν ἐν αὐτῷ διατρίβοντα. ὅθεν ἐξελθὼν σὺν τοῖς φοιτηταῖς ἑπτὰ τελοῦσι τὸν ἀριθμὸν, καὶ κατά τινα τόπον γενόμενος, ἐκεῖ τούτοις καθίσαι παρηγγυᾶτο. ἦν δὲ πρὸς ὄρθρον, καὶ μικρὸν ἀπ' αὐτῶν διαστὰς, καὶ πλεῖστα εὐξάμενος, ὑποστρέψας πρὸς αὐτοὺς, ἐν ἰσότητι τῆς αὐτοῦ ἡλικίας σταυροειδῶς ὀρύξαι διεκελεύσατο. τῶν δὲ τὸ κελευθὲν πληρωσάντων, αὐτὸς εἰς τὸ ὄρυγμα ἀπελθὼν, καὶ τὰ ἐξιτήρια αὐτοὺς ἀσπασάμενος, αὐτῶν τε πρὸς τὴν τοῦ Διδασκάλου στέρησιν περιπαθέστατα διατεθέντων, καὶ δάκρυσι καταβρεξάντων αὐτὸν, ἐπιτάσσει μέχρι τῶν γονάτων καλύψαι αὐτόν. οὗ δὴ γεγονότος, καὶ αὖθις αὐτοὺς ἀσπασάμενος, καὶ διδάξας, μέχρι τοῦ τραχήλου καλύπτεται. εἶτα ὀθόνης περιτεθείσης αὐτοῦ τῷ προσώπῳ, καὶ κατ' αὐτοῦ τῆς γῆς ἐνεχθείσης,

τέλεον

τέλεον ἐκαλύφθη, καὶ ὁ Ἥλιος αὐέταλε, καὶ αὐτὸς τὸ πνεῦμα παρέδωκεν. Ἐπὶ πολὺ τοίνυν θρηνήσαντες οἱ Μαθηταὶ τὸν ἀπορφανισμὸν τοῦ καλοῦ Διδασκάλου, ὑπέστρεψαν, τοῖς ἐν τῇ Πόλει τὰ κατ' αὐτὸν ἀπαγγέλλοντες. ἀκούσαντες δὲ τοῦτο οἱ ἐν τῇ Πόλει ἀδελφοὶ, καὶ ἐλθόντες, καὶ ὀρύξαντες, εὗρον, καὶ κλαύσαντες σφόδρα, καὶ ἐξάμενοι ὑπέστρεψαν εἰς τὴν Πόλιν. ὅθεν καὶ Πολυκράτης ὁ τῆς Ἐφέσου Παροικίας Ἐπίσκοπος, Βίκτορι τῷ Ἐπισκόπῳ Ῥώμης γράψας, ὅπως αὐταῖς λέξεσι φησί. Καὶ » γὰρ κατὰ τὴν Ἀσίαν μέγα στοιχεῖον κεκοίμηται, ὃ καὶ ἀναστήσεται τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς » Παρουσίας Κυρίου, Ἰωάννης ὁ ἐπιστήθιος Χριστοῦ. ὃς καὶ τὸ πέταλον πεφορηκὼς, καὶ Διδάσκαλος ἐν Ἐφέσῳ γενόμενος. Οὐ μὴν, ἀλλὰ καὶ ὁ Θεῖος Ἱππόλυτος, περὶ τοῦ κηρύγματος καὶ τῆς πληρώσεως τῶν Ἀποστόλων διεξιὼν, ἔφη· Ἰωάννης ὁ Ἀδελφὸς Ἰακώβου κηρύσσων ἐν τῇ Ἀσίᾳ τὸν λόγον, ἐξορίσθη ἐν Πάτμῳ τῇ Νήσῳ, κἀκεῖθεν πάλιν εἰς Ἔφεσον ἐκ τῆς ἐξορίας ἀνακληθεὶς ὑπὸ Νέρβα, πολλὰ ἐκεῖσε, ἃ τὸ Λάβρων παρὰ τῶν ἀποίκων τῆς Πόλεως πιστῶν ζητηθεὶ, οὐχ εὑρέθη. Ὁ δὲ τοῦ μεγάλου Γρηγορίου ἀδελφὸς Καισάριος, ἐπὶ σκηπτοῦ ἐν Κωνσταντινουπόλει ἐρωτηθεὶς περὶ τούτου, ὅπως ἀπεκρίνατο, λέγων. Αὐτὸς ὁ Ἰωάννης ἐν τῷ » κατ' αὐτὸν Εὐαγγελίῳ πρὸς τῷ πέλει, διεσάφησε τοῦτο φάσκων. καὶ τοῦτο εἰπὼν ὁ Ἰησοῦς, λέγει αὐτῷ, ἀκολούθει μοι. τουτέστι τῷ Πέτρῳ. ἐπιστραφεὶς δὲ ὁ Πέτρος, βλέπει τὸν Μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα, καὶ φησί. Κύριε, οὗτος δὲ τί; καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐὰν αὐτὸν θέλω μένειν » ἕως ἔρχομαι, τί πρὸς σέ; ἐξῆλθον οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς, ὅτι ὁ Μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει. ὅθεν καί τινες ὡς κατὰ πρόφασιν τοῦδε τοῦ λόγου φασὶ, μὴπω καὶ σήμερον θανάτου παρὰ τοῦ Ἰωάννου λαβεῖν, ἀλλὰ μετατεθῆναι. ἔχει δὲ ὅμως οὐχ ὅπως τὸ ἀληθές. ἐπεὶ γὰρ ἀλιεύοντας αὐτοὺς εὗρεν ὁ Χριστὸς, τῷ Πέτρῳ μόνῳ προσέταξεν ἕπεσθαι αὐτῷ. ὁ δὲ, συμπορεύεσθαι αὐτῷ καὶ τὸν Ἰωάννου βουλόμενος, ἔφη· Κύριε, οὗτος δὲ τί; ὃν θεασάμενος ὁ Ἰησοῦς προσμονὴν ἐπὶ τῆς ἁλιείας, φησὶν· ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι ἐνταῦθα, καὶ ἁλιεύειν, ἕως αὖ ὑποστρέψω πάλιν, τί πρὸς σέ; ὥστε ἦν τοῦ τῷ Χριστῷ φιλούμενον Ἰωάννου, ἀποθανεῖν ἤδη, ἐπεὶ καὶ ὁ τάφος, εἴθα κεῖται, δῆλος ἦν. βεβαιοῖ δὲ μάλιστα τοῦτο καὶ ὁ μέγας ὑφηγητὴς, καὶ Ἰσαποστόλος Ἰωάννης ὁ χρυσοῦς τοῦ γλώττου, ἐν τῷ ἑκοστῷ δευτέρῳ, καὶ ἐν τῷ ἑκοστῷ ἕκτῳ τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς Κεφαλαίῳ, οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐν τῷ ἑκοστῷ ἕκτῳ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, ἀλλὰ καὶ ἐν τῷ ἑκοστῷ τοῦ κατὰ Ἰωάννου διαλαμβάνει, καὶ ἐν τούτοις σωφρονεῖ καὶ μέχρι τοῦ νῦν καὶ ἡ ἀναδιδομένη κόνις λεπτὴ τοῦ τάφου αὐτοῦ, ἣν κατὰ τοῦ ὀγδόου τοῦ Μαΐου πηγάζειν πᾶσι διέγνωσαι.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Τὸν Ἀντίθεον πρόσαγμα παρανομοῦντος, Τυράννου μεμέρισται τοῖς φλόγα ἀέρρίπισε, Χριστὸς δὲ ἐφύπλωσε, Θεοσεβέσι Παισὶ, δρόσον τοῦ τοῦ Πνεύματος, ὃν ὑμνημένος καὶ ὑπερένδοξος.

Ἰσχύς μου καὶ ὕμνησις καὶ σωτηρία, Βεβαία αὐτίληψις, καὶ ταχὺς ἀπροσμάχητον, ὑπάρχουσα Δέσποινα, τοὺς πολεμοῦντάς με, δαίμονας πολέμησον ἀεὶ, ἐπιζητοῦντάς τὸ θανατῶσαί με.

Θεὸν σωματώσασα παρθενικῶν σε, αἱμάτων ἐθέωσας, Παρθενίε τὸ ἀνθρώπινον. διό με τοῖς πάθεσι καταρρυπούμενον, καὶ καταφθειρόμενον ἐχθρὸς, ταῖς μεθοδείαις ῥῦσαι πρεσβείαις σου.

Κάμινος γεγένησαι προδιετύπου, τοῦ σοῦ Παναμώμητε. τοὺς Παῖδας γὰρ οὐκ ἔφλεξεν, ὡς οὐδὲ τοῦ μήτραν σε τὸ πῦρ τὸ ἄσχετον. ὅθεν ἱκετεύω σε πυρὸς, τοῦ αἰωνίου ῥῦσαι τὸν δοῦλόν σου.

Εἱρμὸς, ὁ αὐτός.

Τῇ θείᾳ λαμπόμενος φωτοχυσίᾳ, τὸ Πνεῦμα τὸ Ἅγιον τρανῶς ἐθεολόγησας, τὸ ἐκπορευόμενον ἐκ τοῦ Ἀνάρχου Πατρὸς, καὶ ἀναπαυόμενον Υἱῷ, ἀνεκφοιτήτως ὡς ὁμοούσιον.

Σὺν σοὶ Μάκαρ ἔθετο Δικαιοσύνης, ὁ Ἥλιος σκιώμενα, Οὐρανὸν ἀκίνητον, ὁ σὲ ἐργασάμενος, καὶ θεολόγησε, γλώττῃ κηρυττόμενος Χρυσὸς, ἠγαπημένε ὑπερένδοξος.

Ῥη-

Τὸ Ἡλίπαν ἡ δυϋαμις ὁ θᾶος φθόγγος, ϗ τῆϐ σῶν ᾒξελήλυθε, Παμμάκαρ ἀξιάγασε, ϗ τὸ ὑπερκόσμιον σῶ Εὐαγγέλιον, πᾶσαν περιέλαβε τὴν γῆν, τῇ τῆϐ δογμάτων μεγαλειότητι. Θεοτοκίον.

Ἀνάλωφον Σύλληψιν, ἄφθορον Τόκον, Σὺ μόνη ὑπέδαξας, Παρθένος διαμείνασα. Θεὸν γὰϐ σωτέλαβες, τὸν ἐπὶ πάντων Ἄγνὴ, Ἄνθρωπον γενόμενον πιστῶν, πρὸς σωτηρίαν ϗ ἀπολύτρωσιν.

Ἄλλος. Δροσοβόλον μοί.

Μὴν βροντῶ τιὼ διηχήσασαν, ὡς ἅπαντα τὰ πέρατα ὑμνήσωμεν, τὸν Θεολόγον, δι' ὃ πᾶσα ὄντως ἀκοὴ, ἐμβρόντητος ἦρθη ἀπὸ γῆς, καὶ μεγαλωύεται Χριστὸς, ὁ τῶ παντὸς Ποιητής.

Περιβλεπτος τῶ οἴκου σε πρέπεια, πᾶσαν φαιδρωύει ἔννοιαν· σὺ ᾧ πάντοτε ἀθροιζόμενοι θεοπρεπῶς, ὑμνοῦμεν τὸν πάντων Ποιητὴν, καὶ ἀφημνοῦμέν σε πίστως, ὅπα προσάτιν ἡμῶν.

Φωτοβόλον ὡς ἀέρα σε γνώσκομεν, ταῖς σελασφόροις λάμψεσι, σῶ φωτίζεθαι, Μαθηταὶ δεόμεθα Χριστῶ, ῥυόμενοι σκότους τῆϐ παθῶν, ϗ πασμῶν παντοδαπῶν, τῇ μεσιτείᾳ σε. Θεοτοκίον,

Γλογημὸν σε Παναμωμε κυήσασαν, ἀλογημένον Κύριον, τὸν ἀλογίαις, καπασέψαντα ταῖς Θείκαις, ἐπάρατον φύσιν τῆϐ βροτῶν, καὶ καινεργήσαντα ἡμᾶς, παλαιωθέντας φθορᾶ.

Καπαβασία. Οὐκ ἐλάτρευσαν τῇ Κτίσα.

Ὠδὴ ἡ. Ὁ Εἱρμός.

Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι, τοὺς ἐνεργείᾳ διεμέριζε τῶ Θεῴ προσάγματι, τοὺς Χαλδαίους καπαφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλοντας· ἀλογᾶτε παύτα τὰ ἔργα Κυρίε τὸν Κύριον.

Ἦλθε τὰ καλὰ, κακῶν μακρυωμοίη, δι' ἐμμελείας θείων πράξεων, ψυχή μοι πρεσβεύουσα, ὑπὲρ σῶ τιὼ Θεομήτορα, ϗ πάντων ἀκαταίσχυντον, ἔχουσα προσασίαν, ὡς συμπαθῆ ϗ φιλάνθρωπον.

Λύσας δεσμὰ, τῆς πάλαι καπαδίκης, Θεοκυήτωρ τὸ ἀνθρώπινον. ὅθεν ἱκετεύωσε, διαλύσαι παύτα σιύδεσμον, κακίας τῆς καρδίας μοι, Ἄχραντε συνδεσμοῦσα, Θεῖα ϛοργῇ με τῶ Κτίσαντος.

Δόξης τὸ Πατρὸς, ἀπαύγασμα τεκοῦσα, τιὼ ἀδοξίᾳ σκυθρωπάζουσαν, πταισμάτων καρδίαν μοι, Θεοτόκε καπαφαίδρυνον, ϗ δόξης με ἀνάδαξον, μέτοχον ἀϊδίε, ὅπως ἐν πίσει δοξάζωσε.

Εἱρμὸς, ὁ αὐτός.

Ὥσπερ ἀσραπὴ, φωτὸς διερχομένη, τῇ Οἰκουμένη Μάκαρ ἔφανας, Ἀγνείᾳ, λαμπρότητι, Παρθενίας τε φανότητι, καὶ δόσεβείας δόγμασι, Κόσμον καπαλαμπρύνων, ἠγαπημένε Χριστῷ τῶ Θεῷ.

Σῶμα ϗ ψυχιὼ, καὶ νᾶν κεκαθαρμένος, ἀνυμνολίσω τὸ Οὐράνιον, Χριστῶ Εὐαγγέλιον, ϗ Ἀγγέλοις ὁμοδίαιτος, ἐν Οὐρανοῖς γενόμενος, κράζας νιὼ ἀλογᾶτε, παύτα τὰ ἔργα τὸν Κύριον.

Γαλμα φαιδρὸν, αὐάθημάτε Θεῶν, Ἐπαρανίε Ναῶ γέγονας, ϗ θρόνος αἰθήσεως, ϗ σοφίας ἐνδιαίτημα, Θεολογίας ὄργανον, μέλπων ὑπερυψῶτε, παύτα τὰ ἔργα τὸν Κύριον.

Θεοτοκίον.

Ἵνα τὴν ἀρὰν, τιὼ πρώτιω ἀφανίσῃς, ϗ τῶ θανάτω τὸ καπάκριμα, τῆς πάλαι Προμήτορος, ἐκ Παρθενίε Θεομήτορος, λόγε Θεῶ γεγένησαι, πᾶσι δεδωρημένος, ἀθανασίαν αὐώλεθρον.

Ἄλλος. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ἡπορήσασαν γλώσσαν, Μάκαρ ἀπόρησας, ϗ θανόπας κακίᾳ, παύτας ἐζώγρησας, τὸς τὸ ἱερὸν δεξαμενὸς σε κήρυγμα. ὅθεν σε τιμῶμεν, ὡς Μύσην τῆϐ ἀῤῥήτων.

Σ Παράδασος ἄλλος, ὁ Θᾶος οἶκός σε, αὐαδέδεικται θαύμασιν, ὥσπερ αὖθεσι, παύτων τὰς ψυχὰς ἐνηδύνων· Ἀπόσολε, καὶ τῆϐ παθημάτων, διώκων τὸ δυσῶδες.

Θεὸς ὁ Θεός με, πρόσχες ϗ ῥῦσαί με, ἐξ ἐχθρῶν καθ' ἑκάσω, ἐπεμβαινόντων μοι, καὶ τιὼ παπανιὼ σιωπεμβόντων καρδίαν μοι, ἔχων δυσωπῶντα, τὸν Θᾶον Μαθητιὼ σε. Θεοτοκίον.

Ἡσῶν τὸν Σωτῆρα, ὃν ἐσωμάτωσας, ἐξ ἀγνῶν σε αἱμάτων, Θεοχαρίτωτε, αἴτησαι ἡμᾶς οἰκτιρῆσαι τὰς ἀνόμας σε, ϗ τῆς αἰωνίε, κολάσεως ἐξάραι.

Καπαβασία. Παῖδας διαγᾶς.

Ὠδὴ

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„ Ἀ Νάρχου Γεννήτορος, Υἱὸς Θεὸς καὶ Κύ-
„ ριος, σαρκωθεὶς ἐκ Παρθένου ἡμῖν
„ ἐπέφανε, τὰ ἐσκορπισμένα φωτίσαι, συ-
„ ναγαγεῖν τὰ ἐσκοτισμένα. διὸ τὴν πανύ-
„ μνητον, Θεοτόκον μεγαλύνομεν.

Ἐυσάμενος βρώσεως, μὴ προσηκούσης θάνατον, ὁ Ἀδὰμ ἐκ τοῦ ξύλου πικρῶς ἐτρύγησε. Ξύλῳ δὲ παγεὶς ὁ Υἱός σου, τὸν γλυκασμὸν τῆς ἀθανασίας, ἐπήγασεν Ἄχραντε. διὰ τοῦτό σε γεραίρομεν.

Βασίλισσα πέφυκας, τὸν Βασιλέα Κύριον, ὑπὲρ λόγον τεκοῦσα τὸν διαλύσαντα, ᾅδου τὰ βασίλεια Κόρη. ὃν ἐκτενῶς, δυσώπει τῆς ἄνω, Βασιλείας ἅπαντας, ἀξιῶσαι τοὺς τιμῶντάς σε.

Ἀγάθυνον Δέσποινα, τὴν ταπεινὴν καρδίαν μου, ἡδονῶν κακωθεῖσαν ταῖς ἐπικλύσεσιν, ὡς τὸν ἀγαθὸν τετοκυῖα, καὶ ἀγαθὴ ὑπάρχουσα ὅλη, καὶ πρὸς μετανοίας με, ἀγαθὰς πύλας εἰσάγαγε.

Εἱρμὸς, ὁ αὐτός.

Ἦν οὐκ ἐν αἰνίγματι, πρὸς πρόσωπον δὲ πρόσωπον, τῆς τρυφῆς τὸν χειμάῤῥουν ὁρᾷν ἠξίωσαι, καὶ τὸν ποταμὸν τῆς εἰρήνης, καὶ τὴν πηγὴν τῆς ἀθανασίας, ἣν νῦν ἀρδευόμενος, ἀπολαύεις τῆς Θεώσεως.

Ἐπίγειον ᾔτησας, παρὰ Χριστοῦ καθέδραν λαβεῖν· ἀλλ' αὐτός σοι τὸ στῆθος αὐτοῦ χαρίζεται. ᾧ ἐπικλιθεὶς Θεολόγε, τὴν ἀσφαλῆ, καὶ μόνιμον ἕδραν, τοῦ καλοῦ πεπλούτηκας, Ἀποστόλων ἐγκαλλώπισμα.

Σοφίας κατέσβεσας, Ἑλληνικῆς τὸ ἄθεον, ἐν ἀρχῇ ἦν ὁ Λόγος Σοφὲ φθεγξάμενος, πρὸς τὸν Θεὸν ἦν ὁ Λόγος, καὶ ἀληθῶς Θεὸς ἦν ὁ Λόγος, δι' οὗ πάντα γέγονεν, ὁρατὰ καὶ τὰ ἀόρατα. Θεοτοκίον.

Ὡς ὄρθρος εὑρέθης πρωϊνὸς, ἐν τῇ τοῦ βίου νυκτὶ, Παρθενίας ἀκτῖσι περιαστράπτουσα, τὴν Ἀνατολὴν τοῦ Ἡλίου, τοῦ νοητοῦ, τῆς Δικαιοσύνης, ἡμῖν φανερώσασα, Θεομῆτορ πανσεβάσμιε.

Ἄλλος. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ὡρῶν καὶ χρόνων ὑπάρχων Κύριος, ὁ λυτρωτὴς μεσούσης τῆς ἡμέρας ἐκρέμα. το, ἐπὶ Ξύλου καὶ σοὶ παρετίθετο, οἷα Παρθένῳ Μάκαρ, τὴν Ἀειπάρθενον, κλέος ἀναφαίρετον διδοὺς, τοῦ μεγαλύνειν σε.

Ὑπὸ ταῖς ἄνω Θείαις Δυνάμεσι, καὶ σὺν αὐταῖς τὸ Θεῖον ἀνακράζων μελῴδημα, τοὺς ἐν οἴκῳ ἁγίῳ σου ψάλλοντας, καὶ ἀνυμνολογοῦντας τὸν ὑπεράγαθον, σῶζε μεσιτείαις σου σεπταῖς, Χριστοῦ Ἀπόστολε.

Ἡμᾶς τοὺς πίστει παρακαλοῦντάς σε, σῶζε παντὸς κινδύνου Θεολόγε μακάριε, τὰς πορείας ἡμῶν τὰς πρὸς Κύριον, πνεύματι κατευθύνων, καὶ ὁδηγῶν ἡμᾶς, εἰς ὁδὸν εἰρήνης ἐντολῶν, τοῦ Παντοκράτορος. θ'.

Φωνὴν προσάξωμεν χαριστήριον, τῇ τοῦ Θεοῦ Μητρὶ περιφανῶς καὶ βοήσωμεν· χαῖρε Θρόνε Θεοῦ ὑψηλότατε. χαῖρε φωτὸς Νεφέλη. χαῖρε Παράδεισε. δι' ἧς Παραδείσου τῆς τρυφῆς κατηξιώθημεν.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τρόντης Υἱὸς γενόμενος, βροτοῖς ἐθεολόγησας, τὸ ἐν ἀρχῇ ἦν ὁ Λόγος, Ἀπόστολε Ἰωάννη. ἐπιπεσὼν τῷ στήθει γὰρ, πιστῶς τῷ τοῦ Δεσπότου σου, κἀκεῖθεν ἀρυσάμενος, Θεολογίας τὰ ῥεῖθρα, τὴν Κτίσιν πᾶσαν ἀρδεύεις.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ τῷ τοῦ Κυρίου σου, παρισταμένη Πάναγνε, σὺν Μαθητῇ τῷ Παρθένῳ, ἰδοὺ φησὶν ὁ Υἱός σου, ἀκήκοας τοῦ Πλάσαντος, τῷ Μαθητῇ ὡσαύτως δὲ, ἰδοὺ φησὶν ἡ Μήτηρ σου. μεθ' οὗσε πάντες ὑμνοῦμεν, Θεογεννῆτορ Παρθένε.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν ϛ'. δ'. καὶ ψάλλομεν ϛ'. προσόμοια, ἦχος πλ.

Ὦ τοῦ παραδόξου θαύματος.

Μάκαρ Ἰωάννη πάνσοφε, περιουσίᾳ θερμῇ, τῆς Χριστοῦ ἀγαπήσεως, πλέον πάντων πέφηνας, Μαθητῶν ἀγαπώμενος, τῷ Παντεπόπτῃ, Λόγῳ καὶ κρίνοντι, δικαίοις πᾶσαν τὴν Οἰκουμένην ζυγοῖς, τῆς καθαρότητος, καὶ ἁγνείας κάλλεσι καταυγασθεὶς, σῶμα καὶ διανοίαν, Θεομακάριστε.

Ὅμοιον.

Θεολογίας τὰ νάματα, ἐπὶ τοῦ στήθους πεσὼν, τῆς σοφίας ἐξηύτλησας, καὶ τὸν Κόσμον ἤρδευσας, Ἰωάννη πανάριστε, τῇ τῆς Τριάδος, γνώσει τὴν θάλασσαν, καταξηράνας τῆς ἀθεότητος, στύλος γενόμενος, καὶ νεφέλη ἔμψυχος καθοδηγῶν, πρὸς τὴν Ἐπουράνιον κληροδοσίαν ἡμᾶς.

Ὅμοιον.

Ὅμοιον.

Ὁ παρθενίας ἀπάνθισμα, τὸ τῶν σεπτῶν ἀρετῶν, δεκτικὸν ἐνδιαίτημα, τῆς σοφίας ὄργανον, τὸ τοῦ Πνεύματος τέμενος, τὸ φωτοφόρον στόμα τῆς χάριτος, τῆς Ἐκκλησίας τὸ φαεινότατον, ὄμμα τὸ πάνσεπτον, Ἰωάννην ᾄσμασι πνευματικοῖς, νῦν ἀνευφημήσωμεν, ὡς ὑπηρέτην Χριστοῦ. Ὅμοιον.

Εὐαγγελιστὰ Θεσπέσιε, τῶν ἀγαθῶν τὴν πηγὴν, Βασιλείαν ἀσάλευτον, τὴν ζωὴν αἰώνιον, καὶ χαρὰν ἀνεκλάλητον, καὶ θεωρίας θείας ἀπόλαυσιν, καὶ πλουτοδότως Χριστοῦ χαρίσματα, νῦν ὑπερβαίνοντα, καὶ βροτῶν διάνοιαν, γόνε Βροντῆς, εὐαγγελιζόμενος, τῷ Κόσμῳ ἔλαμψας.

Δόξα, ἦχος πλ.

Εὐαγγελιστὰ Ἰωάννη, ἰσάγγελε Παρθένε, Θεολόγε θεοδίδακτε, ὀρθοδόξως τῷ Κόσμῳ, τὴν ἄχραντον πλευρὰν, τὸ Αἷμα καὶ τὸ Ὕδωρ βλύζουσαν ἐκήρυξας· ἐν ᾧ τὴν αἰώνιον ζωὴν πορίζόμεθα ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά. Καὶ ἐκ τῶν Κανόνων, ᾠδὴ γ'. καὶ ς'. Καὶ Τροπάριον, τοῦ Ἁγίου. Δόξα, καὶ νῦν. Τὸ Κοντάκιον. μετὰ τὸν Τρισάγιον ὕμνον. Προκείμενον, ἦχος πλ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. ξι. Οἱ Οὐρανοὶ διηγοῦνται. Ὁ Ἀπόστολος. Καθολικῆς Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα. Θεὸν οὐδεὶς ἑώρακε πώποτε. Ἀλληλούια. Ἐξομολογήσονται οἱ Οὐρανοί. ξι. Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ. Εὐαγγέλιον κατὰ Ἰωάννην. Τῷ καιρῷ ἐκείνῳ, εἱστήκησαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Καὶ τὰ λοιπά.

Μηνὶ τῷ αὐτῷ ΚΖ'.

Τοῦ Ἁγίου Μάρτυρος Καλλιστράτου, καὶ τῶν σὺν αὐτῷ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ξι. ς'. καὶ ψάλλομεν ξι. ἦχος πλ.

Ὦ τοῦ Παραδόξου θαύματος.

Μάρτυς ἀθλητὰ Καλλίστρατε, τῆς εὐσεβείας φωτὶ, φωτισθεὶς τὴν διάνοιαν, τὴν ὁδὸν ἐβάδισας, ἀκλινῶς τὴν εἰσάγουσαν. πρὸς τὴν ἐκεῖθεν μακαριότητα, νικήσας πάντα τὰ μηχανήματα, τοῦ πολεμήτορος. ὅθεν εὐφημοῦμέν σε, τὴν ἱερὰν, μνήμην σου γεραίροντες, μακαριώτατε. Ὅμοιον.

Μάρτυς θεόφρον Καλλίστρατε, λόγον πλουτήσας ζωῆς, πρὸς ζωὴν καθωδήγησας, ἀγνωσίᾳ πρότερον, τοὺς ἀθλίως τεθνήξαντας, οἳ καὶ θανόντες προθύμως ἔνδοξοι, διὰ τὴν πάντων ἡμῶν ἀνάστασιν, ζῆν ἀληθέστατα, ἐν Χριστῷ πιστεύονται. μεθ' ὧν ἡμῶν, μέμνησο πρὸς Κύριον, τὸν ὑπεράγαθον. Ὅμοιον.

Μάρτυς ἱερὲ Γυμνάσιε, ξίφει τὴν κάραν τμηθεὶς, τῇ πλημμύρᾳ τοῦ αἵματος, Φαραὼ τὸν δόλιον, ἀληθῶς κατεπόντισας. καὶ νῦν πηγάζεις πᾶσιν ἰάματα, τοῖς τῷ Ναῷ σου πίστει προστρέχουσι, καὶ τοὺς ἀγῶνάς σου, ἐν αὐτῷ γεραίρουσι, καὶ τὴν σεπτὴν, μνήμην σου μακάριε, πανηγυρίζουσιν.

Δόξα, ἦχος δ'. Βυζαντίου.

Πρὸ τοῦ τιμίου Σταυροῦ σου, φοβερὸς ὁ θάνατος τοῖς ἀνθρώποις· μετὰ τὸ ἔνδοξον Πάθος, φοβερὸς ὁ ἄνθρωπος τῷ θανάτῳ. οὕτως ἐνίχυσεν ὁ Ἀθλοφόρος, οὕτω κατήργησε πᾶσαν τοῦ ἐχθροῦ τὴν δυνάμιν. αὐτοῦ ταῖς πρεσβείαις, Χριστὲ, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. θτ. Ἔδωκας σημείωσιν.

Χαίροις Ἡλιόμορφε, Ἡλίου ἄδυτον ὄχημα, ἡ τὸν Ἥλιον λάμψασα, τὸν ἀπερινόητον. χαῖρε νοῦς ἀστράπτων, θείαις φρυκτωρίαις, ἡ λαμπηδὼν τῆς ἀστραπῆς, ἡ διαυγάζουσα γῆς τὰ πέρατα. ἡ ὄντως χρυσαυγίζουσα, ἡ παγκαλὴς καὶ πανάμωμος, ἡ τὸ φῶς τὸ ἀνέσπερον, τοῖς πιστοῖς ἐξαστράψασα. Σταυροθεοτόκιον. Ὅμοιον.

Νεκρούμενον βλέπουσα, Χριστὸν ἡ πάναγνος Δέσποινα, καὶ νεκροῦντα τὸν δόλιον, ὡς Δεσπότην κλαίουσα, ὕμνει τὸν ἐκ σπλάγχνων, αὐτῆς προελθόντα, καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα ἀνεκραύγαζε· τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου, μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

Εἰς

Εἰς τὸν ξι. ξι. τῆς Ὀκτωήχου.

Τροπάριον, ἦχ. δ'. Οἱ Μάρτυρές σου Κύριε. Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ξιλο. Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου. Οὗ ἡ ἀκροξι. Τῷ παμμεγίστῳ προσκαλῶ Καλλιστράτῳ.

Ἰωσήφ. Ὠδὴ α'. ἦχος πλ.

Ἆσμα ἀναπέμψωμεν λαοί.

ΣΡίβον διοδεύσας ἀκλινῶς, τοῦ μαρτυρίου γέγονας, πεπλανημένοις ὁδὸς, πρὸς θείας καταπαύσεις, Παμμάκαρ εἰσάγουσα. ὅθεν σε συνελθόντες, εὐφημοῦμεν Καλλίστρατε πίστει.

Ὥσπερ φαεινότατος ἀστὴρ, ἐξανατείλας ηὔγασας, θεογνωσίας φωτὶ, Χριστοῦ τὴν Ἐκκλησίαν· τὸ σκότος δὲ ἤλασας, Μάρτυς τῆς ἀγνωσίας, καὶ τεμένη τῆς πλάνης καθεῖλες.

ΠΆντα πειρασμὸν καρτερικῶς, ὑπενεγκὼν Καλλίστρατε, διὰ τὴν πάντων ζωὴν, θανεῖν οὐ παρῃτήσω. διὸ πρὸς ἀθάνατον, χαίρων λῆξιν μετέβης, καὶ Ἀγγέλων χοροῖς συναγάλλῃ.

ἈΝθραξ Θείου Πνεύματος πυρὶ, ὁ Ἱερὸς Γυμνάσιος, προσαναπτόμενος, ἐδείχθη καὶ τῆς πλάνης, τὴν ὕλην κατέφλεξε. θαύμασι δὲ δροσίζει, φλεγομένους καύσει παθημάτων. θτ.

ΜΟνὴ γυναικῶν κυοφορεῖς, ὑπερφυῶς, Πανάμωμε, πεῖραν μὴ γνοῦσα ἀνδρὸς, τὸν εἷα τῆς Τριάδος. διό σε δοξάζομεν, καὶ τὸν ἐκ σοῦ τεχθέντα, ὑπὲρ πᾶσαν αἰτίαν καὶ λόγον.

Ὠδὴ γ'. Ὁ στερεώσας λόγῳ.

ΜΗ ἐπιθύσας ὅλως γλυπτοῖς θεοῖς, καθαρὰ θυσία προσηνέχθης Θεῷ, ὑπὲρ ἡμῶν τῷ τυθέντι, Μάρτυς Ἀθλοφόρε Καλλίστρατε.

Ἐστολισμένος χλαῖναν ἐξ ἱερῶν, βεβαμμένην Μάρτυς ὄντως αἱμάτων σου, τῷ Βασιλεῖ τῶν αἰώνων, μάκαρ στεφηφόρος παρίστασαι.

ΤΕγυμνωμένος ὤφθη ὁ δυσμενὴς, σοῦ τὴν θείαν δόξαν, καὶ τῶν σὺν σοὶ Ἀθλητῶν, ἐνδυσαμένων ἐξ ὕψους, βλέπων Ἀθλοφόρε Γυμνάσιε. Θεοτοκίον.

ΤΚετηρίαν ποίησον ἐκτενῆ, πρὸς τὸν σὸν Υἱὸν Παρθένε, τοῦ σῶσαι ἡμᾶς, προσδοκωμένων κινδύνων, καὶ αἰωνιζούσης κολάσεως.

Ὁ Εἱρμός.

Ὁ Στερεώσας λόγῳ τοὺς Οὐρανοὺς, καὶ τὴν γῆν ἑδράσας ἐπὶ ὑδάτων πολλῶν, στερέωσόν με πρὸς ὕμνον, τῆς δοξολογίας σου Κύριε.

Κα. ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

ΚΑλλιστράτου τοὺς ἄθλους ἀνευφημήσωμεν, Γυμνασίου τοὺς πόνους ὑμνολογήσωμεν. σὺν αὐτοῖς τοὺς καρτερῶς πόθῳ ἀθλήσαντας, μακαρίσωμεν πιστοὶ, καὶ ἐκβοήσωμεν αὐτοῖς· Ὁπλῖται τῆς εὐσεβείας, αἰτήσασθε δωρηθῆναι, ἡμῖν εἰρήνην καὶ μέγα ἔλεος. Θεοτοκίον.

ΣΩν παθῶν με ταράττει Ἁγνὴ κλυδώνιον, καὶ δονεῖ συνταράττει καὶ καταπνίγει με, καὶ οὐκ ἐᾷ με πειρασμῶν, φόρτον ἐπάγον μοι. αὐτή με τοίνυν ἀγαθὴ, ἀνάγαγε Θεοτόκε, καὶ κινδύνου ἐλευθέρωσον. ἔχεις γὰρ τὸ θέλειν καὶ τὸ δύνασθαι, ὡς Μήτηρ οὖσα τοῦ πάντων Θεοῦ.

Σταυροθεοτοκίον. Ὅμοιον.

ΣΩ Σταυρῷ ὡς ἐπάγης, μόνε μακρόθυμε, καὶ ἐτρώθης τῇ λόγχῃ, τὴν ἀκήρατον, Πλευρὰν μακρόθυμε Χριστὲ, καὶ πολυεύσπλαγχνε, ἡ σὲ ἀῤῥήτως ἀπαθῶς, σαρκὶ κυήσασα, ὠδύρετο καὶ ἔκλαιεν. ὅμως ὑμνολόγει τὴν θείαν καὶ πολλὴν, καὶ ἄπειρόν σου συγκατάβασιν.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

ΕΤρατηγὸς ὥσπερ ἄριστος μάρτυς τῷ διώκτῃ παραταξείμενος, ἐσαγήνευσας πρὸς θείαν ζωὴν, αἰχμαλώτους πάλαι οὓς ἐκέκτητο.

ΣΗ πλημμύρᾳ τῶν λόγων σου, ἤρδευσας καρδίας, καὶ καθωδήγησας, πρὸς τὸ ὕδωρ τὸ ἀείζωον, Ἀθλητὰ Κυρίου ἀξιάγαστε.

ὡς Κριὸς σφαγιάζεται, ἔχων ὥσπερ ἄρνας προθυομένους αὐτοῦ, ὁ ἀοίδιμος Καλλίστρατος, τοὺς στεῤῥοὺς Ὁπλίτας προθυμότατα.

ΠΙανθεὶς ὁ Γυμνάσιος, ἄμπελος καθάπερ Μάρτυς τῷ λόγῳ σου, μαρτυρίου βότρυν ἤνθησεν, εὐσεβείας οἶνον ἀποστάζοντα. Θεοτοκίον.

ΡΥπωθεῖσαν τοῖς πάθεσι, Κόρη τὴν καρδίαν μου ἀποκάθαρον, καὶ δοχεῖον ἀποτέλεσον, καθαρὸν ἐνθέων ἐπιλάμψεων.

Ὠδὴ ε'. Ὁ ἐκ νυκτὸς ἀγνοίας.

Ὁλοκαρδίως Μάρτυς, ἐπιποθήσας Χριστὸν τὸν Θεὸν ἡμῶν, ἴσχυσας καὶ τὸ κράτος, ὤλεσας ἐχθροῦ τὸ ἀνίσχυρον.

Στρα-

Στρατολογίας θείας, ἀναφανεὶς κορυφαῖος Καλλίστρατε, στρατιαῖς τῶν Ἀγγέλων, Μάρτυς ἠριθμήθης γηθόμενος.

Ἐλαμπρυσμένος δόξῃ, μαρτυρικῆς ἀγλαΐας Γυμνάσιε, χαίρων νῦν μετετέθης, πρὸς τὰς τῶν Ἀγγέλων λαμπρότητας.

Θεοτοκίον.

Ἀνατολὴ ἐδείχθης, Δικαιοσύνης Ἡλίου Πανάμωμε. ὃν ἱκέτευε σῶσαι, τοὺς εἰλικρινῶς σε δοξάζοντας.

Ὠδὴ ς'. Γλάσθητί μοι Σωτήρ.

Ἐόντων μύλας σοφὲ, τῶν ἀοράτων συνέθλασας, καὶ βρῶμα τοῦ δυσμενοῦς, τοὺς πάλαι ὑπάρχοντας, Θεοῦ τέκνα ἔδειξας, καὶ τρυφῆς ἀΰλου, κοινωνοὺς Μάρτυς Καλλίστρατε.

Κυρίῳ τοὺς ἑαυτῶν, αὐχένας κλίναντες Μάρτυρες, ἐδέξασθε τὴν σφαγὴν, καὶ θύματα τέλεια, Θεῷ προσηνέχθητε, καὶ τὴν πρωτοτόκων, Ἐκκλησίαν ἐφαιδρύνατε.

Ὡραίως περὶ Θεοῦ, τὸν θεῖον λόγον ποιούμενος, θεοῖς ἀψύχοις τοὺς πρὶν, ἀθλίως προσέχοντας, ἐνθέους ἀπέδειξας, σὺν αὐτοῖς ἀθλήσας, περιβόητε Καλλίστρατε.

Ἁγίασόν μου τὸν νοῦν, καὶ φώτισον τὴν καρδίαν μου, Ἁγία Μήτηρ Θεοῦ, καὶ τῶν συνεχόντων με, δυχερῶν ἀπάλλαξον, ἵνα σε δοξάζω, Θεοτόκε Ἀειπάρθενε.

Κοντάκ. ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὥσπερ ἄστρον μέγιστον, ἔλαμψας Κόσμῳ, τὰς ἀκτῖνας ἅπασιν, τῶν σῶν ἀγώνων ἐφαπλῶν, καὶ τῶν θαυμάτων τοῖς κράζουσι· χαίροις Μαρτύρων, τὸ κλέος Καλλίστρατε.

Ὁ Οἶκος.

Ὃν τοῦ Κυρίου Ἀθλητὴν, καὶ μέγαν Στρατιώτην, καὶ φίλον τῆς Τριάδος, καὶ Μύστην τῶν ἀῤῥήτων, καὶ μιμητὴν τοῦ Ἰησοῦ, ᾄσμασιν ἐν πίστει συνελθόντες οἱ πιστοὶ, χαρμονικῶς ὑμνήσωμεν, γεραίροντες αὐτοῦ τὰ παλαίσματα καὶ τὰς ἀριστείας, τοὺς πόνους οὓς ὑπέστη διὰ Χριστὸν τὸν Παμβασιλέα. αἰτούμενοι τυχεῖν αὐτοῦ ταῖς πρεσβείαις, τῆς ἀμείνονος ζωῆς τοῦ Παραδείσου. ἔνθα οἱ χοροὶ εὐφραίνονται τῶν κραζόντων· χαίροις Μαρτύρων, τὸ κλέος Καλλίστρατε.

Τῷ αὐτῷ Μηνὶ κζ'. Μνήμη τῆς Ἁγίας Μάρτυρος Ἐπιχάρεως.

ξι. Εὔτολμος Ἐπίχαρις ἦν πρὸς τὸ ξίφος, Συλλήπτορα πλουτοῦσα τὴν θείαν χάριν. Εἰκάδι ἑβδομάτῃ Ἐπίχαρις φάσγανον ἔτλη.

Ἐπίχαρις ἡ τοῦ Χριστοῦ Μάρτυς ὑπῆρχεν ἐν Ῥώμῃ ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως. ἐκρατήθη δὲ παρὰ Καισαρίου τοῦ Ἐπάρχου, καὶ ὁμολογήσασα παῤῥησία τὸ ὄνομα τῶν Χριστοῦ, κρεμᾶται, καὶ ξέεται. εἶτα τύπτεται μετὰ σφύρας μολυβδίνης ὑπὸ τεσσάρων στρατιωτῶν. οἵ τινες, εὐχομένης αὐτῆς, ὑπὸ Ἀγγέλων ἀνῃρέθησαν. καὶ λαβούσης αὐτῆς τὴν διὰ ξίφους ἀπόφασιν, ἡ πέτρα ἡ οὖσα ὑποκάτωθεν τῶν ποδῶν αὐτῆς, ὕδατος πλῆθος ἀνέβλυσε. πληγεῖσα δὲ τῷ ξίφει ὑπὸ τοῦ δημίου, παρέδωκε τῷ Θεῷ τὴν μακαρίαν αὐτῆς ψυχήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Καλλιστράτου, καὶ τῶν σὺν αὐτῷ Ἁγίων μθ'. Μαρτύρων.

ξι. Τμηθεὶς ὁ Καλλίστρατος αὐχένα ξίφει, Στρατῷ συνήφθη, καλλινίκων Μαρτύρων.

Στίχοι εἰς τοὺς Ἁγίους μθ'. Μάρτυρας.

Δεκὰς τετραπλῆ Μαρτύρων σὺν ἐννάδι, Διὰ ξίφους ἄθλησιν ἀθλεῖ τιμίαν.

Καὶ οὗτοι οἱ Ἅγιοι ἐπὶ Διοκλητιανοῦ τῶν Βασιλέως ὑπῆρχον ἐν Ῥώμῃ. κρατηθεὶς δὲ ὁ Ἅγιος Καλλίστρατος παρὰ Περσεντίνου τοῦ Στρατηλάτου, καὶ τὸν Χριστὸν ὁμολογήσας Θεὸν ἀληθινὸν εἶναι, τύπτεται ἰσχυρῶς. εἶτα τίθεται ἐπ' ὀστράκου, καὶ σύρεται ἐπάνω τούτου, καὶ μετὰ ταῦτα ἐμβάλλεται εἰς σάκκον, καὶ ῥίπτεται εἰς τὴν θάλασσαν. σχισθέντος δὲ τοῦ σάκκου, ἐξῆλθεν ὑγιής. καὶ ἰδόντες τὸ γεγονὸς οἱ τεσσαράκοντα πέντε Στρατιῶται, ἐπίστευσαν εἰς τὸν Χριστόν. οὓς καὶ τύψας ὁ Περσεντῖνος, ἐνέβαλε μετὰ τοῦ Καλλιστράτου εἰς τὴν φυλακὴν, καὶ ἐδιδάσκοντο παρὰ τούτου περὶ Κρίσεως, καὶ Ἀναστάσεως, καὶ περὶ Ψυχῆς. εἶτα ἐκβληθεὶς τῆς φυλακῆς μετὰ τῶν τεσσαράκοντα πέντε Στρατιωτῶν, καὶ προσευξάμενος, ἔῤῥιψε πάντα τὰ εἴδωλα. καὶ ἰδόντες ἕτεροι Στρατιῶται ἑκατὸν ὀγδοήκοντα τέσσαρες, ἐπίστευσαν καὶ οὗτοι, καὶ πάντες τὰς κεφαλὰς ἀπετμήθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰγνατίου, Ἡγουμένου γενομένου τῆς Μονῆς τοῦ Σωτῆρος Χριστοῦ, τοῦ ἐπιλεγομένου Βαθέως Ῥύακος.

Οὗτος ὑπῆρχεν ἐκ τῆς δευτέρας τῶν Καππαδοκῶν Ἐπαρχίας, ἐπὶ τῶν Βασιλέων Νικηφόρου καὶ Ἰωάννου. ὃς ἐκ νηπίου παρὰ τῶν

Γονέων ἀνετέθη Θεῷ κατὰ τὸν Ἱερὸν Σαμουήλ. καὶ ὑπὸ τοῦ θείου Βασιλείου τοῦ Κτήτορος τῆς Μονῆς, τὴν μοναχικὴν ἀκρίβειαν ἐκπαιδευθεὶς, καὶ διὰ πάντων τῶν Ἐκκλησιαστικῶν βαθμῶν διελθὼν, χειροτονεῖται Πρεσβύτερος, καὶ Ἡγούμενος προχειρίζεται. ὃς καὶ ηὔξησε καὶ ἐπλήθυνε τὴν Μονὴν ἐν προσόδοις καὶ πᾶσι χρειώδεσιν. ᾠκοδόμησέ τε καὶ θείους Ναοὺς, τοῦ Ταξιάρχου Μιχαὴλ, καὶ Ἠλιοῦ τοῦ Θεόπτου. καὶ ἔντινι προαστείῳ τῶν Ἁγίων Ἀποστόλων ἱερὸν Σηκὸν πεποίηκεν. ὁμοίως δὲ καὶ ταῖς Κανονικαῖς, θριγγίον ἀσφαλὲς πάνυ καὶ εὐπρεπέστατον. καὶ ἐν ταῖς ἡμέραις τῆς ἀποστασίας, γενναίως κατηγωνίσατο τῶν τότε Ἀρχόντων· ὁ ἄνομος Ἀντάρτης προεχειρίσατο, ὁ πᾶσαν τὴν Οἰκουμένην ταράξας, ἀθεώτατος σκληρός. Τοῦ δὲ ἐκ ποδῶν γενομένου, παρεγένετο εἰς Κωνσταντινούπολιν, καὶ κατεσκεύασεν Ἱερὰ κειμήλια, καὶ σίγνον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ περιηργυρωμένον Εὐαγγέλιον. ἃ καὶ ἀπέσταλκε διὰ τῶν συνόντων αὐτῷ ἀδελφῶν εἰς τὴν ἐκεῖσε Μονήν. αὐτὸς δ' ἐκεῖσε χρονίζων, νόσῳ δυσεντερικῇ περιπίπτει. ὑφ' ἧς ἑαυτὸν κατεργαζόμενον συννοῶν, καὶ πρὸς θάνατον μετὰ μικρὸν ἐπειγόμενον, ἔσπευδεν ἐπὶ τὴν οἰκείαν Μονήν. φθάσας δὲ ἐπὶ τὸ Ἀμώριον, τέλει τοῦ βίου ἐκτήσατο, καὶ θάπτεται ἔντινι σεβασμίῳ οἴκῳ τῆς αὐτῆς Πόλεως. ἐνιαυσίου δὲ χρόνου παρῳχηκότος, οἱ τῆς Μονῆς Πατέρες ἠβουλήθησαν ἀνακομίσασθαι τὸ αὐτοῦ λείψανον, καὶ τὴν τούτου θήκην ἀνοίξαντες, εὗρον τὸ αὐτοῦ σῶμα σῷον καὶ ἀκέραιον, καὶ θείας εὐωδίας πλῆρες, καὶ ἀνεκόμισαν ἐν τῇ Μονῇ αὐτῶν, καὶ κατέθεντο ἐν τῷ Νάρθηκι τῆς Ἐκκλησίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Ἀποστόλων Μάρκου, Ἀριστάρχου, καὶ Ζήνωνος.

Μάρκος ὁ Ἀπόστολος ὁ καὶ Ἰωάννης καλούμενος, οὗ ὁ Ἀπόστολος Λουκᾶς ἐν ταῖς Πράξεσι μέμνηται, παρὰ τῶν Ἀποστόλων χειροτονηθεὶς τῆς βίβλου Ἐπίσκοπος, δόκιμος ἐν τῇ ἐργασίᾳ τοῦ Εὐαγγελίου γνωρίζεται. καὶ οὕτως ἦν οἰκειωμένος τῷ Θεῷ, ὡς καὶ διὰ τῆς σκιᾶς τούτου, τὰ νοσήματα δραπετεύειν. Ἀλλὰ καὶ Ἀρίσταρχος ἕτερος Ἀπόστολος ἐν τοῖς Ἑβδομήκοντα εὕρηται. οὗ ἐμνημόνευσεν ἐν τῇ πρὸς Ῥωμαίους ὁ Ἀπόστολος, καὶ Ἀπαμείας τῆς Συρίας Ἐπίσκοπος γέγονεν· ἄλλος Ἰωάννης ὁ ἀκριδαμελίτροφος, στολὴν δερματίνην ἠμφιεσμένος. Ζήνων οὗτος ὁ Νομικός ἐστιν, οὗ ἐν τῇ πρὸς Ῥωμαίους ὁ μακάριος μνείαν ποιεῖται Παῦλος, καὶ οὗτος Διοσπόλεως Ἐπίσκοπος γέγονε. καὶ οἰκητήριον τοῦ Ἁγίου γενόμενος Πνεύματος, ἐν τῷ κηρύττειν τὸ Εὐαγγέλιον, πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Φιλήμονος Ἐπισκόπου, Φορτουνιανοῦ, καὶ τῆς Ἁγίας Μάρτυρος Γαϊανῆς.

ϛι. Γαϊανὴ φλεχθῆναι τὰ νῶτα δίδου,
Ὡς ἂν φλογίνης ῥομφαίας νῶτα φύγῃς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων δεκαπέντε Μαρτύρων, οἵ τινες ἐν πλοίῳ ἐμβληθέντες, καὶ τοῦ πλοίου πυρποληθέντος, ἐν τῇ θαλάσσῃ ἀπεπνίγησαν.

ϛι. Οἱ τριπλοπεντάριθμος Ἀθλητῶν στόλος,
Καὶ πυθμένος κατῆλθε μέχρι ποντίου.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀμπρυνθεὶς ὡς χρυσίον, τῷ πυρὶ τῶν βασάνων, τῶν Παθημάτων Χριστοῦ, ἐκσφράγισμα ἐδείχθης, καὶ νῦν ἐναπετέθης, θησαυροῖς θείοις Ἔνδοξε, ὁ τῶν Πατέρων βοῶν Θεὸς εὐλογητὸς εἶ.

Ἐπανθεὶς ταῖς βασάνοις, ξίφος ὤφθης παμμάκαρ, οὐρανοχάλκευτον, συγκόπτων ἀοράτων, τὰς φάλαγγας δαιμόνων, καὶ κραυγάζων Καλλίστρατε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἰσχυρὸς ἀπεφάνης, κατὰ τῆς ἀσεβείας Μάρτυς Καλλίστρατε, ἰσχύϊ τῆς Τριάδος. ἧς νῦν ταῖς λαμπηδόσιν, ἐκβοᾷς φωτιζόμενος· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἐταθηρᾷ διανοίᾳ, τὸν Χριστὸν ἀγαπήσας, Μάρτυς Γυμνάσιε, σὺν πᾶσιν ὁμοζήλοις, ἐτύθης ἀναμέλπων, εὐχαρίστως θεόπνευστε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὃν ἐκ σοῦ σαρκωθέντα, ὑπὲρ νοῦν τε καὶ λόγον, Θεοχαρίτοτε, ἱκέτευε σωθῆναι, τοὺς πόθῳ σε τιμῶντας, καὶ συμφώνως κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεός.

Ὠδὴ η'. Οἱ θεορρήμονες Παῖδες.

Ῥιζοτομήσας τῆς πλάνης τὰς ἀκάνθας, τοῦ Παραδείσου ἐδείχθης, Μάρτυς φυτὸν

τὸν ὡραιότατον, εὐσεβείας προσφέρων, καρπὸς θείᾳ χάριτι.

Ἀποσκοπῶν τὰς ἐλπίδας τὰς μελλούσας, ἐν πεποιθήσει τελείᾳ, πρὸς τοὺς ἀγῶνας ἐχώρησας, καὶ νικήσας νομίμως, ἐστέφθης Καλλίστρατε.

Ὃν σὸν Ναὸν ἰατρεῖον κεκτημένοι, οἱ εὐσεβῶς προσιόντες, τῶν δυσχερῶν ἀπολύονται, εὐφημοῦντές σε πίστει, Γυμνάσιε ἔνδοξε. Θεοτοκίον.

Ὡς ἀνωτέρα ἁπάντων τῶν ποιημάτων, Θεοχαρίτωτε Κόρη, τὸν λογισμόν μου ἀνώτερον, τῶν τοῦ πλάνου σκανδάλων, Πανάμωμε ποίησον. Ὁ Εἱρμός.

Οἱ Θεορρήμονες Παῖδες ἐν τῇ καμίνῳ, σὺν τῷ πυρὶ καὶ τὴν πλάνην, καταπατοῦντες ὑπέψαλλον, εὐλογεῖτε τὰ ἔργα.

Ὡδὴ θ'. Ἔφριξε πᾶσα.

Ἆσιν πᾶσιν ἡ Σορὸς, τῶν Λειψάνων σου πηγάζει τοῖς χρῄζουσι, Μάρτυς Καλλίστρατε, καὶ παύει πάθη ὄντως δυσίατα, καὶ ἀπελαύνει πονηρῶν, πνευμάτων σκοτόμαιναν, τοῦ Θείου Πνεύματος, ἐνεργείᾳ καὶ δυνάμει καὶ χάριτι.

Ὤφθητε Μάρτυρες Χριστοῦ, ὡς θεόπλοκος σειρὰ ἐξαρτούμενοι, ἀλλήλων χάριτι, καὶ πρὸς τὸ ὕψος ἐπανατρέχοντες, καὶ ἁγιάζοντες τὴν γῆν, τῷ λύθρῳ τοῦ αἵματος. διὸ τὴν μνήμην ὑμῶν, ἑορτάζομεν πιστῶς εὐφραινόμενοι.

Στέφανον εἴληφας σαφῶς, ἀμαράντινον καὶ δόξαν Οὐρανίον, ἀγαλλίασιν, καὶ εὐφροσύνην πέρας οὐκ ἔχουσαν, καὶ Βασιλείαν Οὐρανῶν, Θεόφρον Καλλίστρατε, σὺν τοῖς συνάθλοις σου. μεθ' ὧν μέμνησο ἡμῶν πρὸς τὸν Κύριον.

Ἡ Θεία μνήμη τοῦ σοφοῦ, Καλλιστράτου Γυμνασίου τε σήμερον, καὶ τῶν συνάθλων αὐτῶν, Ἡλίου πλέον ἐξανατείλασα, φωτιστικαῖς μαρμαρυγαῖς, φωτίζου τὰ πέρατα. ὧν ταῖς πρεσβείαις Χριστὲ, κατακρίσεως ἡμᾶς ἐλευθέρωσον. Θεοτοκίον.

Φωνήν σοι τὴν τοῦ Γαβριὴλ, γεγηθότι λογισμῷ ἀνακράζομεν. χαῖρε χαρὰ τῶν Πιστῶν. χαῖρε Λυχνία χρυσῆ καὶ τράπεζα, ὄρος καὶ πύλη νοητή. χαῖρε Θεῖον ὄχημα τοῦ Βασιλέως Χριστοῦ. χαῖρε λύσις τῆς ἀρᾶς Παντευλόγητε.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Κραταιωθέντες Πνεύματι, τῷ Ἁγίῳ καθεῖλον, οἱ Ἀθλοφόροι Μάρτυρες, τῶν Τυραννων τὰ θράση. διὰ Χριστὸν ὑποστάντες, πᾶσαν πεῖραν βασανῶν, ὁ πάνσοφος Καλλίστρατος, καὶ Γυμνάσιος ὄντως, ὁ θαυμαστὸς, μετὰ τῶν συνάθλων. ὧν τὴν φωσφόρον, μνήμην τελοῦντες εὕρομεν, ψυχικὴν σωτηρίαν. Θεοτοκίον.

Θεοπαρόχων μέγεθος, δωρεῶν καὶ χαρίτων, ὧν περ ἡμᾶς ἠξίωσας, Δέσποτα πανοικτίρμον, τίς λόγος δύναται φράσαι; ῥεύσαντας γὰρ ἀθλίως, ζωῆς Χριστὲ τῆς κρείττονος, ἐπανήγαγες αὖθις, οὐσιωθεὶς, ὅλον με τὸν ἄνθρωπον ἐκ Παρθένου, καὶ σώσας ὡς φιλάνθρωπος, καὶ Θεὸς ἐλεήμων.

Ἡ λοιπὴ Ἀκολουθία, ὡς συνηθὲς, καὶ Ἀπόλυσις.

Μηνὶ τῷ αὐτῷ ΚΗ'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν, καὶ Ὁμολογητοῦ Χαρίτωνος.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ξι. ς'. καὶ ψάλλομεν ξι. Προσόμοια, ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Πάθη τὰ τοῦ σώματος, δι' ἐγκρατείας ἐμάρανας, καὶ συντόνου δεήσεως, καὶ ὄφιν τὸν δόλιον, τῶν δακρύων ὄμβροις, ἀπέπνιξας Πάτερ, καὶ εὐηρέστησας Θεῷ, ὑπερβαλλόντως Χαρίτων Ὅσιε. διό σε κατεκόσμησεν, ἐπουρανίοις χαρίσμασιν, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἁρῶσιν ἀσκήσεως ἐναποσβέσας τοὺς ἄνθρακας, τῶν παθῶν ἀξιάγαστε, πυρὶ προσωμίλησας, αἰκισμῶν καὶ πόνων, καθομολογήσας, πρὸ τῶν ἀνόμων Δικαστῶν, τοῦ σαρκωθέντος Λόγου τὴν κένωσιν, καὶ Μάρτυς ἐχρημάτισας, πεποικιλμένος τοῖς στίγμασι, πολυτρόπων καλάσεων, Θεοφόρε πανόλβιε.

Ἐρήμοις καὶ ὄρεσι, σὺ φυγαδεύων ἐμάκρυνας, τὴν ψυχὴν ἀκηλίδωτον, τηρῶν Ἱερώτατε, καὶ Τριάδος οἶκος, Χαρίτων ἐδείχθης. ἧς τῇ δυνάμει ἱερὸς, ἀνεδομήσω οἴκους μακάριε, καὶ μάνδρας εἰς σωτήριον, τῶν Μοναστῶν περιποίησιν, τῶν τιμώντων τὴν μνήμην σου τὴν ἁγίαν ἀοίδιμε.

Δόξα, ἦχος δ'. Ἰωάννου Μοναχοῦ.

Θεοφόρε Χαρίτων, σὺ καὶ μετὰ θάνατον ἐν οὐρανοῖς ζῇς ἐν τῷ Χριστῷ. δι' ὃν τῷ Κόσμῳ σεαυτὸν ἀνεσταύρωσας. ἔξω γὰρ σαρκὸς καὶ Κόσμου γενόμενος, ὑπὲρ τὰ ὁρώμενα ἔζης ἀληθῶς. οὐ γὰρ ἔζης σεαυτῷ, ἔζη δὲ μᾶλλον ἐν σοὶ Χριστὸς ὁ Θεὸς ἡμῶν. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐν θαλάσσῃ με πλέοντα, ἐν ὁδῷ με βαδίζοντα, ἐν νυκτὶ καθεύδοντα περιφρούρησον, ἐπαγρυπνοῦντα χαρίτωσον, τὸν νοῦν μου Πανάμωμε, καὶ ἀξίωσον ποιεῖν, τοῦ Κυρίου τὸ θέλημα· ὅπως εὕροιμι, ἐν ἡμέρᾳ τῆς δίκης τῶν ἐν βίῳ, πεπραγμένων μοι τὴν λύσιν, ὁ προσφυγὼν ἐν τῇ σκέπῃ σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν Σταυρῷ ὡς ἑώρακε, καθηλούμενον Κύριε, ἡ ἀμνὰς καὶ Μήτηρ σου ἐξεπλήττετο, καὶ τί τὸ ὅραμα ἔκραζεν· Τί ἐποθεινότατε, ταῦτά σοι ὁ ἀπειθὴς, δῆμος ἀνταποδίδωσιν, ὁ παράνομος, ὁ πολλῶν σου θαυμάτων ἀπολαύσας; ἀλλὰ δόξα τῇ ἀῤῥήτῳ, συγκαταβάσει σου Δέσποτα.

Εἰς τὸν ζι. τῆς Ὀκτωήχου. Δόξα, ἦχος πλ.

Ὧν Μοναστῶν τὰ πλήθη, τὸν καθηγητὴν σε τιμῶμεν Χαρίτων Ὅσιε. διὰ γὰρ σοῦ τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν πορεύεσθαι ἔγνωμεν. μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συνόμιλε, Ὁσίων συμμέτοχε καὶ Δικαίων. μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὦ τοῦ παραδόξου θαύματος.

Χαῖρε πιστῶν περιποίησις, ἁμαρτανόντων λιμὴν, ἀμελούντων διόρθωσις. χαῖρε ψυχαγώγημα, θλιβομένων βοήθεια, παραμυθία, χαῖρε ψυχῶν ἀγαθή. τῶν ἀσθενούντων, χαῖρε ἡ ἴασις. χαῖρε συνάλλαγμα, πρὸς Θεὸν μεσίτρια, τῶν Σεραφὶμ, πάντων ὑπερέχουσα, ἁγιωτέρα Σεμνή.

Σταυροθεοτοκίον. Ὅμοιον.

Μὶ τὸ ὁρώμενον θέαμα, ὃ τοῖς ἐμοῖς ὀφθαλμοῖς, καθορᾶται ὦ Δέσποτα; ὁ συνέχων ἅπασαν, Κτίσιν Ξύλῳ ἀνήρτησαι, καὶ θανατοῦσαι ὁ πᾶσι νέμων ζωὴν, ἡ Θεοτόκος κλαίουσα ἔλεγεν, ὅτε ἑώρακεν, ἐν Σταυρῷ κρεμάμενον τὸν ἐξ αὐτῆς, ἀῤῥήτως ἐκλάμψαντα, Θεὸν καὶ Ἄνθρωπον.

Ἀπολυτίκιον, ἦχος πλ.

Μαῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστὴρ τῇ Οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Χαρίτων Πατὴρ ἡμῶν Ὅσιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ζ. λο. κα. ἦχος πλ.

Τὴν Σοφίαν καὶ Λόγον.

Μοῖς ἀθλήσεως πόνοις δοκιμασθεὶς, τῆς ἀσκήσεως ἄθλοις βεβαιωθεὶς, χρυσίου λαμπρότερον, εὐσεβείᾳ ἀπήστραψας. καὶ καθαρὸν δοχεῖον, ὑπῆρξας τοῦ Πνεύματος, πονηρῶν πνευμάτων, τὸ σκότος ἐμείωσας. ὅθεν συναθροίσας, Μοναζόντων ἀγέλας, Ποιμὴν τούτων γέγονας, καὶ φωστὴρ διαυγέστατος, Χαρίτων μακάριε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν.

Δόξα. τὸ αὐτό. καὶ νῦν. θτ. Ὅμοιον.

Τογισμοῖς ὀλισθαίνων τοῖς πονηροῖς, εἰς βυθὸν κατηνέχθην ἁμαρτιῶν, καὶ στένων κραυγάζω σοι, ἐκ καρδίας Πανάχραντε· ἐν ἐμοὶ θαυμάστωσον, τὸ πλούσιον ἔλεος, καὶ τῆς σῆς εὐσπλαγχνίας, τὸ ἄπειρον πέλαγος, καὶ τῶν οἰκτιρμῶν σου, τὸν ἀμέτρητον πλοῦτον. καὶ δός μοι μετάνοιαν, καὶ πταισμάτων συγχώρησιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ, καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ Ξύλῳ ὁρῶσα τῷ σταυρικῷ, ἡ Πανάμωμος Μήτηρ τὸν Λυτρωτὴν, ἐθρήνει δακρύουσα, καὶ πικρῶς ἀπεφθέγγετο, καὶ συνοχῇ καρδίας, τὰς κόμας ἐσπάραττε, καὶ πρὸς αὐτὸν ἐβόα· Τί ἐμοὶ καὶ Κύριε, πῶς ὁ ἀνομώτατος, Ἑβραίων δῆμος, ἀδίκως προσπήγνυσι, τῷ Σταυρῷ ἀναμάρτητε. πῶς καὶ θέλων ὑφίστασαι, τοῦ προσώπου ῥαπίσματα, ὄξος καὶ τὴν τρῆσιν Πλευρᾶς, χολήν τε οἴμοι, καὶ ἥλους μακρόθυμε. ἀλλὰ δόξα τῇ ἀῤῥήτῳ οἰκονομίᾳ σου.

Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου εἰς ς'.

Ὠδὴ α'. ἦχος δ'. Θαλάσσης, τὸ ἐρυθραῖον.

Θεο-

Θεοφανοῦς. Οἱ δὲ, Ἰωάννου Μοναχοῦ.

Ὀλλάοσης, ἀθλητικῆς τὸ πέλαγος, διανοιξάμενος, τῷ ζωηφόρῳ ὅπλῳ τοῦ Σταυροῦ, Φαραὼ τὸν ἀλάστορα, τὸν νοητὸν Μακάριε, θείᾳ δυνάμει κατεπόντισας.

Κυρίῳ, ἀνατεθεὶς Μακάριε, σπαργάνων ἐκ μητρικῶν, τυραννικοῦ πρὸ βήματος Χριστὸν, Θεοφρόνως ἐκήρυξας. Μωσαϊκῶς καθεῖλες δὲ, τῶν ἀντιπάλων τὰ φρυάγματα.

Μῆς πλάνης, καταλιπὼν τὴν Αἴγυπτον, Χαρίτων Ὅσιε, καὶ ἐρημοπολίτης γεγονὼς, καθαρῶς προσωμίλησας, τῷ καθαρῷ καὶ εἴληφας, τὴν κληρουχίαν τὴν οὐράνιον. Θεοτοκίον.

Ἀσπόρως, τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ Θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς Ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ Ἀπάτορα.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Εὐφραίνεται ἐπὶ σοί, τῶν φοιτητῶν ἡ λογικὴ ποίμνη σου, πνευματικῶν Ὅσιε, τῆς σῆς κοινωνοῦσα φαιδρότητος.

Μὸ φρόνημα τῆς σαρκὸς, ὡς δυσμενείας εἰς Θεὸν αἴτιον, τῷ τῆς ζωῆς πνεύματι, Ὅσιε Χαρίτων ὑπέταξας.

Καθεῖλες Δαβιτικῶς, τοῦ ἀλλοφύλου Γολιὰθ Ὅσιε, τὴν νοητὴν δυνάμιν, ἐν τῇ παντευχίᾳ τοῦ Πνεύματος. Θεοτοκίον.

Εὐ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας. ὅθεν σοι τὸ χαῖρε κραυγάζομεν.

Κα. ἦχος δ'. Ταχὺ προκατάλαβε.

Μοῖς λόγοις ἐκόσμησας τὴν Ἐκκλησίαν Χριστοῦ, τοῖς ἔργοις ἐτίμησας τὸ κατ' εἰκόνα Θεοῦ, Χαρίτων μακάριε. ἔλαμψε γὰρ ἐν Κόσμῳ, ἡ ἐν σοὶ σωφροσύνη, χάριτας ἰαμάτων, ἀπαστράπτουσα Πίστει. διὸ καὶ ἑορτάζομεν πόθῳ τὴν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Παρθένε Πανάμωμε, τὸν ὑπερούσιον, Θεὸν ἡ κυήσασα, σὺν τοῖς Ὁσίοις αὐτὸν, ἀπαύστως ἱκέτευε, ἄφεσιν τῶν πταισμάτων, καὶ διόρθωσιν βίου, δοῦναι ἡμῖν πρὸ τέλους, τοῖς ἐν πίστει καὶ πόθῳ, ὑμνοῦσί σε κατὰ χρέος μόνη Πανύμνητε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ σε ἡλούμενον ὡς ἐθεάσατο, ἡ ἄχραντος Μήτηρ σου, Λόγε Θεοῦ μητρικῶς, θρηνοῦσα ἐφθέγγετο· τί τὸ καινὸν καὶ ξένον τοῦτο Υἱέ μου θαῦμα; πῶς ἡ ζωὴ τῶν ὅλων ὁμιλεῖς τῷ θανάτῳ; ζωῶσαι τοὺς τεθνεῶτας θέλων ὡς εὔσπλαγχνος.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Δι' ἀγάπησιν Οἰκτίρμον τῆς σῆς εἰκόνος, ἐπὶ Σταυροῦ σου ἔστης, καὶ ἐτάκησαν Ἔθνη. σὺ γὰρ εἶ φιλάνθρωπε, ἰσχὺς μου καὶ δυνάμις.

Μὰς τυραννούσας Χαρίτων πρὸ τελευτῆς σου, τῆς ἐγκρατείας πόνοις, ἡδονὰς θανατώσας, ζωηφόρον νέκρωσιν, Ὁσίως ἐνδέδυσαι.

Μὰς συμπνιγούσας ψυχῆς τὴν καρποφορίαν, βιωτικὰς μερίμνας, τῇ ἐμπύρῳ μελέτῃ, ὡς ἀκάνθας ἔφλεξας Χαρίτων μακάριε.

Ἐστεφάνωσαν αἱ χάριτες σὲ Χαρίτων, ἀθλητικῷ στεφάνῳ, τῆς Χριστοῦ Βασιλείας. τῆς γὰρ πλάνης ἔσβεσας, τὴν μέθην μακάριε. Θεοτοκίον.

Ἀνεκλάλητος ὁ τόκος σου ἀνεδείχθη, Θεογεννῆτορ μόνη, ἁγνὴ εὐλογημένη. ὅθεν σοι προσπίπτοντες, τὸ χαῖρε κραυγάζομεν.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Εὐ Ὅσιε φωτὸς, ἀκηλίδωτον ἔσοπτρον, τῆς ἄνωθεν φρυκτωρίας, τηλαυγῶς ἀνεδείχθης, χαρίτων παμμακάριστε.

Εὐ Ὅσιε διοταῖς, ἀπαστράπτεις ταῖς χάρισιν. ἀθλήσεων αἰκισμοῖς γὰρ, εὐσεβῶς ἐπυρσώθης, καὶ πόνοις τῆς ἀσκήσεως.

Εὐ Ὅσιε ψυχῶν, ἰατρὸς ἀναδέδειξαι, τὴν ἔνθεον ἐξ ὀνύχων, ἀπαλῶν ἐκζητήσας, σοφίαν παμμακάριστε. θ'.

Ἐ ὅπλον ἀρραγὲς, κατ' ἐχθρῶν προβαλλόμεθα. σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ς'. Θύσω σοι, μετὰ φωνῆς.

Οὐ ψάμμον, ἀλλὰ Χριστὸν θεμέλιον θέμενος, ἐπῳκοδόμησας Πάτερ, ἀρετὴν χρυσίου τιμιωτέραν, καὶ Τριάδος, τῆς Παναγίας γέγονας οἴκημα.

Ὄργανον, τῆς κακίας ὁ ὄφις γνωρίζεται. ἀλλὰ ταῖς σαῖς θεοφόρε, ἀρεταῖς Χαρίτων νενικημένος, τοὺς ἀδίκους, ἐκ δικαίας προνοίας ἀμύνεται.

Οὐδέν σε, τῆς πρὸς Θεὸν ἀγάπης ἐχώρισεν, οὐκ αἰκιζόμενον σῶμα, οὐ θανάτου ψη-

ψῆφος ἀπειλουμένη, ἐν αἰνέσει, Θεοῦ κατατρυφῶν Παμμακάριστε. Θεοτοκίον.

Ὦ Θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Κοντάκιον, ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Ὸν Ἀσκητὴν τῆς εὐσεβείας ἅπαντες, καὶ Ἀθλητὴν τῆς ἀληθείας σήμερον, οἱ πιστοὶ ἐν ὕμνοις καὶ ἐγκωμίοις εὐφημήσωμεν, Χαρίτωνα Ποιμένα καὶ Διδάσκαλον, τοῦ Κόσμου φωστῆρα τὸν παγκόσμιον. Ὁ Οἶκος.

Ὀυτὸν τὸν μέγαν ἐν τοῖς Ὁσίοις φωστῆρα, τὸν θεῖον Ἰκονίου πιστοὶ, Χαρίτωνα τὸν μακάριον, ἐν ὑμνῳδίαις ἀνευφημοῦμεν, καὶ ἐν ᾄσμασι θείοις, αὐτοῦ τὴν κάραν στέψωμεν. τὴν γὰρ ἀχλὺν τῶν ματαίων ἠδάφισε. σὺν τούτοις καὶ τῶν δαιμόνων τὴν ἐνέργειαν πᾶσαν ἐνέκρωσε. διὸ τοὺς πόνους μὲν ἤνεγκε, τῶν βραβείων δὲ ἔτυχεν ἀληθῶς. αὐτὸν οὖν ἐπαινοῦντες γεραίρομεν, τοῦ Κόσμου φωστῆρα τὸν παγκόσμιον.

Τῷ αὐτῷ Μηνὶ, κή. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Χαρίτωνος.

ξι. Τῆς γῆς πατήσας τὰς τρυφὰς ὁ Χαρίτων,
Κατατρυφᾷ νῦν Οὐρανοῦ τῶν χαρίτων.
Εἰκάδι ὀγδοάτῃ Χαρίτων θανὲ γήραϊ μακρῷ.

Οὗτος ὑπῆρχεν ἐπὶ Λυρηλιανοῦ τοῦ Βασιλέως, ἐκ Πόλεως Ἰκονίου, τῆς Λυκαόνων Ἐπαρχίας. ὃς προσαχθεὶς τῷ Ὑπατίῳ, καὶ παῤῥησίᾳ τὸν Χριστὸν Θεὸν ὁμολογήσας, τύπτεται ἐκ τεσσάρων, καὶ πυρὶ καταφλέγεται. μετὰ δὲ τὴν καταστροφὴν Αὐρηλιανοῦ, ἀπολυθεὶς, καὶ ἐν τῇ ἐρήμῳ λῃσταῖς περιπεσὼν, καὶ δεσμευθεὶς, λυτροῦται τούτων τρόπῳ τοιῷδε. εἰς τὸ κεράμιον, ἐν ᾧ εἶχον τὸν οἶνον οἱ λῃσταὶ, ἔχις προσερπίσασα, τὸν ἰὸν ἐξέχεεν· οὗ ἐμφορηθέντες ἐξέψυξαν. αὐτὸς δὲ τὸ Σπήλαιον Ἐκκλησίαν ποιήσας, καὶ πλῆθος Μοναχῶν συναγαγὼν, εἰς Μονὴν ἀποκατέστησεν, ἐξ ἀκροτόμου πέτρας ὕδωρ ἐξενεγκὼν, καὶ ἰατὴρ παντοίων νοσημάτων φανεὶς, ἐν γήρᾳ βαθεῖ τὸν βίον κατέλυσε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Προφήτου Βαρούχ.

Ἡ Τῶν Προφητῶν ἀκριβὴς διόπτρα, ἡ τοῦ Ἱερεμίου πνοὴ καὶ ἀνάπαυλα, ἐφεπόμενος ἦν τῷ Διδασκάλῳ Ἱερεμίᾳ, ὅτε ὡς αἰχμάλωτος οὗτος εἰς Βαβυλῶνα κατήγετο, θρηνῶν τὴν ἅλωσιν τῆς Ἱερουσαλήμ. ὡς ἑβδομήκοντα δὲ χρόνους ἐπεκτεινομένης τῆς αἰχμαλωσίας, Σπηλαίῳ ἑαυτὸν καθείρξας ὁ Βαρούχ, τὸν ἐπιξενισμὸν ἐθρήνει Ἱερεμίου, ἀπρονόητον ἑαυτὸν συντηρῶν, μέχρι τῆς ἀναστροφῆς τοῦ λαοῦ. ὅτε δὲ ὁ λαὸς πρὸς ἀναστροφὴν ἐπανῆλθε, Βαρούχ ἐξελθὼν τοῦ Σπηλαίου, πάλιν τὰ ὑπὸ τοῦ Ἱερεμίου ἐν ἐκστάσει καθοραθέντα, ὅτε καὶ τοῖς λίθοις ἐβάλλετο, σὺν τῷ Ἀβιμέλεχ ἀκούει, καὶ ὡς ἐν δυσὶ σώμασι, μία ψυχὴ ἐν ἀμφοτέροις ἐγνωρίζετο τοῖς Προφήταις. ἐπεὶ καὶ εἰς ἕνα Ταξίαρχον, τὸ Θεῖον Πνεῦμα ἀμφοτέρους ἐπέγραφε. τρανωτέρως γὰρ ὁ Βαρούχ, τὰ περὶ τῆς Χριστοῦ οἰκονομίας ἀνεκελάδησε λέγων· οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν, καὶ τὰ ἑξῆς. Εὕροι δ' ἄν τις καὶ πλείονα, τῶν φιλοπόνως τὰς Προφητικὰς Βίβλους ἐπανακρινόντων τὸν Προφήτην Βαρούχ, τὰ περὶ τοῦ Χριστοῦ, καὶ τῆς Ἱερουσαλὴμ προαγγέλλοντα. τὸν γοῦν Ἱερεμίαν ἐπιμελῶς κηδεύσας, μετὰ τὴν πρὸς Κύριον τούτου μετάστασιν, μετ' οὐ πολὺ καὶ αὐτὸς πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Μάρκου τοῦ Ποιμένος. καὶ τῶν Ἁγίων Μαρτύρων, καὶ αὐταδέλφων Ἀλεξάνδρου, Ἀλφειοῦ, καὶ Ζωσίμου, καὶ τοῦ Ἁγίου Μάρτυρος Ποιμένος, καὶ τῶν Ἁγίων Μαρτύρων, Νίκωνος, Νέωνος, Ἡλιοδώρου, καὶ τῶν λοιπῶν Παρθένων καὶ Παίδων.

ξι. Εἰσδύντες εἰς γῆν Μάρτυρες τρεῖς Κυρίου.
Ἐκεῖθεν ἐκδύνουσιν εἰς θείαν δρόσον.
Ποιμὴν ὁ Μάρκος, Μάρκος ὃν κτείνει ξίφος,
Ποιμὴν προβάτων, ὡς ὁ τῆς Γραφῆς Ἄβελ.
Ἡλιόδωρος, Νίκων, ἀλλὰ καὶ Νέων,
Χριστοῦ κατ' ἐχθρῶν, ἐκ ξίφους νίκη νέα.
Τμηθέντων παίδων, καὶ γυναικῶν μυρίων,
Ὦ Παῖ γυναικὸς, καὶ Θεὲ πλήθη δέχου.

Οὗτοι οἱ Ἅγιοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ Βασιλέως, ἐν Πόλει Πισιδίας, Μάγνου ἡγεμονεύοντος. ὁ δὲ μακάριος Μάρκος ἦν ποιμαίνων πρόβατα, λευκὴν ἔχων τὴν κόμην τῆς κεφαλῆς καὶ βαθεῖαν, μέχρι καὶ πτέρνης αὐτῆς. ἐπεὶ δὲ διεγνώσθη ὡς εἴη Χριστιανὸς, παραχρῆμα κρεμασθεὶς, ξέεται, καὶ παρεπέμφθη ἐν Κλαυδιουπόλει. προσκλη-

σκληθέντων δὲ χαλκοτύπων κατασκευῆς ἕνεκα τῶν τοῦ Μάρτυρος δεσμῶν, προσήχθησαν τρεῖς ἀδελφοὶ, Ἀλέξανδρος, Ἀλφειὸς, καὶ Ζώσιμος, τὴν Κατάλυτον οἰκοῦντες Κώμην, βάναυσοι τὴν τέχνην, καὶ τῆς τοῦ σιδήρου ἐργασίας ἐπιστήμονες. ἀρξαμένων δὲ τύπτειν, κατέρρει ὁ σίδηρος ὡς ὕδωρ, καὶ αἱ χεῖρες αὐτῶν ἐνάρκον. οἱ δὲ, τὸ συμβὰν θαυμάσαντες, καὶ φωνῆς Θείας ἐπακούσαντες, προτρεπούσης συναθλῆσαι αὐτοὺς τῷ Μάρκῳ, οὐκ ἠμέλησαν, ἀλλὰ Χριστιανοὺς ἑαυτοὺς ὡμολόγησαν. εὐθὺς δὲ στρέβλαις ὑπεβλήθησαν, καὶ μόλυβδον ζέοντα διὰ τοῦ στόματος ἐδέξαντο, καὶ ἐν πέτρᾳ προσηλώθησαν, καὶ τοῦ βίου ἐξῆλθον. ὁ δὲ Μάρκος ὑποδεθεὶς κριπίδας, καὶ μαστιχθεὶς ἱκανῶς, καὶ ὀβελίσκοις καταπαρεὶς, καὶ τὴν γλῶτταν τμηθεὶς, καὶ ἐν πέτρᾳ καθηλωθεὶς, τὴν κεφαλὴν ἀπετμήθη. ὁμοίως δὲ καὶ Νίκων, καὶ Ἡλιόδωρος, καὶ Νέων, κρατηθέντες μετὰ Νηπίων καὶ Παρθένων πολλῶν, ἐν τῷ λεγομένῳ Μωρομιλίῳ, ὑπὸ ξίφους ἀνῃρέθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Καλλινίκου, καὶ Εὐσταθίου τοῦ Ῥωμαίου.

ξ. Ῥωμαῖος ἐστὶν, ἀλλὰ καὶ ῥωμαλέος, Ὁ Μάρτυς Εὐστάθιος, ἀθλῶν πρὸς ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀλεξάνδρου, καὶ τῶν σὺν αὐτῷ τριάκοντα Μαρτύρων.

ξ. Ἔξαρχον Ἀλέξανδρον εἶχον τοῦ τέλους, Τμηθέντες ἄνδρες, ὧν ἀριθμὸς τρισδέκα. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Τοὺς ἐν καμίνῳ, Ἀβραμιαίους ἁμιλλώνος, ζήλῳ εὐσεβείας δόγμα τυραννικὸν, Θεοφόρε κατεπάτησας, εὐλογητὸς εἶ ὁ Θεός μου, κραυγάζων καὶ Κύριος.

Ὡς ἐν καμίνῳ, τῶν πειρασμῶν τοῖς ὑπεκκαύμασι. Θεία δροσοβόλος χάρις ἐξ Οὐρανοῦ, ἐπεσκέψατό σε Ὅσιε, εὐλογητὸς εἶ ὁ Θεός μου, βοῶντα καὶ Κύριος.

Ὡς τετρωμένος, τῷ τῆς Τριάδος Θείῳ ἔρωτι, ταύτῃ ἰσαρίθμους μανδρας πνευματικῶς, μελῳδούσας ἀνατέθεικας· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε. θ'.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκηνώμα, χαῖρε. διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἀστέρνα πυρούμενος φλογὶ, ἀδίκως Ὅσιε, πλάνην κατέφλεξας, αὐτὸς δὲ ἄφλεκτος ἔμεινας, ἐνεργείᾳ Θείου Πνεύματος· καὶ πρὸς εὐσέβειαν λαοὺς, ψάλλειν διήγειρας· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Χριστὸν ἐνεδύσω ἀληθῶς, τὸν πάλαι ἄνθρωπον, ἀπεκδυσάμενος, καὶ ἐθριάμβευσας Ὅσιε, τὸν τοῦ σκότους κοσμοκράτορα, ἐν αἰκισμοῖς μαρτυρικοῖς, μετ' εὐφροσύνης βοῶν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυ τὸν Κύριον.

Τοῦ Παύλου Χαρίτων ἀψευδῶς, γενόμενος φοιτητὴς, τοῖς τούτου ἴχνεσιν, ἐπηκολούθησας Ὅσιε, καὶ ἀλείπτης ἐχρημάτισας, τῶν Μοναζόντων γεγονὼς, πᾶσι κανὼν ἀρετῆς τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ. σὺ τῆς θεότητος γέγονας, ἐνδιαίτημα πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ, τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Οὐ τάφος ὁ πρόξενος λήθης, ἐπικαλύψαι ἴχυσέ σου, Ὅσιε Χαρίτων ἀρετάς. ἡ σὴ γὰρ μνήμη διαιωνίζουσα, ἱλιακῶς ἐξέλαμψεν. ἣν ἐπαξίως μεγαλυνόμεν.

Δεῦτε τὴν ἐτήσιον μνήμην, πνευματικῶς ἐπιτελοῦντες, τῇ τῶν ἀρετῶν ἐκμιμήσει, τὸν Θεοφόρον, πάντες ζηλώσωμεν, καὶ σὺν αὐτῷ βοήσωμεν, σὲ μεγαλυνόμεν Τρισάγιε. Δόξα.

Μονάδα μὲν Θείας Οὐσίας, ἀλλ' Ὑποστάσεων Τριάδα, πάντες οἱ πιστοὶ προσκυνοῦμεν, ἐν ἀσυγχύτοις ταῖς Ὑποστάσεσιν, ἰσοσθενῆ ὁμότιμον· ἣν εὐσεβοῦντες μεγαλυνόμεν. Θεοτοκίον.

Χαῖρε καὶ εὐφραίνου ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου, κατοπτριζομένη τηλαυγῶς, τοῦ σοῦ Νυμφίου τὴν ὡραιότητα, ὑπὲρ χρυσίον λάμπουσαν, καὶ ὑπὲρ Ἥλιον ἀστράπτουσαν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀθλήσει μὲν τὸ πρότερον, καλῶς ἐγγυμνασάμενος· τὸ δεύτερον δὲ ἀσκήσει, δρόμον τὸν Θεῖον τελέσας, εἰς Οὐρανοὺς ἀνέδραμες, καὶ τῷ Χριστῷ παρίστασαι. Χαρί-

των Πάτερ Ὅσιε, ὑπὲρ ἡμῶν ἐντυγχάνων, τῶν σὲ θερμῶς ἀνυμνούντων.

Θεοτοκίον. Ὅμοιον.

Βουλῆς μεγάλης Ἄγγελον, τῆς τοῦ Πατρὸς γεγέννηκας, Χριστὸν πανύμνητε Κόρη, τὸν Βασιλέα τῆς δόξης. οὗ τὸν Σταυρὸν ἀράμενοι, οἱ Ἀσκηταὶ καὶ Μάρτυρες, ὀπίσω τούτου ἔδραμον. μεθ' ὧν ἀπαύστως δυσώπει, ὑπὲρ ἡμῶν Θεοτόκε.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν ϛι. δ'. καὶ ψάλλ. ϛι. προσόμ. ἦχος δ'. Ἔδωκας σημείωσιν.

Χάρις ἡ τοῦ Πνεύματος, Χαρίτων Πάτερ σοι λάμψασα, τηλαυγῶς κατεφώτισεν. ἐντεῦθεν ἐμείωσας, τῶν παθῶν τὴν νύκτα, καὶ τῆς ἀπαθείας, ἡμέραν φθάσας καθαρῶς, καθαρωτάτῳ φωτὶ ὡμίλησας· ἐν ᾧ ἐνδιαιτώμενος, μὴ ἐπιλάθῃ θεσπέσιε, τῶν ἐν πίστει ὑμνούντων σου, ἱερῶς τὰ μνημόσυνα.

Ὅμοιον.

Χάριν ἐπανθοῦσαν σοι, Χαρίτων φέρων Οὐρανίον, ἐπιγείων ἠλόγησας. ἐντεῦθεν ὡς ἄσαρκος, κακουχίαις εἴλω, ζωῆς ἀϊδίου, τρυφῆς χειμάρρουν εὐσεβῶς, περιπολεύειν μέλλων θεόληπτε, καὶ δάκρυσιν ἐξήρανας, τὴν θολεραὶ πηγὴν Ὅσιε, τῶν παθῶν καὶ κατήρδευσας, ψυχοτρόφους τοὺς στάχυας.

Ὅμοιον.

Χάριν τῶν ἰάσεων, Χαρίτων Θείας ἐκ Χάριτος, ἐπαξίως ἀπείληφας. ἐντεῦθεν πνευμάτων σοι, τῶν τῆς πονηρίας, τέτραπται ἡ πλανή, καὶ νοσημάτων δυσχερῶν, λύμη φυγοῦσα οἴχεται Ὅσιε. πηγάζεις γὰρ ὡς νάματα, τῶν χαρισμάτων τὰ ῥεῖθρά σου. ἀφ' ὧν νῦν ἀρδευόμενοι, ἀνυμνοῦμεν τὴν μνήμην σου.

Δόξα, ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου. διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου, τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παῤῥησίαν ἔχων πρὸς Χριστὸν τὸν Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. θτ'. Τριήμερος ἀνέστης.

Ἐμὲ τὸν ἀδιόρθωτον, διόρθωσον πρεσβείαις σου, Θεοτόκε, ἡ ἐλπὶς Χριστιανῶν, καὶ ῥῦσαί με βασανέων, καὶ πάσης τιμωρίας, καὶ τοῦ πυρὸς τοῦ αἰωνίζοντος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Παναγνος ὡς εἶδέ σε, ἐπὶ Σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνεβόα μητρικῶς· Υἱέ μου καὶ Θεέ μου, γλυκύπατόν μου τέκνον, πῶς φέρεις Πάθος ἐπονείδιστον;

ΤΥΠΙΚΟΝ.

Ἰστέον, Εἰ μὲν ἑορτάζεται ὁ Ἅγιος, ἔασον τῆς Ὀκτωήχου, καὶ ψάλλε τοῦ Ἁγίου πάντα, ἔντε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ, καὶ εἰς τὸν ϛι. στιχηρὰ προσόμοια τοῦ Ἁγίου. Ὁμοίως καὶ εἰς τὸν Ὄρθρον, Εἰς τὴν στιχολ. Καθίσμ. τοῦ Ἁγίου. Καὶ ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς ϛ'. ἦχος πλ. Πολλοῖς συνεχόμενος πειρασμοῖς. Καὶ τοῦ Ἁγίου εἰς η'. Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογ. καὶ ὁ Πολυέλεος. Ἀναγινώσκεται δὲ καὶ ὁ βίος αὐτοῦ, δόσεις β'. Οἱ ἀναβαθμοὶ τὸ ἀ. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον ἦχος δ'. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος. στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Πᾶσα πνοή. Εὐαγγέλιον ὁσιακόν. ὁ Ν'. Καὶ οἱ Κανόνες τῆς Ὀκτωήχου, Καὶ τοῦ Ἁγίου. Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγεται. Ἔνθα γὰρ λέγεται τὸ Εὐαγγέλιον, Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγεται. Ἀφ' ἕκτης τὸ Κοντάκιον. Ἐξαποστειλάριον. Εἰς τοὺς Αἴνους, ϛι. προσόμοια τοῦ Ἁγίου. Δόξα, ἦχος πλ. β'. Ὅσιε Πάτερ· καὶ νῦν. Θεοτοκίον. καὶ εἰ ἑορτάζεται ὁ Ἅγιος, Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ, Καὶ ἀπὸ τοῦ Κανόνος τοῦ Ἁγίου, Ὠδὴ γ'. καὶ ϛ'. Προκείμενον ἦχος βαρύς. Καυχήσονται ὅσιοι ἐν δόξῃ. ϛι. Ἄσατε τῷ Κυρίῳ ᾆσμα. Ὁ Ἀπόστολος. Πρὸς Κορινθίους. Ἀδελφοὶ ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι. Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον, καὶ τὰ ἑξῆς.

Μηνὶ τῷ αὐτῷ ΚΘ'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κυριακοῦ τοῦ Ἀναχωρητοῦ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ϛι. ϛ'. καὶ ψάλλομεν ϛι. ἦχος πλ.

Τί ὑμᾶς καλέσωμεν.

Παθῶν κυριεύσας τοῦ σώματος, ἐγκρατείας χαλινῷ, θαυματουργὲ Κυριακὲ, ἀπαθείας τὴν λαμπραὶ, Πάτερ ἐνδέδυσαι

ςολὴν, καὶ πᾶσαν, τὴν κακίαν ἀπεγύμνωσας, τοῦ πάλαι, τοὺς Προπάτορας γυμνώσαντος, καὶ νῦν οἰκεῖς τὸν Παράδεισον, διὰ παντὸς εὐφραινόμενος. ἱκέτευε, τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν. Ὅμοιον.

Φέρων τὸν Σταυρὸν ἐπὶ ὤμων σου, ἠκολούθησας Χριςῷ, ἀνεπιςρόφῳ λογισμῷ, τῶν ἐν βίῳ ἡδονῶν, καταφρονῶν Κυριακὲ, καὶ πάθη, θανατώσας τὰ τοῦ σώματος, συντόνοις, ἀγρυπνίαις καὶ δεήσεσι, χάριν ἀπείληφας Ὅσιε τοῦ θεραπεύειν νοσήματα, ἱκέτευε, τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν. Ὅμοιον.

Ἔρημον κατῴκησας Ὅσιε, ἐδωδὴν Κυριακὲ, σκύλλαν ποιούμενος πικρὰν, καὶ τὴν αἴσθησιν πικραίνων, τῆς ψυχῆς τὰς ἡδονὰς, προῤῥίζους, ἐναπέπνιξας μακάριε. διόσε. ἡ Οὐρανίος ἀπόλαυσις, μετὰ τὸ τέλος ἐδέξατο, Ἀγγελικῶς βιοτεύσαντα. ἱκέτευε, τοῦ σῳθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος τῆς.

Ὧν Μοναςῶν τὰ πλήθη τὸν καθηγητὴν σε τιμῶμεν Κυριακὲ Πατὴρ ἡμῶν. διὰ γὰρ σοῦ τὴν τρίβον τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν. μακάριος εἶ τῷ Χριςῷ δουλεύσας. καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συμμέτοχε, Ὁσίων ὁμόσκηνε καὶ Δικαίων. μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. θτ. Τί ὑμᾶς καλέσωμεν.

Μίς ὁ προσφυγὼν ἐν τῇ σκέπῃ σου, Θεοτόκε Ἀειπάρθενε Ἀνύμφευτε Ἁγνὴ, οὐ λαμβάνει τὴν ταχεῖαν τῶν δεινῶν ἀπαλλαγήν; εὑρίσκει βοηθόν σε ἀκαταίσχυντον. προςάτιν τε καὶ πύργον ἀῤῥαγέςατον. Θεογεννῆτορ πανάμωμε. Χριςιανῶν ἡ ἀντίληψις, μεσίτευσον, τοῦ σῳθῆναι τοὺς τιμῶντάς σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἄρνα ἡ ἀμνὰς ὡς ἑώρακε, τὸν Υἱὸν αὐτῆς καθηλωμένον ἐν Σταυρῷ, ἐτιτρώσκετο τῆς λύπης, τῇ ῥομφαίᾳ τὴν ψυχὴν, τὰ σπλάγχνα, ἐδονεῖτο γόους πλέκουσα, καὶ λύπης, τὴν καρδίαν ἐνεπίμπλατο. οἴμοι Υἱέ μου γλυκύτατε, πῶς ταῦτα πάσχεις μακρόθυμε; δοξάζω σου, τὸ πρὸς ἅπαντας μακρόθυμον.

Εἰς τὸν ςι. ςι. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου. διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου, τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παῤῥησίαν ἔχων πρὸς τὸν Κύριον, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. θτ. Τριήμερος ἀνέςης.

Μεγίςων δωρημάτων ἡμῖν, ὁ τόκος ὁ ἀλόχευτος, τῆς Παρθένου, πᾶσι γέγονε σαφῶς. Θεὸς γὰρ τὴν φθαρεῖσαν, καινίζει βροτῶν φύσιν, καὶ ἀναπλάττει τὸ ἀνθρώπινον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσά σε ἡ Πάναγνος, ἐν Ξύλῳ καθηλούμενον, ἀνεβόα· ὦ Υἱέ μου καὶ Θεὲ, τί τὸ παράδοξόν σου, μυςήριον τοῦ Πάθους, δι' οὗ καὶ σῴζεις τὸ ἀνθρώπινον;

Τροπάριον, ἦχος α'.

Μῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι Ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης Θεοφόρε Πατὴρ ἡμῶν Κυριακὲ, νηςείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, Οὐρανία χαρίσματα λαβὼν· θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίςει προςρεχόντων σοι. δόξα τῷ δεδωκότι σοι ἰσχὺν, δόξα τῷ σὲ ςεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ςιλο. Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου εἰς ς'. Οὗ ἡ ἀκροςι. Κυριακὲ γένοιο πρὸς Θεὸν προςάτης.

Ἄνευ τῶν Θεοτοκίων.

Ποίημα Στεφάνου τοῦ Σαββαΐτου.

Ὠδὴ α'. ἦχος τῆς.

Ἄσμα ἀναπέμψωμεν λαοί.

Κλέος θείας γνώσεως Χριςὲ, παράχου μοι καὶ χάριτος, τὸν Ὅσιον ἀξίως, Κυριακὸν ὑμνῆσαι, ταῖς τούτου ἐντεύξεσι. σὺ γὰρ τῶν ὑπὲρ λόγον, ὁ ταμίας σοφῶν διδαγμάτων.

Ὕμνον προσκομίζοντά σοι νῦν, Κυριακὲ μακάριε, εὐμενῶς δεδεγμένος, τῆς θείας μεταχεῖν με, Χριςὸν καθικέτευε, αἴγλης καὶ φωταυγίας, καὶ τῆς ὄντως τυχεῖν σωτηρίας.

Ῥώμῃ τοῦ Δεσπότου κραταιᾷ, ῥωννύμενος τοὺς ἄρχοντας, Κυριακὲ παμμάκαρ, τοῦ σκότους ἐτροπώσω· τοῖς τούτου δὲ ἴχνεσι, Πάτερ ἀκολουθήσας, πρὸς τὴν ἄνω κατήντησας λῆξιν.

Ἔνω ἐνεδείξω ἐπὶ γῆς, πρὸς Ἀσωμάτους ἅμιλλαν, ὅλον καθυποτάξας, σαρκὸς τῷ

ζωηφόρῳ· τὸ φρόνημα Πνεύματι· ἔθεν ἐν Οὐρανοῖς νῦν, συγχορεύεις αὐτοῖς Θεοφόρε.

Θεοτοκίον.

Κλίμαξ ἀνεδείχθης νοητὴ, ἣν Ἰακὼβ πεθέαται, ὁ ἐκλεκτὸς τοῦ Θεοῦ, δι' ἧς ἀῤῥήτῳ λόγῳ, κατῆλθεν ὁ ἄσαρκος, σαρξ ἀτρέπτως γενέσθαι, ὑπὲρ λόγον ἐκ σοῦ Θεοτόκε.

Ὠδὴ γ'. Οὐκ ἔστιν Ἅγιος ὡς ὁ Κύριος.

Ἀνήκτως διήνυσας, τῆς ζωῆς τὸν πρίβον. ἐκ γὰρ βρέφος ἐπόθησας τὸν Κτίστην σε Ὅσιε· ἂν διψῶν ἔζεζήτας, ἐλάφου μιμούμενος, τὸν δρόμον ἐφ' ὕδασι πηγῆς.

Καρδίας τοῖς πίναξι, ἐγγραφάσας τοῖς σοῖς, δεδεγμένος Θεοπέσιε, δακτύλῳ τοῦ Πνεύματος, ὥσπερ ἔμψυχος βίβλος, ἐμπράκτως ἐτύπησας, Χριστοῦ τὰς ζωτικὰς ἐντολάς.

Κράτησας Ὅσιε, ἐν νηστείαις γαστρὸς, τῆς λυχνώδους ῥεύσεως, καὶ τὴν ὑπόγαστρον ἡδονὴν συνεκρώσας, ἁγνείᾳ συνέζησας, Πάτερ διὰ βίου παντός.

Ἡθύμενος ἔμφρονα, τῇ Τριάδι ναὸν, σεαυτὸν κατεσκεύασας, τὸν νοῦν καθηράμενος, καὶ τὸ σῶμα καὶ πνεῦμα, Τρισμάκαρ· ὑπ' γέγονας, δοχεῖον Τριηλίου φωτός.

Θεοτοκίον.

Παρθένος ἔτεκες ἀπαρόγαμε, καὶ Παρθένος ἔμεινας Μήτηρ ἀϋμφόλυπε, Θεοτόκε Μαρία. Χριστὸν τὸν Θεὸν ἱκέτευε, σωθῆναι ἡμᾶς.

Ὁ Εἱρμός.

» Οὐκ ἔστιν Ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν, ὃν ὑμνεῖ πᾶσα Κτίσις. οὐκ ἔστι γὰρ Ἅγιος πλὴν σοῦ Κύριε.

Ὠδὴ δ'. Ταχὺ προκατέλαβε.

Ἧς ἀπὸ ἐφιέμενος ὑπερκοσμίου ζωῆς, τοῦ Κόσμου τὴν τερπνότητα, ὡς διαπίπτουσαν, κατέλιπες Ὅσιε. ὅθεν ἐν ταῖς ἐρήμοις, καὶ σπηλαίοις οἰκήσας, Πόλεως Οὐρανίου, ἀνεδείχθης Πολίτης· ἐν ᾗ τῇ ἐκτελέσει, τὴν σὴν μνήμην μνημονεύομεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Καίνισας Ἀλλάντε, τῷ Θεῷ τόκῳ σε, φθαρεῖσαν ἐν πάθεσι, τῇ γηγενῶν τὴν ἀνηκὴν, ὑσίαν καὶ ἥγιασας, πάντας ἐκ τοῦ θανάτου, πρὸς ζωὴν ἀφθαρσίας. ὅθεν σε καταλεύσεως, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ὡς προεφήτευσας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρθένε Παναμωμε; Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σε, τὴν παναγίαν ψυχὴν, ἡνίκα σωρευόμενον, ἔβλεψας ἐκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου. ὃν περ ἀλογημονήν, δυσωπεῖσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

Ὠδὴ ε'. Σὺ μου Χριστὲ, Κύριος.

Φεῦγε σοῦ, Ἥλιος τὸ ἐγκρατὲς καὶ γέρον, δι' ἐτῶν σε, πλείων ὀφειλόμενον, μὴ δωρηθεὶς, ὅλως κατιδεῖν, μήτε ἐν ἡμέρᾳ, τροφῆς μετέχοντα Ὅσιε, ἀτόνους μελῳδεῖν, ἀγρυπνίας ἀπαύστους· τῇ δωρεᾷ σου δόξα φιλανθρωπε.

Νόμοις καινῆς, καὶ παλαιᾶς Διαθήκης Σοφὲ, ἐν σωτέσι, μάκαρ τῶν Ἁγίων ἀνδρῶν, ἐμμελετῶν, ἅπαν ἀκριβῆς, εἶδος ἐξεμάζω, σοφῆς μελίστης τὸν τρόπον ζηλῶν. καὶ σκεῦος ἡγιασμένον, ἐκλογῆς ἀνεβόας· τῇ δυνάμει σου δόξα φιλανθρωπε.

Ὄλβος τρυφῆς, καύχημα καὶ ἀγαλλίαμα, τῶν Ὁσίων, πέφυκας Χριστὲ ὁ Θεός. ὅθεν ποθῶν, σὲ Κυριακὸς, παύτα τὰ ἐν Κόσμῳ, περπνὰ λελόγισαι σκύβαλα. διὸ καὶ ἐν ἐρήμοις, ἐρωτικῶς ἀβάτοις, κατετρύφα τῆς σῆς ὡραιότητος.

Σμυρνοπότε, Μερόπας γλυκαίνων νάματα, τὸν Προφήτην, σκύλλης δὲ πικρὰν ἐδωδὴν, μεταβαλὼν, σὺ Κυριακὲ, εἰς γλυκασμὸν γεύσιν, τὴν παῤῥησίαν δεικνύεις σαφῶς, πρὸς Κύριον τὸν ὄντως, τῆς αὐτῆς ὑπηρέτας, Θείᾳ δυνάμει δοξάζοντα.

Φωτιστὴς, καὶ μιμητὴς τοῦ Δεσπότου Χριστοῦ, τὸ ἱκέτου σελιδιαζόμενον, σὺ τὸν Υἱὸν, διὰ προσευχῆς, οἴκτῳ θεραπεύων, πρὸς τοῦτο χάριν δεξάμενος, τὰς νόσους φυγαδεύεις, καὶ δαιμόνων τὰ σίφη, ἀπελαύνειν τῷ τύπῳ τοῦ Θείου Σταυροῦ.

Θεοτοκίον.

Τῶν Πιστῶν, καύχημα πέλας Ἀνύμφευτε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν, τεῖχος καὶ λιμήν. πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρας Παναμωμε, καὶ σώζας ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον ἀγνήν σε γινώσκοντας.

Ὠδὴ ς'. Ἵνα τίμε ἀπώσω.

Πρὸς Χριστὸν δεδεγμένος, τὴν ἀκαταμάχητον, χάριν τοῦ Πνεύματος, καταβέβληκας, μεγίστῳ κράτος δαιμόνων κοσμοκράτορας,

ρας, ψυχικῶν παθῶν δὲ, Κυριακὲ ἐπικρατήσας, ἀπαθείας στεφάνῳ κατέστεψαι.

Ἑ Ὡμαλαῖος ἐδείχθης, πόνοις τῆς ἀσκήσεως, ἐγκαρτερήσας στερρῶς, μέχρι γήρους μείνας, βαθυτάτου ἀνένδοτος Ὅσιε, ἐν ἐρήμοις ὥσπερ, Βασιλικῶν αὐλῶν θαλάμοις, σὺν πολλῇ χαρμονῇ διαιτώμενος.

Ὁ Λονύκτους ἀνύων, μάκαρ ἀγρυπνίας, καὶ πρὸς τὸν Θεὸν ἐκδημῶν, ἀμετεωρίστως, δι' εὐχῆς τῷ αὐλῷ ὡμίλεις νοΐ, καὶ λαμπρὰς ἐδέχου, Κυριακὲ φωτὸς ἀκτῖνας, φεγγοβόλους τὸν νοῦν ἐλλαμπόμενος.

Ε Ελασφόρου πλησθεῖσα, καὶ προφητικῆς ἀναρρήσεως Ὅσιε, ἡ σεπτή σου γλῶσσα, προηγόρευσε τῆς τυραννούσης τέως, Ὠριγένους λύμης, φρενοβλαβοῦς καὶ ψυχοφθόρου, παντελῆ καὶ τελείαν καθαίρεσιν.

Θεοτοκίον.

Ν Οερῶς ἐμυήθη, Προφητῶν ὁ σύλλογος τὰ σὰ μυστήρια. Οὐρανοῦ γὰρ Πύλην, ὁ Δεσπότης σε ἔδειξεν Ἄχραντε, καὶ ἐκ σοῦ Παρθένε, σωματωθεὶς Δικαιοσύνης, τοῖς ἐν σκότει ἀνέτειλεν Ἥλιος.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Θ Εὸς θετὸς γεγονὼς, Χριστοῦ θεώσει τοῦ φύσει Θεοῦ, τῆς φύσεως ἀλγεινὰς, πηρώσεις ἀνώρθωσας, νοσοῦντας ἰώμενος, δαιμονῶντας αὖθις, θεραπεύων Θείᾳ χάριτι.

Ε Ξέφυγες τοῦ πρὸς σὲ, φοιτῶντος πλήθους τὴν ὄχλησιν, καὶ πάλιν τοὺς φοβεροὺς, χειμάρρους κατέβαλες, ἐκκλίνων Ἀοίδιμε, τῶν καινῶν ἐπαίνων, τῶν ἀνθρώπων τὸ δοξάριον.

Ὁ Νείρου δίκην φθαρτοῦ, τοῦ Κόσμου πᾶσαν τὴν δόξαν ὁρῶν, τοῦ μόνου ζῶντος Θεοῦ, τῆς δόξης τῆς κρείττονος, ἐπόθησας μέτοχος, Σοφὲ χρηματίσαι, ἧς ἐνδίκως κατηξίωσαι.

Θεοτοκίον.

Ὡ Σ ἔμψυχος κιβωτὸς, ἐδέξω Λόγον τὸν ἄναρχον, ὡς ἅγιον Ἱερὸν, τὸν Κτίστην ἐχώρησας, ὡς θρόνος πυρίμορφος, φέρεις τὸν Δεσπότην, Θεομῆτορ πάσης Κτίσεως.

Κοντάκιον, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ε Γκρατείας ἄσκησιν, καὶ πολιτείαν, σὺ ἐκτήσω Ὅσιε, Κυριακὲ θαυματουργὲ, ὑπὲρ ἡμῶν καθικέτευε, τῶν ἐκτελούντων, ἐν πίστει τὴν μνήμην σου.

Ὁ Οἶκος.

Γ Αλήνης θείας χορηγὸς ὑπάρχων ὦ Χριστέ μου, τὸν κλύδωνα τοῦ βίου κατεύνασον οἰκτίρμον, ὡς μόνος εὐδιάλλακτος, ὅπως εἰς λιμένα καταντήσω ἀρετῆς, καὶ πίστει εὐφημήσω νῦν, Θείᾳ σου κυβερνήσει φιλάνθρωπε, τὸν γενναῖον ὄντως, Κυριακὸν τὸν ἔνδοξον, καὶ θεῖόν σου θεράποντα Σῶτερ. παρέχων ἀγαθὲ τοῖς σὲ φοβουμένοις, Παραδείσου τὴν τρυφὴν, ἔνθα δικαίων πάντων αἱ ψυχαὶ, εὐφραίνονται ἀκαταπαύστως, τῶν ἐκτελούντων, ἐν πίστει τὴν μνήμην αὐτοῦ.

Τῷ αὐτῷ Μηνὶ κθ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κυριακοῦ τοῦ Ἀναχωρητοῦ.

ᾗ. Σκύλλης ἀμύνῃ Κυριακὲ πικρίᾳ,
Γεῦσιν γλυκεῖαν, ᾗ θανεῖν κατεκρίθην.
Σκυλλιβόρος δ' ἐννάτῃ μύσεν εἰκάδι Κυριακός.

Ο Υ τος ὑπῆρχεν ἐπὶ τῆς Βασιλείας Θεοδοσίου τοῦ Μεγάλου, ἐκ πόλεως Κορίνθου, Πατρὸς Ἰωάννου, Πρεσβυτέρου τῆς ἐν Κορίνθῳ Ἐκκλησίας, καὶ μητρὸς Εὐδοκίας, ἀνεψιὸς Πέτρου Ἐπισκόπου, Ἀναγνώστης τὴν τάξιν. Ἔτος δὲ ὀκτὼ καὶ δέκατον ἀνύων, καὶ τὰ Ἱεροσόλυμα καταλαβὼν, παρὰ τοῦ μεγάλου Εὐθυμίου γίνεται Μοναχὸς, πολλὴν τε ἐπιδειξάμενος ἄσκησιν, καὶ τοὺς τὰ Ὠριγένους φρονοῦντας ἐλέγξας, καὶ πολλὰ θαύματα τῇ συνεργείᾳ Χριστοῦ τελέσας, ἐν βαθυτάτῳ γήρᾳ τὸν βίον ἀμείβει. ἦν δὲ πρᾷος καὶ εὐπρόσιτος, καὶ ἐκ Θείας ἀποκαλύψεως, περὶ τῶν μελλόντων προλέγων. μέγεθος ἔχων σώματος, μετὰ καί τινος εὐπρεπείας καὶ χάριτος, σῷα πάντα τὰ τοῦ σώματος μέρη φυλάττων, μὴ μεταχόντα τῆς ἀπὸ τοῦ χρόνου φθορᾶς. ἐπί τινας χρόνους καθηγησάμενος τῆς Λαύρας τοῦ Ἁγίου Χαρίτωνος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων τῶν ἐν Βυζαντίῳ.

Β Ασιλεύοντος Οὐάλεντος ἐν τῷ Βυζαντίῳ τοῦ Ἀρειανοῦ, ὡς παρατραπέντος τῆς εὐθείας ὁδοῦ, σκάφος εὐσεβῶν καὶ ὀρθοδόξων Πρεσβυτέρων, ἐμπλήσαντες οἱ τῆς ἀνοσίου αὐτοῦ συμμορίας, ἀφῆκαν ἀνερμάτιστον εἰς τὸ τῆς θαλάσσης πέλαγος. εἶτα τινὰς τῶν ὁμογνωμόνων, εἰς πορθμεῖον ἕτερον ἐμβιβάσαντες, πῦρ ἐπαφθῆναι τῷ σκάφει τῶν Ἱερέων ἐκέλευσαν. τούτου δὲ γενομένου

πυρὶ

πνεῖ καὶ ὕδατι μαχόμενοι οἱ Ἅγιοι, τῷ βυθῷ παρεπέμφθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων ἑκατὸν πεντήκοντα Μαρτύρων τῶν ἐν Παλαισίνῃ. Καὶ τῶν Ἁγίων Μαρτύρων, Τρύφωνος, Τροφίμου, καὶ Δορυμέδοντος, καὶ τῆς Ἁγίας Μάρτυρος Πετρωνίας.

ξ. Εἶφα κλίνασα τὴν κάραν Πετρωνία, Ψυχῆς ἐράσας, ὄμμα τῇ Θεᾷ Πέτρα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Γοβδελίας.

ξ. Σοὶ τὴν κεφαλὴν τῇ κεφαλῇ τῶν ὅλων, Χριστὲ προσῆξεν ἐκ ξίφους Γοβδελία.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Ἰακώβου καὶ Ἰωσὴφ τῶν ἐν Περσίδι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Ἀβραὰμ

Χριστιανῶν, τῆς φυλακῆς ἐξαχθεὶς, καὶ τοῖς βουνεύροις τυπτόμενος ὁ Ἅγιος, προσηύχετο ἀναθεματίζων τὸ πάτριον σέβας. τότε ὁ Γάργαλος δύο λώρους προσέταξεν ἐκβληθῆναι ἀπὸ τῶν ποδῶν τοῦ Ἁγίου ἄχρι τῆς κεφαλῆς αὐτοῦ εἰπών· πάντως ἐλθὼν ὁ Χριστός σου ἀποκαταστήσει σε ὑγιῆ. καὶ τούτου γενομένου δήσας αὐτὸν ἀσφαλῶς ἐναπέθετο τῇ εἱρκτῇ. λυθέντων δὲ αὐτομάτως τῶν δεσμῶν. καὶ τοῦ Ἁγίου ἀθρόον ὑγιοῦς ἀποκαταστάντος, ὥσπερ πρότερον ἦν· εἶδεν ὁ Γάργαλος καὶ ἐξέστη, καὶ ἀπελθὼν ἀπήγγειλε τῷ Βασιλεῖ. ὁ δὲ πρὸς αὐτόν· ἀπόκτεινον ἔφη τὸν δυοσεβῆ. οὐ γὰρ Υἱός μου ἐστὶν, ἀλλ' ἐπίβουλος, ἐπεὶ ἐπίστευσεν εἰς Χριστόν. Ἐμβαλὼν οὖν σούβλαν πεπυρωμένην εἰς τὸ οὖς αὐτοῦ, καὶ διαβιβάσας εἰς τὸ ἕτερον, ἀπέθετο ἐν τῇ φυλακῇ. προσευχομένου δὲ αὐτοῦ, ἐλθὼν Ἄγγελος Κυρίου ἦρε τὴν σούβλαν, καὶ ἰάσατο αὐτόν. ἰδὼν δὲ ὁ Γάργαλος, καὶ βουνεύροις τοῦτον καταξαίνας, καθεῖρξε. καὶ τῇ ἑξῆς πάλιν ῥοΐνας ῥάβδοις ἔτυψεν. εἶθ' οὕτως ὀγγίνοις σιδηροῖς τὰς πλευρὰς αὐτοῦ καταξαίνων ἀφειδῶς, ἔλεγεν· ἴδωμεν εἰ ἔλθῃ ἄρτι ὁ Χριστός σου, καὶ ἰάσεταί σε. καὶ ὡς μόνον προσηύξατο ἐν τῇ φυλακῇ ὤν, παρευθὺς τὴν ἴασιν ἔλαβε, δοξάζων καὶ εὐλογῶν τὸν Θεόν. ἰδόντες δὲ αὐτὸν οἱ ἐν τῇ φυλακῇ οὕτως ἔχοντα, ἐξέστησαν λέγοντες. μέγας ὁ Θεὸς τῶν Χριστιανῶν. Ὁ δὲ Ἄρχων θυμωθεὶς, ἐκέλευσεν ὀγγίνους σιδηροῦς κλεισθῆναι κατὰ τῶν ὤμων αὐτοῦ, καὶ κρεμασθῆναι ἀπὸ ὥρας τρίτης, μέχρις ἐννάτης. καὶ τούτου γενομένου, ὁ Ἅγιος καὶ ἀπηωρημένος ὤν, προσηύχετο καθ' ἑαυτόν. καταχθεὶς δὲ ἐκεῖθεν, τῇ φυλακῇ καὶ αὖθις κατησφαλίσθη. Ἡ οὖν Μήτηρ καὶ ἡ Ἀδελφὴ αὐτοῦ, ἐπεθύμουν αὐτὸν θεάσασθαι, ἀλλ' ἐφοβοῦντο τὸν Βασιλέα. Ὑπομνησθεὶς δὲ ὁ Βασιλεὺς, λέγει τῷ Γαργάλῳ· ἔτι ζῇ ὁ Γοβδελαᾶς ὁ μάγος; ὁ δὲ, ναὶ Βασιλεῦ ἔφη. πολλὰ μὲν ἐνεδειξάμην δεινὰ εἰς αὐτὸν, ἔτι δὲ ζῇ. τότε ὁ Βασιλεὺς προσέταξεν ἀποσπασθῆναι τὸ δέρμα τῆς κεφαλῆς αὐτοῦ ἀπὸ τοῦ τένοντος, καὶ καλύψαι τὴν ὄψιν αὐτοῦ, καὶ πάλιν ῥιφθεὶς ἐν τῇ φυλακῇ, ἐδόξαζε τὸν Θεόν. Τῇ δὲ ἑξῆς μαθὼν ὅτι ζῇ, τοὺς ὄνυχας τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτοῦ ἐκριζώσας, καὶ τοὺς τέσσαρας γομφίνους μύλωνας τῶν ὀδόντων αὐτοῦ, ἔρριψεν αὐτὸν ἐν τῇ φυλακῇ, ὡς κυύα τεθνηκότα, προστάξας μὴ δοθῆναι ὕδωρ, μητέτινα εἰσελθεῖν πρὸς αὐτόν. Ἀφίκετο δὲ πρὸς αὐτὸν ἡ Ἀδελφὴ αὐτοῦ, καὶ δέδωκεν αὐτῷ ὕδωρ, εἰποῦσα τῷ δεσμοφύλακι· εἰ τὸ γεγονὸς κατάφορόν τινι ποιήσῃς, τὴν κεφαλὴν ἀποτμηθήσῃ. καὶ μέχρι μὲν τούτου, τὰς ἰάσεις ἐδέχετο, ὡς μὴ πεπαγιωμένης οὔσης καὶ στερεᾶς τῆς αὐτοῦ ψυχῆς. παγιωθείσης δὲ τῆς πίστεως αὐτοῦ, ἰάσεις μὲν οὐκ ἐδέχετο, ὑπομονὴν δὲ καὶ παῤῥησίαν καὶ προθυμίαν ἐν ταῖς βασάνοις λαμβάνων, τῇ τοῦ Ἁγίου Πνεύματος ἐπιλάμψει, τετραυματισμένος ὤν, ἔχαιρε, καὶ ἑτέρους ἐθεράπευε. καὶ πάντες ἐθαύμαζον ἐπὶ τούτοις. Γάργαλος δέ τις ἕτερος, Μάγος ἐν τῷ δεσμωτηρίῳ ὤν, χάριν πολλῶν κακῶν, ὧν διεπράξατο, ἰδὼν τὴν ὑπομονὴν τοῦ Ἁγίου, καὶ τὰ παρ' αὐτοῦ γινόμενα ἐνδοξάτε καὶ ἐξαίσια ἐν τῇ φυλακῇ, ἐπέπεσε παρὰ τοὺς πόδας αὐτοῦ, λέγων· δέομαί σου Δοῦλε τοῦ Θεοῦ, μνήσθητί μου ἐνώπιον τοῦ Χριστοῦ σου. ὁ Ἅγιος εἶπε· πίστευσον εἰς αὐτὸν, καὶ ῥύσεταί σε ἐκ πάντων τῶν κακῶν σου. ὁ Γάργαλος εἶπε· πιστεύω εἰς σὲ Κύριε Ἰησοῦ Χριστὲ, καὶ προσεκολλήθη τῷ Γοβδελαᾷ. καὶ τῇ ἑξῆς καθίσας ὁ Ἄρχων, παρέστησεν ἀμφοτέρους, καὶ ἀποδύσας τὸν Γάργαλον, προσέταξε τύπτεσθαι ῥάβδοις. τυπτόμενος δὲ, καὶ εἰς Οὐρανὸν ἀποβλέπων, Κύριε Ἰησοῦ Χριστὲ ἔλεγε, διὰ τὸ ὄνομά σου πάχω· ἐνδυνάμωσόν με. καὶ ταῦτα εἰπὼν, παρέθετο τὴν ψυχὴν τῷ Κυρίῳ. Τὸν δὲ Ἅγιον Γοβδελαᾶν βαλὼν εἰς τεκτωνικὸν κοχλίαν, κατέξεσε τοὺς πόδας αὐτοῦ. εἶθ' οὕτω σφαίρας σιδηρᾶς ἐκπυρώσας, τὰς μασχάλας αὐτοῦ κατέκαυσεν. ἐμβληθέντος δὲ αὐτοῦ εἰς τὴν φυλακὴν, οἱ δέσμιοι χριόμενοι ἐκ τῶν ἰχώρων τῶν σαρκῶν αὐτοῦ, ἐθεραπεύοντο ἐκ τῶν πληγῶν, ὧν ἐπεφέροντο ἐκ τῶν μαστίγων. ἀλλὰ καὶ ἀσθενεῖς εἰσερχόμενοι, ῥῶσιν ἐλάμβανον, καὶ ἐδόξαζον τὸν Θεόν. Ἀκούων δὲ ὁ Ἄρχων ἠπίστει, καὶ μετὰ πεντεκαίδεκα ἡμέρας, ἐξαγαγὼν αὐτὸν τῆς φυλακῆς, εὗρεν αὐτὸν ὁλόκληρον, σῷον, καὶ ὑγιῆ. καὶ ἰδὼν ἐξέστη. καὶ βαλὼν εἰς λέβητα πίσσαν καὶ τίαφον, καὶ ἐκκαύσας αὐτὸν σφοδρῶς, προσέταξεν ἐν τούτῳ βληθῆναι τὸν Ἅγιον. ὁ δὲ Ἅγιος ἀνα-

βλέ-

βλέψας εἰς τὸν Οὐρανὸν, καὶ προσευξάμενος, ἐβλήθη ἐν τῷ λέβητι. τούτου δὲ διαῤῥαγέντος, ἐξῆλθεν ὁ Ἅγιος ὑγιὴς, μηδ' ὁποσοῦν μολυνθεὶς παρ' αὐτοῦ. τότε σκεψάμενος μετὰ τῶν συὺ αὐτῷ ὁ Γάργαλος, ἐσταύρωσε τὸν Ἅγιον ἐπὶ ξύλου γυμνὸν, καὶ ἐτόξευον αὐτὸν ἐπὶ ὥρας πολλὰς πλῆθος λαοῦ πολύ. καὶ ἦν ἰδεῖν πρᾶγμα παράδοξον. οὐ μόνον γὰρ ὁ Ἅγιος ἄτρωτος ἔμεινεν, ἀλλὰ καὶ τὰ πεμπόμενα κατ' αὐτοῦ βέλη, ἐν τῷ ἀέρι ἀπηώρηντο. τοῦτο πάντας ἐξέπληξεν. Ὁ τὴν βουλὴν δὲ ταύτην δοὺς, τείνας τὸ τόξον κατὰ τοῦ Ἁγίου, τοῦ βέλους ἀνακάμψαντος, καὶ τὸν δεξιὸν αὐτοῦ ὀφθαλμὸν τρώσαντος, δεδήλωκεν αὖθις τῷ Βασιλεῖ πάντα. ὁ δὲ Βασιλεὺς ἀπέστειλε Κασδόαν τὴν Θυγατέρα αὐτοῦ, κατηχῆσαι τὸν Γοβδελαᾶν. ἡ δὲ ἀπελθοῦσα, καὶ ὑπὸ τοῦ ἀδελφοῦ κατηχηθεῖσα, γέγονε Χριστιανή. Θυμωθεὶς δὲ ὁ Βασιλεὺς ἐπὶ τούτῳ, προσέταξε ταθῆναι τὴν Θυγατέρα αὐτοῦ, καὶ ῥάβδοις τύπτεσθαι. οὗ γενομένου, ἔῤῥιψεν αὐτὴν ἐν τῷ δεσμωτηρίῳ. ἡ δὲ Κασδόα κειμένη ἐν τῇ φυλακῇ, καὶ ὀδυνωμένη ἀπὸ τῶν προσενεχθεισῶν αὐτῇ μαστίγων, φησὶ πρὸς τὸν Ἅγιον· εὖξαι ὑπὲρ ἐμοῦ, ὅτι οὐ δύναμαι ὑπενεγκεῖν τὰς βασανούς. ὁ δὲ Ἅγιος, ἡ πρὸς Χριστόν σου Πίστις μὴ ἐκλείπῃ, καὶ ἐλπίζω εἰς τὸν Χριστὸν, ὃν ἐπίστευσας, οὐ μή σου ἅψηται βάσανος, οὐδ' οὐ μὴ πειρασθῇς ἑτέρας βασανοῦ. Ἐξαγαγὼν δὲ ὁ Βασιλεὺς τὸν Ἅγιον Γοβδελαᾶν, προσέταξε δεθῆναι τὰς χεῖρας καὶ τοὺς πόδας αὐτοῦ, καὶ ῥιφῆναι εἰς τοὺς μήλωνας ἵππους, ὅπως καταπατηθῇ ὑπ' αὐτῶν δι' ὅλης τῆς νυκτός· οὗ γενομένου, ἀβλαβὴς διεφυλάχθη, εὐλογῶν τὸν Θεόν. Πρωΐας δὲ εὑρεθεὶς σῷος, καὶ τῶν δεσμῶν λελυμένος, ἐξέστησεν ἅπαντας. Τότε σοῦβλας πυρώσας, κατέκαυσεν αὐτόν. εἶθ' οὕτω δύο ὀγγίνους κελεύει βληθῆναι εἰς τὰς χεῖρας αὐτοῦ, καὶ κρεμασθῆναι εἰς δύο ξύλα, ἀπέχοντα ἀλλήλων ἀπὸ πηχῶν τριῶν. ὁ δὲ Ἅγιος καὶ ἀπηωρημένος ὤν, προσηύχετο. Δαδιὴς δὲ καὶ Αὐδιὴς χριστιανοὶ ὄντες, παρεστήκεισαν ἀπογραφόμενοι τὰ τοῦ Μάρτυρος ἆθλα ἐν τῷ κρυπτῷ, διὰ τὸν φόβον τοῦ Βασιλέως. πρὸς οὓς ὁ Ἅγιος εἶπεν· εἰ δυνατὸν ὑμῖν, ἀγάγετέ μοι ὕδωρ καὶ ἔλαιον πρὸς τὸ βαπτισθῆναί με· εἰ δὲ ἀδυνάτως ἔχετε, εὔξασθε, ἵνα τοῦτο γένηται. Ταῦτα λέγοντος αὐτοῦ, ἰδοὺ νέφος μικρὸν ὡς ὁμίχλη ἐπεσκίασε τὸν Ἅγιον, καὶ ἐξέχεε κατὰ τῆς κεφαλῆς αὐτοῦ ἔλαιον καὶ ὕδωρ κρουνηδὸν, καὶ ἤκουσε φωνῆς λεγούσης αὐτῷ· ἰδοὺ ἐδέξω τὸ Ἅγιον Βάπτισμα, δοῦλε τοῦ Θεοῦ Γοβδελαᾶ. καὶ ἐφανὴ τὸ πρόσωπον αὐτοῦ ὡς φῶς, καὶ εὐῳδία γέγονεν οὐκ ὀλίγη, ἀκούσας δὲ ὁ Ἅγιος τῆς φωνῆς, ἐν τῷ ξύλῳ κρεμάμενος, προσηύξατο πρὸς τὸν Θεὸν, εὐχαριστῶν, καὶ δοξάζων αὐτόν. Καταγαγὼν δὲ τοῦτον ὁ Γάργαλος ἐκ τῆς τιμωρίας ταύτης, ὀξύνας καλάμους προσέταξεν ἅπαν τὸ σῶμα αὐτοῦ κατακεντηθῆναι ἀπὸ ποδῶν ἄχρι τῆς κεφαλῆς. Ὁ δὲ Ἅγιος Μάρτυς ἐπὶ πολλὰς τὰς ὥρας κατακεντούμενος, καὶ πρὸς Θεὸν εὐχόμενος, παρέδωκε τὴν ψυχήν. Τότε ὁ Γάργαλος δήσας τοὺς πόδας αὐτοῦ ἐν σπαρτίῳ, καὶ ἵπποις ἀγρίοις τοῦτο προσδήσας, ἐκέλευσε γυμνὸν τὸ σῶμα ἕλκεσθαι εἰς τραχεῖς καὶ πετρώδεις τόπους, ὅπως αἱ σάρκες αὐτοῦ πᾶσαι διαμεμισθῶσι τῇ γῇ καὶ ταῖς πέτραις. ὃ καὶ γέγονε. τὸ δὲ περιλειφθὲν αὐτοῦ σῶμα, κόψας εἰς τρεῖς μερίδας, διεσκόρπισεν. ὅπερ λαβόντες πολλοῦ τιμήματος οἱ προμνημονευθέντες ἄνδρες Χριστιανοὶ, οἱ καὶ Πρεσβύτεροι ὑπῆρχον, Δαδιὴς, καὶ Αὐδιὴς, καὶ Ἁρμαζαὰκ ὁ Διάκονος, ἀπήγαγον ἐν τοῖς οἴκοις αὐτῶν, καὶ ἀρώμασι σινδόσιν εἰλίσαντες, κατέθεντο ἐπιμελῶς. Τὸν δὲ Ἅγιον Δάδαν τὸν ἐνδοξότατον τὸν καὶ συγγενῆ τοῦ Βασιλέως, πρότερον πολυειδῶς, καὶ πολυτρόπως βασανίσαντες, κατέκοψαν μελῃδόν. καὶ οὕτω καὶ αὐτὸς ἐν Κυρίῳ ἐτελειώθη. Φιλόθεοι δέ τινες λαβόντες αὐτοῦ τὰ συγκοπέντα λείψανα, καὶ κηδεύσαντες, κατέθεντο ἐν ἐπισήμῳ τόπῳ. ψαλλόντων δὲ καὶ τῶν προμνημονευθέντων τριῶν ἀνδρῶν δι' ὅλης τῆς νυκτὸς, περὶ τὸ μεσονύκτιον εὑρέθη καὶ ὁ Ἅγιος Γοβδελαᾶς ἐν τῷ μέσῳ αὐτῶν, καὶ φησίν· ἐνδυναμοῦσθε ἐν Κυρίῳ ἀδελφοὶ, καὶ στῆτε ἑδραῖοι καὶ ἀμετακίνητοι, καὶ μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. οἱ δὲ ὡς εἶδον αὐτὸν, ἐχάρησαν. εἶπε δὲ αὐτοῖς πάλιν· καὶ δώῃ ὑμῖν Κύριος τὸν μισθὸν, ὑπὲρ ὧν μοι πεποιήκατε. καὶ κλίνας τὴν κεφαλὴν αὐτοῦ πρὸς Δαβιῆ, λέγει·

λάβε

λάβε τὸ κέρας τοῦ ἐλαίου, καὶ τοῦ Ἁγίου Σώματος τοῦ Χριστοῦ, καὶ εἴσελθε εἰς τὸν περίβολον τοῦ Βασιλέως, καὶ χρίσον Κασδόαν τὴν Ἀδελφήν μου, καὶ μετάδος αὐτῇ τοῦ Ἁγίου Σώματος· ὁ δὲ λαβὼν αὐτὰ, ἐπορεύθη. καὶ ὡς κατέλαβε τὴν θύραν, ὤφθη αὐτῷ Ἄγγελος Κυρίου, καὶ εἰσῆλθε σὺν αὐτῷ. καὶ βαπτίσας αὐτὴν ὁ Ἱερεὺς, καὶ μεταδοὺς αὐτῇ τοῦ Δεσποτικοῦ Σώματος, εἶπεν· ἄπελθε, καὶ κάθευδε ἕως τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ εὐθέως λαβὼν ὁ Ἄγγελος τὴν ψυχὴν αὐτῆς, ἀπῆλθε πρὸς Οὐρανούς. Πρωΐας δὲ, εἰσελθοῦσα ἡ Μήτηρ αὐτῆς, καὶ εὑροῦσα ταύτην τελειωθεῖσαν, ἀπῆλθε πρὸς τὸν Βασιλέα, καὶ λέγει αὐτῷ· τοῦ λοιποῦ Βασιλεῦ χαῖρε σὺ καὶ ἡ Βασιλεία σου. ὁ Υἱός μου, ὡς μυρίων φονευτῶν ἐγκλήματα μόνος ἔχων, μυριοπλασίως τιμωρηθεὶς, τοῦ ζῆν παρὰ σοῦ ἀπηλλάγη. καὶ ἰδοὺ νῦν καὶ ἡ θυγάτηρ μου, ὡς φονεύτρια τοῦ ἰδίου Πατρὸς, γυμνὴ ὥσπερ λῃστὴς ταῖς ἀκανθώδεσι ῥάβδοις καταξανθεῖσα, καὶ αὐτὴ ἐτελεύτησε. Ταῦτα ἀκούσας ὁ ἀνάλγητος ἐκεῖνος καὶ αἱμοβόρος Βασιλεὺς, οὐδ' ὁπωσοῦν ἐκάμφθη πρὸς οἶκτον. Ἡ δὲ Βασίλιοσα λαβοῦσα ἀρώματα πολυειδῆ καὶ ἡδύπνοα, ἐμύρισε τὸ Λείψανον τῆς Ἁγίας αὐτῆς Θυγατρὸς, καὶ πορφύρᾳ Βασιλικῇ εἰλίσασα, κατέθετο μετὰ Γοβδελαᾶ τοῦ Υἱοῦ αὐτῆς, εἰς δόξαν τοῦ ἀγαθοῦ καὶ φιλανθρώπου Θεοῦ ἡμῶν. ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Νόμων καὶ λόγων θεοπνεύστων, κατεγλύκανε τὸν φάρυγγα μελέτῃ, ὑπὲρ μέλι ὁ σὸς, πιστότατος θεράπων, εὐλογητὸς εἶ Κύριε, μελῳδῶν εἰς τοὺς αἰῶνας.

Μάκαρ θεσπέσιε προσάγοις, τοὺς ὑμνοῦντάς σε Θεῷ κεκαθαρμένους, ἐξ ἰλύος παθῶν, πρεσβείαις σου βοῶντας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὅλην τοῦ Πνεύματος τὴν χάριν, εἰσῳκήσατο Χριστέ σου, ἐραστὴς γὰρ, τοῦ ἀφράστου φωτὸς, ὁλόψυχος ὑπῆρχε, Κυριακὸς κραυγάζων σοι· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἵνα λεόντων διαδράσῃ, τὴν ὠμότητα Δανιὴλ ἐδοξάσθη. ὑπουργοῖς δὲ αὐτοῖς, ἐκέχρητο προστάσσων, Κυριακὸς κραυγάζων σοι· ὁ Θεὸς εὐλογητὸς εἶ. Δόξα.

Πράξει προσθεὶς τὴν θεωρίαν, Τρισυπόστατον ἐκήρυξας Οὐσίαν, ἐν Πατρὶ καὶ Υἱῷ, καὶ Πνεύματι κραυγάζων· Κυριακὲ θεόληπτε, ὁ Θεὸς εὐλογητὸς εἶ. Θτ.

Ἐβέσον τὴν φλόγα τῶν παθῶν μου, καὶ κατεύνασον αἱρέσεων τὴν ζάλην, Θεομήτορ τοῖς σοῦ, κραυγάζουσι τῷ Τόκῳ. εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ η'. Νικηταὶ Τυραννοῦ.

Ῥοαῖς τῶν δακρύων, ἤρδευσας Μακάριε τὴν ἱεράν σου, κατανύξει θείᾳ, ψυχὴν καὶ πολύκαρπον ἔδειξας μέλπων· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὁ Θεσβίτης πάλαι, αὐχμῷ κατεξήρανεν ὄμβρον ψεκάδας· ὑετοῦ δὲ χύσιν, ἐν ἀκμῇ κατήγαγες θέρους σὺ μάκαρ, εὐλογεῖτε μέλπων τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἐν τῶν κακοδόξων, τὴν ἀπάτην ἤλεγξας τοῦ Ὠριγένους, γενικοῖς ἀγῶσι, Μαθητῶν τοῦ λήρου τε καὶ μυθολόγου, εὐλογεῖτε μέλπων, εὐσεβῶς τὸν Κύριον πᾶσα ἡ Κτίσις, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Δόξα.

Μῆς Τριάδος μίαν, εὐσεβῶς ἐδίδαξας Πάτερ Οὐσίαν, τρισὶν ἐν Ἡλίοις, ὥσπερ μίαν αἴγλην τε καὶ λαμπηδόνα, εὐλογεῖτε λέγων, ὀρθοδόξως τὸν Κύριον πᾶσα ἡ Κτίσις, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Μοῦ Ἀδὰμ Παρθένε, τοῦ παραπεσόντος μὲν ὤφθης Θυγάτηρ, τοῦ Θεοῦ δὲ Μήτηρ, τοῦ ἀνακαινίσαντός μου τὴν οὐσίαν. ὃν ὑμνοῦμεν πάντα τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἄντρον σε δέδεκται σοφὲ, τὸ δεξάμενον πηγὴν τὴν θεόσδοτον, τερατουργήσαντος, τοῦ θείου πάλαι πατρὸς Χαρίτωνος, Μωσαϊκῶς Κυριακὲ, καὶ τεῖχος ἀκράδαντον, τῇ Ποίμνῃ γέγονας, τῇ ἐκείνου καὶ φρουρὸς ἀσφαλέστατος.

Μῆς ὄντως ἔρωτι ζωῆς, τὸν Σταυρὸν ἐπὶ τῶν ὤμων ἀράμενος, τὸν βίον Κυριακὲ, μελέτην ἔθου θανάτου. ὅθεν καὶ νῦν, πρὸς

τὴν

τὴν ἀγήρω μεταςὰς, τρυφὴν τὴν ἀκήρατον, τοῖς Οὐρανίοις χοροῖς, ἐν φωτὶ περὶ Θεὸν συγχορεύεις ἀεί.

Ἤστραψας αἴγλῃ πυρωθεὶς, τοῦ Πνεύματος καὶ ὤφθης ταῖς ὕπερθεν, χοροςασίαις φαιδρὸς, ἀλλ' αὔγασόν μου τὸν νοῦν μακάριε, τῷ νοερῷ καὶ τριφεγγεῖ, φωτὶ τῆς Θεότητος, ταῖς ἱκεσίαις σου, καὶ παθῶν με καὶ πταισμάτων διάσωσον.

Στεφθέντες τῷ νικητικῷ, διαδήματι Χαρίτων θεσπέσιε, Κυριακέ τε μάκαρ, καὶ παρεςῶτες τῷ ἐν ὑψίςοις Θεῷ, ποίμνην ἰδίαν πατρικῶς, κινδύνων λυτρούμενοι, νῦν ἐποπτεύετε, ἑορτάζουσαν ὑμῶν τὰ μνημόσυνα. Θεοτοκίον.

Ἔντεινε καὶ κατευοδοῦ, καὶ βασίλευε Υἱὲ Θεομήτορος, Ἰσμαηλίτην λαὸν καθυποτάττων τὸν πολεμοῦντα ἡμᾶς, τῷ φιλοχρίςῳ Βασιλεῖ, πρεσβείαις δεόμεθα, τῆς Κυησάσης σε ἀπειρανδρως, ὡς Θεὸς καὶ φιλανθρωπος.

Ἐξαποςειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἐν δόξῃ παριςάμενος, Θεῷ τῷ Παντοκράτορι, Κυριακὲ σὺν τῷ Θείῳ, Χαρίτωνι Θεοκήρυξ, ἀδιαλείπτως μέμνησον, τῶν ἐκτελούντων Ἅγιε, τὴν φωτοφόρον μνήμην σου, καὶ σὲ Χριςοῦ ὑπηρέτην, τιμώντων Πάτερ ἐκ πόθου.

Θεοτοκίον. Ὅμοιον.

Κυρίως Θεοτόκον σε, ὁμολογοῦμεν Δέσποινα, οἱ διὰ σοῦ σεσωσμένοι. καὶ γὰρ Θεὸν ἀπορρήτως, ἐκύησας τὸν λύσαντα, διὰ Σταυροῦ τὸν θάνατον, πρὸς δ' ἑαυτὸν ἑλκύσαντα, Ὁσίων δήμους μεθ' ὧν σε, ἀνευφημοῦμεν Παρθένε.

Ὡς συνήθες, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν. Ζήτει τὴν ἅπασαν Ἀκολουθίαν, εἰς Ὁσίους.

Μηνὶ τῷ αὐτῷ Λ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Γρηγορίου τῆς μεγάλης Ἀρμενίας.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱςῶμεν ϛι. ς'. καὶ ψάλλομεν ϛι. ἦχος π. β'.

Ὅλην ἀποθέμενοι.

Μαρτύρων ἐν αἵματι, τὴν ἱεραν διπλοΐδα, φοινίξας εἰσέδραμες, εἰς Ἁγίων Ἅγια, ἀξιάγαςε, ἔνθα φῶς ἄρρητον, ἔνθα θεία δόξα, ὅπου ἦχος ἑορτάζοντος, ἐν ᾧ τῶν πόνων σου, Μάρτυς ἀποδέχῃ τὰ ἔπαθλα, καὶ ςέφος τὸ ἀμάραντον, καὶ τὴν αἰωνίζουσαν εὔκλειαν, καὶ τοῦ Παραδείσου, τὴν οἴκησιν Γρηγόριε σοφὲ, ἐν παρρησίᾳ δεόμενος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐασάνων οὐκ ἔσεισε, σοῦ τὴν ψυχὴν τρικυμία, οὐ κάθειρξις χρόνιος, ἐν ζοφώδει λάκκῳ σε κατακρύπτουσα, Ἀθλητὰ ἔνδοξε. ἀλλ' ὡς φῶς ἤςραψας, τοῖς ἐν σκότει κινδυνεύουσι, τῆς ματαιότητος οὓς Υἱοὺς ἡμέρας ἀνέδειξας, λουτροῦ διὰ Βαπτίσματος, καὶ ἀναγεννήσεως κρείττονος, καὶ σωτηριώδους, καὶ θείας ἀληθοῦς διαγωγῆς, ὡς Ἱεράρχης θεόληπτος, πάνσοφε Γρηγόριε.

Νυμφίον ἀθάνατον, σὲ τὸν ἁπάντων Δεσπότην, Ῥιψιμία ςέργουσα, τὴν δοραν ἀφῄρηται, τὴν τοῦ σώματος, τῶν παθῶν πρότερον, τὸν ζοφώδη σάκκον, ἐγκρατείᾳ διαρρήξασα. μεθ' ἧς ἠγώνισαι, καὶ Γαϊανὴ ἡ ἀοίδιμος, Παρθένων ἐπιφέρουσα, ὅμιλον ςερρῶς ἐναθλήσαντα, καὶ καταβαλόντα, τῆς Εὔας τὸν ἀρχαῖον πτερνιςήν. ἃς ἐπαξίως γεραίροντες, σὲ Χριςὲ δοξάζομεν.

Δόξα, ἦχος π. β'. Σεργίου.

Μὶς ἐπαξίως τῶν ἀρετῶν σου διηγήσεται τὰ τρόπαια; ποῖον ςόμα τοῦ μαρτυρίου τὴν καρτερίαν ἀποφθέγξοιτο; ἐν ἀμφοτέροις γὰρ ἠρίςευσας Γρηγόριε. ἀλλὰ μὴ παύσῃ δυσωπῶν, εὐαρεςήσας Χριςῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν, ὡς ἔχων Ἱερομάρτυς παρρησίαν πολλήν.

Καὶ νῦν θτ. Τριήμερος ἀνέςης.

Μὴν πᾶσαν μου ἐλπίδα εἰς σὲ, Παρθένε ἀνατίθημι, μὴ παρίδῃς, ἀλλὰ σπεῦσον ἀγαθὴ, ῥυσθῆναί με ἐν τάχει, παθῶν τῶν ἐνοχλούντων, καὶ καθεκάςην πολεμούντων με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁ Ἥλιος ἐσκότασε, Υἱέ μου προσηλούμενον, φωτοδότα, καθορῶν σε καὶ ἡ γῆ, τῷ φόβῳ ἐκλονεῖτο, λαὸς δὲ Ἰουδαίων, οὐδ' ὅλως ὤκτειρε παμφίλτατε.

Εἰς τὸν ϛι. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος π. β'.

Εἰς τὸν ἄδυτον γνόφον τοῦ ἀφράςου φωτὸς, εἰσδύσας νοητῶς, ὁ Μάρτυς καὶ Ποιμὴν, ἐμυή-

ἐμνήθη τὰ ἀπόῤῥητα τῶν μυστηρίων Θεοῦ. ὡς Μάρτυς μὲν φωτιζόμενος, ὡς Ποιμὴν δὲ μυσταγωγούμενος. διὸ διπλοῦς καὶ τοὺς στεφάνους, ἐκ τῆς ἄνω δόξης ἀνεδύσατο, πρεσβεύων πάντοτε Χριστῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Ἢ Σταυροθ. Τριήμερος ἀνέστης.

Παρίστατο τῷ Ξύλῳ ποτὲ, καιρῷ τῷ τῆς Σταυρώσεως, ἡ Παρθένος σὺν Παρθένῳ Μαθητῇ, καὶ κλαίουσα ἐβόα· οἴμοι πῶς πάσχεις πάντων, Χριστὲ ὑπάρχων ἡ ἀπάθεια. Ἀπολυτίκιον, ἦχ δ'. Καὶ τρόπων μέτοχος.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ξιλό. Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροξι. Τὸν γρήγορον μέλπω σε Μάρτυς Ποιμένα.

Ὠδὴ α'. ἦχ δ'. Τριστάτας κραταιούς.

Ὠριάδι τῇ σεπτῇ, παρεστὼς στεφηφόρος, ὡς γρήγορος Ποιμὴν, ὡς Μάρτυς ἱερὸς, ἱεραῖς σου δεήσεσι, κοίμησον τὰ τῶν παθῶν μου, ἀχλυώδη ἰνδάλματα, εὐφημοῦντί σε μάκαρ Γρηγόριε.

Ὁ Ἄδυτος λαμπτὴρ, Ἱεράρχης ὁ μέγας, ὁ πολύαθλος Ποιμὴν, ἀγώνων ἡ τριβὴ, Ἁρμενίας τὸ καύχημα, σήμερον πρὸς εὐωχίαν, τοὺς πιστοὺς συνεκάλεσε. συνελθόντες αὐτὸν μακαρίσωμεν.

Ναμάτων ζωηρῶν, τῶν τοῦ Πνεύματος μάκαρ, ἐμπλησθεὶς ὡς ποταμὸς, Ἐδὲμ τῆς νοητῆς, ἐκπεπόρευσαν πρόσωπον, ἄρδων τὸ τῆς Ἐκκλησίας, καὶ ξηραίνων τὸ πέλαγος, τῆς εἰδωλομανίας Γρηγόριε.

Θεοτοκίον.

Γυναῖκες τῷ Σταυρῷ, τοῦ ἐκ σοῦ σαρκωθέντος, κραταιούμεναι Ἁγνὴ, ἐνήθλησαν στερρῶς, καὶ αὐτῷ προσηνέχθησαν, ὄπισθέν σου τῆς Παρθένου, παρθενίας λαμπρότησι, καὶ Μαρτύρων ἐν αἵματι λάμπουσαι.

Ὠδὴ γ'. Ὅτι στεῖρα ἔτεκεν.

Ἁπισμοῖς ἀγώνων σου, μύλας συντρίβεις λεόντων, καὶ ὀχετοῖς αἱμάτων, δαιμόνων λύθρον ἐκμειοῖς, εἰδωλικὰς προῤῥίζους τε, καταστρέφεις στήλας Ἀξιάγαστε.

Οὐ δεινῶν ἐπίτασις, οὐ χαλεπαὶ τιμωρίαι, οὐ ζοφωτάτη λάκκου, κάθειρξις χρόνιος τὴν σὴν, ἀδαμαντίνην ἔτρεψε διανοίαν Μάρτυς ἀξιάγαστε.

Νυσταγμὸν σοῖς ὄμμασι, Μάρτυς οὐκ ἔδωκας ἕως, τοὺς νυσταγμῷ κακίας, κεκρατημένους δυστεβῶς, Υἱοὺς ἡμέρας ἔδειξας, κραυγάζοντας· Ἅγιος εἶ Κύριε. θτ.

Μητροπάρθενον Κόρην, σὲ Ῥιψιμία ἡ Μάρτυς, ἐπισταμένη μόνην, ἐθέλχη σοῦ ταῖς καλλοναῖς, καὶ τῷ Χριστῷ ὀπίσω σου, προσηνέκται, ἄθλοις διαλάμπουσα. Ὁ Εἱρμός.

Ὅτι στεῖρα ἔτεκεν, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις, ἠσθένησε Συναγωγὴ, τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοήσωμεν· Ἅγιος εἶ Κύριε.

Κάθισμα, ἦχ γ'. Θείας πίστεως.

Βλέμμα γρήγορον τῆς διανοίας, Μάρτυς ἔνδοξε προκεκτημένος, ὁμωνύμως καὶ καταλλήλως διέπρεψας. ὑπὲρ Χριστοῦ τῇ ἀθλήσει στρεβλούμενος, ἐν προσευχαῖς ἀνενδότως ἠγρύπνησας. ὅθεν καὶ εἴληφας, ἱεραρχικῶς δι' αἵματος, βραβεῖον κατ' ἄμφω παμμάκαρ Γρηγόριε.

Δόξα τὸ αὐτό. καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι, Ἀγγέλους ὑπεράρασα. τὸν ὑπὲρ πάντας ἐμὲ δὲ γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβείαις σου, τοῖς ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἀμίαντος Ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομήτωρ, ἐν τῷ Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδίνως βλαστήσαντα, μητροπρεπῶς θρηνωδοῦσα ἐκραύγαζεν· οἴμοι τέκνον μου, πῶς πάσχεις θέλων ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Εἰς περίβλεπτόν σε ὕψος, μαρτυρίου ἀνήνεγκεν, ὑψηλὸς ἐν δόξῃ, Κύριος ὁ Ὕψιστος ἔνδοξε. οὗ τὰ Παθήματα χαίρων ἐξεικόνισας, Ἱερομάρτυς, δόξα βοῶν τῇ δυνάμει σου.

Ἀυμαινόμενον ἀθέως, τῶν ἐχθρῶν χώραν ἅπασαν, τὴν τῶν Ἁρμενίων, θείᾳ δυναστείᾳ κατέβαλες, καὶ ὡς πυρσὸς ἀναλάμψας, κατεφώτισας, τοὺς ἐν σκότει κειμένους Σοφὲ ματαιότητος.

Πο-

ΠΟλυπλάσιον τῷ Κτίστῃ, σοῦ τὸ τάλαντον ἤνεγκας, τῶν ἀνασωθέντων, θείαις διδαχαῖς σου Γρηγόριε, καὶ πρὸς αὐτοῦ τὸν ἀγήρω κλῆρον εἴληφας, Βασιλείαν τὴν τῶν Οὐρανῶν καὶ λαμπρότητα. Θεοτοκίον.

Ὡς καλὴν ὡς ἐκλεκτήν σε ὡς ὡραίαν ἠγάπησαν, Νεανίδες Κόραι, μετὰ Ῥιψιμίας ἀθλήσασαι, Παρθενομήτορ Μαρία, καὶ ὀπίσω σου, προσηνέχθησαν τῷ σῷ Υἱῷ εὐφραινόμεναι.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Ὃν φωτισμόν σου Κύριε, κατάπεμψον
„ ἡμῖν, καὶ τῆς ἀχλύος ἡμᾶς, πταισμάτων λῦσον ἀγαθὲ, τὴν σὴν εἰρήνην
„ Οὐρανόθεν δωρούμενος.

Σταυροφανὲς ἑώρακας, σημεῖον ἐμφανὲς, φωτὶ ἐκλάμπον, καὶ λύον τὴν νύκτα τὴν εἰδωλικὴν, φωτός τε τέκνα τοὺς πιστοὺς ἐργαζόμενον.

Ἐν καταπατῷ λάκκῳ σε, διέσωσε Θεὸς, θηρσὶ συνόντα ἐτῶν περιόδους, μέλλοντα φωτὶ τοῦ Θείου Λόγου, καταυγάζειν τοὺς ἄφρονας.

Μαρτυρικῶς ἠγώνισαι, στεφθεὶς ὡς νικητὴς, χρισθεὶς δὲ μύρῳ Ἀρχιερωσύνης, ἔχρισας λαοὺς, δυσώδους πλάνης ἀπαλλάξας Γρηγόριε. Θεοτοκίον.

Τί τῆς ὀσμῆς αἰσθόμεναι, τοῦ μύρου τοῦ ἐκ σοῦ, ἁγνὴ Παρθένε ἐκλάμψαντος Λόγου, δι' ἀθλητικῶν αὐτῷ ἀγώνων, εὐηρέστησαν χαίρουσαι.

Ὠδὴ ς'. Ἐβόησε προτυπῶν.

Ῥημάτων σου, δυναστείᾳ ἀεὶ κατερράγησαν, καὶ δαιμόνων, κατεβλήθη ἀνίδρυτα ξόανα, καὶ πιστῶν καρδίαι, Θεϊκῷ ἐνιδρυνθῆσαν ἔρωτι.

Ἠριδάτην, ὥσπερ συνδεδεμένον προσήγαγες, τῷ Κυρίῳ, ὥσπερ ἄρνα τὸν πρὶν λύκον ἄγριον, διὰ μέγαν πλοῦτον, εὐσπλαγχνίας Θεοῦ νῦν σωζόμενον.

Ἐπέδειξας, πλανηθεῖσι τὴν τρίβον τὴν εὔθεον, ἀπλανέσι, διδαχαῖς Ἱεράρχα χρυσάμενος, ὡς Ποιμὴν Ποιμένος, ἀληθοῦς μιμητής τε Γρηγόριε. Θεοτοκίον.

Σταυρωθέντα, τὸν ἐκ σοῦ ὡς ἐπέγνω σαρκούμενον, Θεοτόκε, Ῥιψιμία αὐτῷ συνεσταύρωται, ὡς Ἀμνὰς Ποιμένι, ἱερεῖον Θεοῦ ὡς ἀμώμητον.

Κοντάκιον, ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Ὃν εὐκλεῆ καὶ Ἱεράρχην ἅπαντες, ὡς Ἀθλητὴν τῆς ἀληθείας σήμερον, ἐν ᾠδαῖς καὶ ὑμνῳδίαις εὐφημήσωμεν, τὸν γρήγορον Ποιμένα καὶ Διδάσκαλον, Γρηγόριον, τὸν φωστῆρα τὸν παγκόσμιον. Χριστῷ γὰρ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

Ὁ Οἶκος.

Οὗτον τὸν μέγαν ἐν Ἀθλοφόροις, τὸν φωστῆρα τὸν Θεῖον, Ἀρμενίας Πιστοὶ, Ποιμένα τε καὶ πρόμαχον, ἐν ὑμνῳδίαις εὐφημοῦμεν, καὶ ἐν ᾄσμασιν ἐνθέοις αὐτοῦ τὴν μνήμην. τὴν γὰρ ἀχλὺν τῶν ματαίων εἰδώλων ἠφάνισε, σὺν τούτοις καὶ τῶν δαιμόνων τὴν ἐνέργειαν ἐνέκρωσε. διὸ τοὺς πόνους ὑπηνέγκε σταθηρᾷ διανοίᾳ καὶ χάριτι, καὶ πρεσβεύει Χριστῷ τοῦ σωθῆναι ἡμᾶς.

Τῷ αὐτῷ Μηνὶ Α'. Τοῦ Ἁγίου Ἱερομάρτυρος Γρηγορίου τῆς Μεγάλης Ἀρμενίας.

ξι. Εἰδὼς τὸ, γρηγορεῖτε, Ἐνθέου Λόγου, Χριστοῦ καλοῦντος, γρηγορῶν ὤφθης Πάτερ. Ἀρμενίης Μεγάλης θάνε Γρηγόριος τριακοστῇ.

Οὗτος ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως, Πάρθος τὸ γένος, Υἱὸς Ἀνὰκ, συγγενὴς Κουσαρὼ Βασιλέως Ἀρμενίας. παρὰ Τηριδάτου δὲ τοῦ Βασιλέως κρατηθεὶς ὡς Χριστιανὸς, πολλὰς τιμωρίας ὑπέμεινεν. εἶτα μαθὼν ὁ Τηριδάτης ὅτι Υἱὸς ἐστὶν Ἀνὰκ τοῦ Πάρθου, τοῦ τὸν πατέρα αὐτοῦ δολοφονήσαντος, δεσμεῖ αὐτοῦ χεῖρας καὶ πόδας, καὶ ἐν Ἀραρὰτ τῇ Πόλει ἐν λάκκῳ βαθεῖ ἐναπέρριψεν, ἐμπλέῳ ὄντι θηρίων καὶ ἑρπετῶν, ἐν ᾧ καὶ ἔτη δεκαπέντε διαβιβάσας ζῶν, ἐτρέφετο κρυφίως ὑπὸ Γυναικὸς Χήρας. τοῦ δὲ Βασιλέως Τηριδάτου παραφρονήσαντος, καὶ τὰς σάρκας αὐτοῦ κατεσθίοντος, καὶ μετὰ χοίρων ἐν τοῖς ὄρεσι βοσκομένου, ἐθεάσατο ὄνειρον Κουσαροδούκτα ἡ ἀδελφὴ αὐτοῦ, καὶ φωνῆς ἤκουσεν, ὡς εἰ μὴ ἐξέλθῃ Γρηγόριος ἐκ τοῦ λάκκου, Τηριδάτης οὐχ ὑγιαίνει. Ἐξελθὼν οὖν ἐβάπτισεν ἅπαντας, καὶ γεγονὼς Ἐπίσκοπος, καὶ Ἐκκλησίας συστησάμενος, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Γυναικῶν, Ῥιψιμίας, Γαϊανῆς καὶ ἑτέρων λ β'. Ὁσιομαρτύρων Γυναικῶν, καὶ Παρθένων.

ξι. Ἠλ-

ξ. Ἤλγει σπαθισμοῖς οὐδαμῶς Ῥίψιμία,
Ἄπειρα τούτοις, αὐταριθμοῦσι ςέφη.
Γαϊανὴν ἔςρεψεν ἄσκησις πάλαι,
Καὶ νῦν ἄθλησις ἡ διὰ ξίφους ςέφει,
Τιμᾷ Τριὰς δεκάςσε τριπλῆ Μαρτύρων,
Σὺν ταῖς δυσὶ θνήσκουσα, σοῦ χάριν ξίφει.

Αὗται αἱ Ἅγιαι Γυναῖκες, ὑπῆρχον Παρθένοι καὶ Μονάζουσαι, καὶ ἡ μὲν Γαϊανὴ ἦν γραῦς· ἡ δὲ Ῥίψιμία νέα εὐγενὴς καὶ εὔμορφος. μαθὼν δὲ περὶ τοῦ κάλλους αὐτῆς ὁ Τηριδάτης, ἀποςείλας ἐκράτησεν αὐτὴν, καὶ ἐβιάζετο πρὸς ἀθέμιτον μίξιν. ἀλλὰ τῇ τοῦ Χριςοῦ δυνάμει, οὐ περιεγένετο αὐτῆς. ἀποτυχὼν δὲ τοῦ σκοποῦ, ἔκειτο ὡς νεκρός. οἱ δὲ τοῦ Βασιλέως ςρατιῶται, ἐκφυγοῦσαν αὐτὴν διώξαντες καὶ λαβόντες, πρῶτον μὲν, διέῤῥηξαν τὰ ἱμάτια αὐτῆς, ἔπειτα τὰς χεῖρας αὐτῆς ὀπίσω προσδήσαντες, τὴν γλῶσσαν ἀπέτεμον, καὶ τὸ σῶμα αὐτῆς ἔκαυσαν, καὶ τοὺς ὀφθαλμοὺς ἐξώρυξαν. ἥτις κατὰ μικρὸν κοπτομένη, τὴν μακαρίαν αὐτῆς ἀφῆκε ψυχήν. Συνανῃρέθησαν δὲ αὐτῇ ἄνδρες Χριςιανοὶ, τὸν ἀριθμὸν ἑβδομήκοντα, καὶ γυναῖκες τριάκοντα δύο. Ἡ δὲ γενναία Γαϊανὴ διεπάρη τὸν αὐχένα, καὶ ἐφυσήθη ὡσεὶ ἀσκὸς, καὶ τὴν δορὰν τῆς σαρκὸς μέχρι τῶν μαθῶν ἀφαιρεθεῖσα, λίθοις συνετρίβη, καὶ οὕτω τὴν κεφαλὴν ἀπετμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τῶν Ἁγίων ἑβδομήκοντα Μαρτύρων τῶν συναναιρεθέντων τῇ Ἁγίᾳ Ῥίψιμίᾳ, καὶ μνήμη τῶν Ὁσίων δύο Γυναικῶν.

ξ. Θνήσκειν ἑτοίμως εἰδέει καὶ πολλάκις,
Τέθνηκεν ἀνδρῶν ἑβδομήκοντα ξίφει.
Δυὰς Γυναικῶν ἀρεταῖς τεθραμμένων,
Ἀθλητικῷ τμηθεῖσα, κοσμεῖται ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Στρατονίκου.

ξ. Ὁ Στρατόνικος τῷ διὰ ξίφους τέλει,
Ἅπαν ςράτευμα δαιμόνων νικᾷ μόνος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Μαρδώνιος, ἄνθρακας ἐπὶ τοῦ ὀμφαλοῦ δεξάμενος, τελειοῦται.

ξ. Γνώρισμα Μαρδώνιε τοῦ πάθους φέρεις,
Ἐπ' ὀμφαλοῦ σφράγισμα καύσεως φέρων.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι χίλιοι Μάρτυρες, ξίφει τελειοῦνται.

ξ. Χιλιάριθμος αὐχενοτμήτων φάλαγξ,
Ἔπαθλον εὗρεν οὐκ ἀριθμητὰ ςέφη.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

Ὠδὴ, ζ'. Ὁ Εἱρμός.

Ἑβραμιαῖοι ποτὲ, ἐν Βαβυλῶνι Παῖδες, καμίνου φλόγα κατεπάτησαν, καὶ ὑμνοῦντες ἔψαλλον· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Πολυειδεῖς βασανοὺς, καθυπομείνας Μάρτυς, πολλοὺς βασανῶν ἠλευθέρωσας, μελλούσης ἐπίσεως. ὁ τῶν Πατέρων βοῶν Θεὸς εὐλογητὸς εἶ.

Οἶκον σεαυτὸν Τριάδος, ἀποτελέσας Μάρτυς, ναοὺς εἰδώλων κατηδάφισας· ναοὺς δὲ ἀνήγειρας, τῷ παντεπόπτῃ Λόγῳ, λαοῦ εἰς σωτηρίαν.

Ἐρουργὸς ἐδείχθης, σαυτὸν θυσίαν πρώην, θερμῶς προσάγων τῷ Δεσπότῃ σου. ὃν θύων μετέπειτα, τοῖς εὐσεβέσι νέμεις, ψυχῶν εἰς σωτηρίαν.

Θεοτοκίον.

Μαρτυρικοῖς ςεφάνοις, κατακεκοσμημέναι Κόραι, τῷ ἐκ Παρθένου ἀνατείλαντι, Θεῷ προσηνέχθησαν, μελῳδικῶς βοῶσαι· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, η'. Λυτρωτὰ τοῦ παντός.

Ἐναθλήσας νομίμως κατῄσχυνας, τοὺς ἀνόμους ἐχθροὺς κραταιότατα, Ἱερουργὲ Γρηγόριε, καὶ Θεῷ προσηγάγω μέλποντα δῆμον· εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Νεουργήσας τὴν ἄκαρπον ἄρουραν, κατεβάλου τοῦ λόγου τὰ σπέρματα, εἰς ἑκατὸν δρεψάμενος, λογικῶν ἀςαχύων τὴν εὐκαρπίαν, γεωργῷ τῶν ψυχῶν εὐφορήσασαν.

Ἐστραπαῖς σου τῶν λόγων ἐφώτισας, καὶ πολλὰς μυριάδας προσήγαγες, τῷ δι' ἡμᾶς ἑκουσίως, ὑπομείναντι Πάθη· ᾧ μελῳδοῦμεν· εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Οὐ βασανῶν πληθὺν δειλιάσασα, οὐ σαρκὸς ἡδοναῖς ὑποκύψασα, τὸν ἐκ Παρθένου Κύριον, ὡμολόγει βοῶσα ἡ Ῥίψιμία· εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἐσχύϊ νευρούμενος Χριςοῦ, ὑπήνεγκας τῶν βασανῶν τὸ ἐπίπονον, ςήλας κατέαξας δαιμόνων, ναοὺς εἰδωλικοὺς κατηδάφισας, λαούς τε τοὺς ἐν ἀγνοίᾳ ἐφώτισας, Ἱερομάρτυς πανσεβάσμιε.

Ὡς

Ὡς ὄρθρος ἀνέτειλεν ἡμῖν, ἡ μνήμη σου χαρισμάτων αἴγλην φέρουσα. σὺ γὰρ ὤφθης δοχεῖον, τοῦ θείου φωτὸς καὶ πρὸς φῶς ἐξεδήμησας, ἀνέσπερον πλουσίως λαμπόμενος, φωτοχυσίαις θείαις Ὅσιε.

Συνόμιλος ὤφθης Προφητῶν, Μαρτύρων τε Ἀποστόλων ὁμοδίαιτος, Ἀρχιερέων καὶ Ὁσίων, Ἀγγέλων Ἀρχαγγέλων ἰσόρροπος· μεθ' ὧν ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε, Πάτερ δυσώπει τὸν φιλάνθρωπον.

Ἠρίστευσαν Γυναῖα σεμνὰ, τὴν ἔκπτωσιν τὴν τῆς Εὔας ἀνορθούμεναι, ἤνεγκαν πόνων τρικυμίαν, μεγάλα τὸν εἰς ὕψος καυχώμενον, ποσὶν ὡραιοτάτοις συνέτριψαν· ἃς ἐπαξίως μακαρίζομεν.

Θεοτοκίον.

Φωτὶ τοῦ προσώπου τοῦ ἐκ σοῦ, ἐκλάμψαντος ἐλλαμφθεῖσα Ἀειπάρθενε, πόθῳ ἀχέτῳ Ῥιψιμία, Παθήματα αὐτοῦ καὶ τὸν Θάνατον. οἰκείᾳ τῇ σαρκὶ ἐξεικόνισεν, ὅθεν σὺν σοὶ νῦν ἐπαγάλλεται.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Φρικτὸν ἰδόντες θέαμα, ἐξέστησαν οἱ ἄπιστοι. ὃν γὰρ ἐνόμιζον εἶναι, νεκρὸν ἐν λάκκῳ θηρίων, ζῶντα ἀναβιβάσαντες, προσπίπτουσι κραυγάζοντες· μέγας Θεὸς Γρηγορίου, ὁ τοῦτον δείξας φωστῆρα.

Θεοτοκίον. Ὅμοιον.

Ὁ Νώτοις ἐποχούμενος, Χερουβικοῖς Πανάχραντε, ἐν ταῖς ἀγκάλαις σου θέλων, σάρκα λαβὼν ἀνεκλίθη, ὅπως ἡμᾶς ἐργάσηται, υἱοὺς Θεοῦ τῇ χάριτι, τοὺς εἰς αὐτὸν πιστεύοντας, καὶ σὲ ἀεὶ εὐφημοῦντας, τὴν πρόξενον σωτηρίας.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικά. Καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου. Προκείμενον, ἦχος βαρύς. Τίμιος ἐναντίον Κυρίου, στίχος Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Ὁ Ἀπόστολος. Πρὸς Κορινθίους. Ἀδελφοὶ, γρηγορεῖτε, στήκετε, Ζήτει Κυριακῇ ιγ'. Ἀλληλούϊα. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται. Εὐαγγέλιον κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δ' ἐμοῦ ἐάν τις. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται Δίκαιος.

Τ Ε Λ Ο Σ.

I.M. ΑΡΤΗΣ